SIGILLVM + ACADEMIÆ : HARVARDIANÆ : IN : NOV : ANG :
CHRISTO ET ECCLESIÆ

ΙΩΑΝΝΟΥ ΤΟΥ ΤΖΕΤΖΟΥ

ΒΙΒΛΙΟΝ ΙΣΤΟΡΙΚΗΣ

ΤΗΣ ΔΙΑ ΣΤΙΧΩΝ ΠΟΛΙΤΙΚΩΝ

ΑΛΦΑ ΔΕ ΚΑΛΟΥΜΕΝΗΣ.

IOANNIS TZETZAE

HISTORIARUM VARIARUM

CHILIADES.

GRAECE. TEXTUM AD FIDEM DUORUM CODICUM MONACENSIUM RECOGNOVIT, BREVI ADNOTATIONE ET INDICIBUS

INSTRUXIT

THEOPHILUS KIESSLINGIUS

PH. D. AA. LL. M. RECTOR ET PROFESSOR GYMNASII CIZENSIS, BIBLIOTH. EPISCOP. CIZENSIS PRAEFECTUS, SOCIETATIS LAT. IENENS. SOCIUS HONORARIUS.

LIPSIAE, MDCCCXXVI.

SUMPTIBUS FR. CHR. GUIL. VOGELII.

PRAEFATIO EDITORIS.

Ioannis Tzetzae liber variarum historiarum, quem post Gerbelium, qui primus in Chiliades distinxit, Chiliadum nomine vulgo appellant, ante hanc novam a me curatam editionem semel tantum fuit editus atque evulgatus *). Illa prima editione qui utuntur,

---

*) Illa editio hunc habet titulum: *Ἰωάννου τοῦ Τζέτζου βιβλίον ἱστορικὸν τὸ διὰ στίχων πολιτικῶν, Ἄλφα καλούμενον, ὧν στίχων τὸ ποσὸν μυριὰς μία καὶ δισχίλιοι ἑπτακόσιοι πεντηκονταεννέα. Ioannis Tzetzae variarum historiarum liber versibus politicis ab eodem graece conscriptus et Pauli Lacisii Veronensis opera ad verbum latine conversus, nuncque primum in lucem editus. Accessit quoque Nicolai Gerbelii praefatio, in qua de operis huius praestantia ac utriusque Tzetzis Isaacii et Ioannis vita lectu quaedam dignissima reperies. Basileae.* In fine: *Basileae ex officina Ioannis Oporini, anno salutis humanae MDXLVI. Mense Martio.* PP. 268. in folio. Annexa est editioni *Lycophronis Cassandrae* institutae eodem anno locoque ab *Arnoldo Arlenio Peraxylo* (in qua primum reperiuntur Scholia ad Lycophronis Cassandram e codice Bononiensi descripta), eademque fidelissime cum omnibus maculis repetita in *Iac. Lectii Corpore Poetarum Graecorum*, tom. III. p. 275 sqq.

iure indignantur, tum quod textum, quem vocant, vitiis innumeris iisque foedissimis exhibet deformatum, tum quod nihil adnotationis, quo scriptorum, quos Tzetzes ante oculos haberet, loci accurate indicentur est adiectum, tum quod nullos ille liber habet indices additos, quorum adiuti commoditate, si qui eo uti velint, etiam sine molestia uti possint. Accedit, quod Tzetzae Chiliades, quibus viri docti, ut quae plurima contineant ad omnem antiquitatem vel cognoscendam facientia vel illustrandam, aegerrime carent, iam in libris rarioribus coeperunt esse. Maximo igitur opere laudandum est consilium Vogelii bibliopolae longe honestissimi, quod excitatus ab iis viris eruditis, quorum auctoritas plurimum apud eum valet, etiam hoc Tzetziano opere typis repetendo de antiquitatis studiis bene mereri voluit. Edendi curam ego mihi ab eo libenter imponi sum passus, sperans fore, ut tempore non admodum longo transigi posset negotium totum. Quod tardius tamen, quam putaram, processit, tum propter ipsam rei molestiam, tum propter alias, quas hic enumerare nil attinet, causas complures.

In agendo negotio suscepto hoc ante omnia faciendum mihi esse intellexi, ut cum vitiis typographicis, quae editionem Basileensem inquinant, tollendis, tum subsidiis criticis religiose adhibendis textum, quantum fieri posset, vitiis darem purgatum. Quod ut perficere

possem, litteris adii Thierschium, philologum Monacensem clarissimum atque humanissimum, petiique, ut copiam mihi faceret variarum lectionum codicum Monacensium, si qui opus Tzetzianum continerent. Facile quod volebam, impetravi. Huius enim viri humanitate singulari voluntateque litteras optimas omni modo adiuvandi promptissima est factum, ut *Franciscus Hoegerus,* iuvenis perdoctus duo codices, qui in thesauris Monacensibus asservantur, tanta diligentia, ut nil supra, meos in usus conferret. Qua viri optimi opera quantum in re gerenda sim adiutus, adnotatio per totum librum luculenter testatur. Praeter auxilium autem multis locis depravatis a codicibus illis allatum haud pauci item loci a me sine ope aliena correcti sunt, qui vel a librariis vel ab operis neglegentibus in edit. Basileensi eo modo essent deformati, ut neminem, qui legeret, certa emendandi ratio latere posset. Alii porro loci male affecti iam dudum a viris doctis in veterum scriptorum editionibus sanati erant. De his quidem emendationibus quae mihi innotuere, eas non neglexi. At sane metuo, ne bona earum pars me prorsus fugerit, quum Tzetzae opus ad omnes fere litterarum antiquarum partes pertinens omni tempore a quam plurimis viris doctis fit usurpatum atque tractatum. Non tamen nec potui nec volui omnia nimis anxie perquirendo et excutiendo hanc novam editionem iusto diutius procrastinare,

quum praesertim animus, quo studiosius in his Tzetzianis versaretur, tanto vehementius ad laetiora atque uberiora avocaretur. Multi denique versus imperfecti relicti sunt, quorum aliis una syllaba deest, aliis duae, aliis plures. Hoc tamen vere affirmare licet, textum, qualis est in hac nostra editione, multo esse integriorem, quam qui est in editione Basileensi, quum genuinam lectionem modo ipsi offerrent codices, inprimis cod. B. in ea operis parte, quam complectitur, modo e longinquo satis certo monstrarent, modo leviter eam vitiis typographicis obscuratam esse facile cuivis pateret.

De ipsis codicibus Monacensibus Hoegerus haec, partim secundum Hardtum, ad me perscripsit. Codex CCCXXXVIII. chartaceus in 4. charta laevi, corio albo tectus, titulis et initialibus rubricatis, literis minutis et nitidis, cum correctionibus marginalibus, quondam possessus ab *Arnoldo Arlenio Peraxylo*, viro celebri et graece peritissimo Saec. XVI. ut ipse inscripsit, nec non a D. Io. Chrys. *Zancho* Bergamensi can. regul. saec. XV. in foliis 291. bene conservatus. In folio primo *Franciscus* Pollingae Praepositus, ex cuius monasterio codex Monachium venit, haec sua manu notavit: „Ioannes Tzetzes graecus poeta et grammaticus Constantinopoli floruit circa medium saec. XII. operis huius auctor. V. Lexicon Lipsiense. Ioannem Chrysost. Zanchum CRL virum varia eruditione et linguarum

peritia insignem libri huius quondam possessorem fuisse puto. Character enim antiquior esse videtur. Ego emi illum a Nagelio Professore Altorfensi. — *Franciscus* Praepositus 1777." In extremo folio quinto haec leguntur: G. H. Welsch, 1649. emptus ex relictis Gasp. Simeonis, Icti Argentorati. His Hoegerus addit: Codex est pulcre scriptus, et facile legi potest, quippe nullis fere scribendi compendiis impeditus. Non omnia eadem manu sunt scripta, multa correcta. Illud habet proprium, quod iota subscriptum fere deest, aut ab alia manu est additum. Deest igitur in terminationibus primae et secundae declinationis in α, η, ω, non tamen ubique; item in coniunctivi terminationibus ης, η et α contracto illo ex αει, tam in praesente, quam infinitivo; porro in vocabulis ἄδης, λήστης, χρήζω, πατρῶος, aliis; denique in ω ex αοι, ut in ὠδή, τραγωδία, κωμωδία, aliis. Ceterum propemodum omnia, quae margo editionis Basileensis habet notata, habet item margo huius codicis, qui etiam tot aliis in rebus cum illa editione conspirat, ut ipsam editionem ex hoc solo codice derivatam esse facile inde velut signis certis cognoscamus. Ita nemo mirabitur, quod vel intentissima in codice excutiendo diligentia adhibita nullae ex eo lectiones novae, quae essent insigniores, potuerunt extundi. Neque sic tamen, quum is qui editionem Basileensem curavit, vel multa in eo non recte legisset, vel operas non ubique ab aberrationibus revo-

quum praesertim animus, quo s. quod totum
tzianis versaretur, tanto veheme ıtilis fuit.
uberiora avocaretur. Multi d .in sequitur
relicti sunt, quorum aliis una .e argumento.
aliis plures. Hoc tamen ve praestantior est
qualis est in hac nostra editi .hiliades et quar-
quam qui est in editione odex DLXIV. olim
lectionem modo ipsi offe in asserie, corio albo
in ea operis parte, qu ., titulis et initialibus mi-
ginquo satis certo n . et nitidis, cum marginali-
vitiis typographicis o' .is 355. saec. XIV. signatus p.
.uservatus. Praeter partem ope-

De ipsis codi .e scripta minora varii argumenti
partim secundum μῦθοι τοῦ Αἰσώπου κατὰ στοιχεῖον,
CCCXXXVIII. tractavit V. D. Wilhelm, Professor
albo tectus, ti Roslebiensis anno 1796., ut in ipso
nutis et nitidi tum, videturque is Hoegero idem
dam possess. J. G. Schneiderus Aesopi fabulas edidit;
bri et grae Schneideri codice conspirat. Difficilis est
nec non a propter scripturam compendiariam, et
saec. XV in eo vocabula plane evanuere, quae pas-
primo sedula ductibus recentioribus reparavit.
nasteri et ῡ binis punctis signatae, in duplici ῤῥ
tavit positus; reliqua accurate scripta. Tituli
Co plerumque in margine, admodum eo exi-
h pcti sunt colore nigro, nonnunquam rubro per
totum. Margo item continet scholia nonnulla,

lectu longe difficillima, ut eorum paucissima potuerint exsculpi. Vehementer quidem dolendum est, quod non totum opus comprehendit, utpote ex quo solo plurimi loci egregie fuerint restituti." Haec fere Hoegerus, quae partim de sermone vernaculo latine verti. Praeter hos duo codices, quorum primum notavi littera A., alterum littera B. qui alii Chiliadum codices et quibus in bibliothecis asserventur, indicatur in *Fabricii* Biblioth. Gr. Tom. XI. p. 241. not. ll), edit. Harl. ex quibus is qui ibi nominatur *August. Vindel.* CXX. idem videtur esse, quem meum in usum contulit Hoegerus, egoque notavi littera B. Ceterum editionem Basileensem totam derivatam esse e primo codice Monacensi, vel inde quis coniectura sat certa assequi possit, quod idem ille Arnoldus Arlenius Peraxylus, qui Lycophronis Cassandrae editionem instituit, etiam Variam Ioannis Tzetzae historiam una cum illa edidit; id quod ipse in epistola nuncupatoria ad Benedictum Accoltum Cardinalem eleganter scripta p. 4. affirmat, eiusdem codicis olim fuit possessor. Is igitur de sua Chiliadum editione, codice quidem illo non memorato, sic exponit: „Historiam Ioannis Zezis ita damus, ut eam nobis sua manu descriptam reliquit peritissimus vir *Raphael Regius*, qui patrum ac nostra propemodum aetate Patavii tanta cum laude latinas et graecas docuit litteras, ut facile Marci Musuri discipulum possis agnoscere. Hanc itaque Variam historiam inventu

rarissimam (post multas enim excussas bibliothecas aliam hactenus videre non potuimus) excellens omni litterarum genere vir Nicolaus Gerbelius in locis non paucis, quae vel inversa, vel mendis confusa circumferebantur, ita in suum ordinem et nitorem restituit, ut ad veram praestruendam lectionem nullum laborem, nullamque diligentiam praetermisisse videatur.“ Illa epistola quum scripta sit anno 1542., editio autem facta anno 1546., sequitur, Arlenium Peraxylum post annum 1542. codicem fuisse nactum. Hinc nulla de eo mentio facta est in illa epistola.

Iam alteram hanc mihi curam impositam esse putavi, ut scriptorum veterum locos, quos suo Tzetzes more tractatos redderet, accurate indicarem. In hac quidem negotii mei parte quantumvis studii temporisque collocarim, nequaquam tamen satis mihi facere potui. Quanquam enim permagnum huiusmodi locorum numerum tum ipse investigavi, tum Hoegeri diligentia et humanitas mihi suppeditavit: bene multi tamen relicti sunt, quorum sedem natalem nulla pervestigatio detegere potuerit. Nonnunquam ubi diu frustra quaesieram, eo me consolari posse videbar, quod Tzetzes etiam quae nunquam in scriptoribus veteribus legisset, ea se legisse confidenter iactaret.

Denique tres indices addidi, unum rerum memorabilium, alterum scriptorum in hoc opere citatorum,

tertium vocabulorum, quae notabilia viderentur. Alteri indici pro fundamento est index confectus a Fabricio in Biblioth. Gr. Vol. XI. pag. 243. sqq. Harl. Eo ita sum usus, ut, quae rerum indici magis convenirent, illuc hinc transferrem, retentis solis nominibus scriptorum, vel eorum, quos Tzetzes in scriptorum numero haberet. Atque hic de numeris, quos vocabulis in indicibus apposui, monendi sunt lectores, non ubivis eos exacte quadrare; quod inde factum est quod indices magnam partem prius quam haec nova editio typis esset tota excusa, absoluti fuerunt, in editione autem Basileensi non omnis in hoc genere aberratio potuit prohiberi. Nusquam tamen in mea editione ultra gradum unum a vero numero spero esse aberratum.

De ipso Ioanne Tzetza eiusque scriptis quum satis sit expositum a multis viris doctis, ut a Gerbelio in praefatione, quam, ne qua editionis Basileensis pars in nostra deesset, hic non omittendam esse putabamus, a Pottero in Commentario ad Lycophronis Alexandram, repetito in Mülleri editione Scholiorum in Lycophronem a pag. 1357., a Fabricio in Bibliotheca Graeca Vol. XI. p. 228 sqq. et p. 241 sqq. edit. Harl., a Frid. Iacobsio in edit. Antehomericorum etc. a pag. XV., denique a Ch. G. Müllero in praefatione ad scholia Lycophronea, ut saepe dicta hic recoquere supervacuum sit, ita non a re alienum esse arbitror, illa

hic addere, quae de Ioanne Tzetza eiusque Chiliadibus Ioach. Camerarius, elegantior magisque idoneus talium rerum arbiter, quam pene ineptus magniloqui Tzetzae laudator Gerbelius, in Epistolarum familiarium libr. VI. editis Francofurti 1583. 8. a pag. 411. retulit. Is igitur ita: „Nunc accipe *de Tzetza*. *Quod nomen* non dubito, quin pronuntiatione et forma barbarica diminutum sit. Et ipse similiter alia quoque protulit, ut Paulizen. Sed quodnam primum sit nomen, haud scio an nemo indicare certo possit. Credibile mihi videtur, alludere illud ad Hebraicum Seth (nam ipse suum genus Syrum esse fatetur) idque eum inepta festivitate diminuisse *εἰρωνευόμενον*, cum quasi abiiceret sese coram aemulis et adversariis, quos habuisse se complures passim indicat *). De *versibus* autem ipsius *politicis* sic sese rem habere puto, ut illis temporibus populare seu vulgare, istud genus in usu fuerit, annumeratis ad singulos versus syllabis septenis, sine observatione temporum et procedente pronuntiatione *κατ' ἄρσιν καὶ θέσιν ἀμέτρως*. Quae autem ab eo referuntur, propter varietatem in penuria bonorum librorum veterum nequaquam sunt contemnenda: quamvis nugatoria multa inserta, et perperam atque falso nonnulla commemorata reperiantur. An autem memoria illum alicubi

---

*) In epist. 2. pag. 525. lin. 14. nomen suum vocat *λεοντώνυμον κλῆσιν*, si suo nomine hanc epistolam scripsit Tzetzes. *Kiessl.*

destituerit, an de industria aliorum ipse narrationes mutaverit, an nusquam etiam tradita confinxerit, de eo licet suspicetur quisque, quod lubet. Nam veterum librorum aliquam adhuc illis temporibus copiam fuisse in medio, non est dubium; quum quidem ipse obiecisse sibi aemulos librorum penuriam significet, et pleraque sese memoria compraehensa glorietur. Quod autem ne voluerit quidem suscipere laborem componendi versus eruditos, secundum musicam artem, ipse plane dicit, iambicis versibus quibusdam caussam afferens negligentiam atque contemtum bonarum litterarum atque artium sua aetate. — Venio nunc ad τυμβορύχους tuos, qui sunt effodientes busta. Eos iis in locis fuisse intelligis, ubi sepelirentur integra corpora mortuorum. Nam quid prodesset urnula cum ossibus et cinere furi? Non fuere enim illae certe omnium passim aureae, κατὰ τὸν χρύσειον ἀμφιφορῆα Thetidos apud Homerum. Istó autem comburendi corpora more pretiosa quaeque una cum corporibus in rogos coniecta cremabantur. Sed cum cadaveribus alicubi olim magnae opes defossae fuerunt, quas nimirum quaesiverunt isti effossores sepulcrorum: ut Iosephus narrat de Davidis effosso sepulcro ab Herode —, et Arrianus de effosso sepulcro Cyri superioris, et Zetza noster temporibus Michaelis filii Theophili fuisse narrat perfossum monumentum sepulcri Nicomediae, in quo conditum esset corpus coniugis Nicomedis regis Bithyniae,

quae mortem obiisset, quum canis regius abripuisset mordicus dextrum humerum illius amplexantis regem, quod canis externam eam gente Phrygiam nondum satis notam haberet. Et fuisse monumentum illud lapide inaurato exstructum scripsit inviolatum ad tempus usque supra indicatum; cadaver etiam, quale fuerat depositum cum veste textili aurea eaque conflata auri inventum pondus librarum 113." Versus illos iambicos, qui leguntur in editione nostra p. 509. Camerarius sic latine interpretatur:

Hic liber est primus laboris Zetzici,
Musae modis carentis ast Agyrticae,
Numerosa cui curae pedum haud est gressio,
Quae mensionem et edit omnem temporum,
Cordi neque est huic artis ulla regula.
Et cur enim aliquis artifice scribat modo,
Leges ubique temporum et servans pedum,
Et cuncta poliens, ut decet, subtiliter?
Artificiosa cum pari atque barbara,
Maiore sint adeo inque honore barbara
Et ineruditi plausum uti docti ferant,
Adeoque ab iis, doctissimos qui se putant:
Ita avolavit vita ab hac laus et decus,
Vulgaris ita regnum tenet confusio.

His quae ex Camerario descripsi, priusquam praefandi finem faciam, nonnullas observationes ad orationis genus, quo Tzetzes hoc in opere utitur, spectantes

adiicere visum est. Praeter plurima igitur vocabula recentioris et ad barbariem inclinantis Graecitatis, quae omnia collecta in indicem verborum retuli, hoc item animum advertit, quod scriptor noster quam saepissime plusquamperfecti verborum forma sic utitur, tamquam sit forma perfecti, ut Chil. I, 44. εἰρήκει, v. 204. εἰρήκειμεν, II, 153. ἀνεγνώκειμεν, III, 180. συνδεδραμήκει, 610. ἑωράκειν, IV, 165. συντεθνήκει, quod idem Chil. IV, 295. reponendum videtur; et quam plurimis aliis locis. Mirabiles item sunt formae λάβοις Chil. II, 828. et φέροις, III, 807. Neque recentiori aetati non tribuendae formae ἐπέγνων I, 770. et ἔφαν IV, 446. IX, 468. pro tertia pluralis; deinde πεφθακώς, quod saepe reperitur; tum quod aoristi coniunctivus valet pro futuro; in multis adiectivis terminationum trium, maxime numeralibus, terminatio ος feminino generi tribuitur, ut I, 600. VI, 602. 605. IX, 337. X, 387. in modis autem verborum ponendis nulla certa lex observatur. Denique illud auctoris nostri proprium videtur esse, quod particulam δε ad taedium usque frequentat atque iis adeo locis ingerit, ubi, quum omnis adversandi vis absit, unice versui explendo inserviat. Atque multis sane locis dubius haesi, utrum cum editione Basileensi particulam hanc inclinarem, an gravi notarem accentu. Saepius id quam est a me factum, faciendum fuisse, versuum politicorum ratio, ut XI, 41. et alibi, non obscure monstrat.

Per primam libri partem operas rexit *Frotscherus*, vir doctissimus mihique carissimus. At is quo minus in librum totum hanc perutilem diligentiam conferret, gravi est impeditus morbo, qui virum optimum diu lecto affixum tenuit; unde post illum ipse ego molestiae, quae notandis corrigendisque erroribus typographicis nascitur, sustinui partem.

Haec habui, quae de hoc opere Tzetziano meaque in eo ornando expoliendoque opera collocata lectores benevolos monitos vellem, qui vehementer opto ut et his et aliis studiis meis in posterum favere velint. Scr. Cizae, Kal. Februar. 1826.

K.

NICOLAUS GERBELIUS P.

EGREGIO VIRO IOANNI OPORINO, SUO SINGULARI AMICO S. D.

Circumferuntur aliquot illustres sententiae Solonis, unius e Graeciae septem sapientibus, eruditione atque sapientia plenae. Inter quas et illa celebrata, eum qui civibus suis consulere velit, non iucundissima, sed utilissima debere consulere. Solonis graeca verba compressius, elegantiusque dicunt, *συμβούλευε μὴ τὰ ἥδιστα, ἀλλὰ τὰ βέλτιστα τοῖς πολίταις*. Praeclare quidem atque honeste Solon, sed tamen si quis consulendo et iucunda et utilia coniunxerit, is mihi minime ignavus aut socors haberi debet. Anne imperite tibi dixisse videtur Flaccus, Hunc omne tulisse punctum, qui miscuit utile dulci? Doctorum certe virorum suffragia feret, quicunque hominum vitam aliqua praeceptorum suavitate aut gratia studuerit erudire. Quis unquam ea convivia probavit, quae non nisi tristia iactant et stoica severitudine horrentia? Quis expetit pretiosas epulas, nulla dulcedine aut iucunditate temperatas? Omnia foecundat, nutrit, vegetat coelum: et tamen vides, quam divina pulchritudine oblectet et animos et oculos intuentium. Quis omnium altricis terrae fructus, com-

moditates, precia, enarrabit? Sed his dotibus, hei bone Deus, quanta connexa est venustas, quae dignita quantus undique decor? Fuerene unquam a condit orbe ulli homines, qui non ducti tractique sint musice modulationibus atque cantiunculis? Sed incredibile di ctu, quas secum saepenumero opportunitates attuleri musica. Hiero Siciliae tyrannus initio indoctus erat e a musis alienissimus. Ceterum cum in gravissimum quendam morbum incidisset, ut aegritudinis otium lenimento aliquo levaret, totum id tempus, quo decumbebat, musicis organis largiebatur. Aliquoties accersitos poetas de his rebus audiebat disserentes. Itaque pristinae valetudini restitutus, omne studium omnemque operam et eruditis hominibus et musicae impendebat: factusque est ex ignavo idiota μουσικώτατος. Ita aiunt et Ptolemaeum secundum ex morbo animum ad musices studium applicasse. Taceo, quae de Cretensium moribus prodidere historici, qui pueros suos leges cum melodia musica discere cogebant, ut hac scilicet delectatione ψυχαγωγῶνται, easque facilius memoriae reciperent tenerentque tenacius. Immo in tota natura ita comparatum videmus, ut quae fructuosa existant, multo chariora sint, si nonnullam secum adferant concinnitatem. Qui in principum coetu sedent aut alioqui gravioribus consultationibus adhibentur, si cum lepore et verborum suavitate sententiam dixerint, magno cum plausu nec minore favore audiuntur. Haec cum ita se

habeant, Oporine, si non superiore, certe eodem, aut proximo, a Solone loco collocandi sunt, qui historiam scripsere. Quorum nulla alia maior cura fuit, nullum ardentius studium, quam ut summis maximisque utilitatibus maximas adiungerent voluptates. Quod plane verissimum esse fatebuntur, quicunque se totos huic studio dedidere, qui dies noctesque in historicorum lectione versantur. Minime vero sua laude suaque gloria spoliandi sunt, qui miseris atque tristissimis his temporibus haec studia suis laboribus, industria, sumptibus adserere atque amplificare conati sunt. Quorum in numero et te tua posuit fortuna, Oporine, qui hoc unum agis, hoc unum in votis habes, ut authores hactenus incogniti publicum sortiantur. Sic tua nunc opera, tuis maximis nunc impensis studiosorum manibus terendi traduntur duorum doctissimorum fratrum, Isaacii et Ioannis τοῦ Τζήτζου, et utiles et iucundissimae lucubrationes, quae non solum non visae sunt in hanc usque diem Germaniae, sed et nomen ipsorum non satis cognitum hominibus nostris. Quamobrem spero, me tibi studiosisque rem non ingratam facturum, si de utroque, qui fuerint, quae scripserint, quove tempore floruerint, paucis demonstravero. Atque primum de Ioanne Tzetze, cuius est hoc Opus carmine de Varia historia conscriptum.

Michaelis Tzetzis et Eudociae filius fuit Ioannes Tzetzes hic noster, qui avum habuit paternum Ioan-

nem Tzetzen, literarum quidem rudem, sed eruditorum hominum amatorem. Avus eius maternus genere fuit Graecus, avia materna Abasgis, sive Ibera. Itaque Tzetzes a paterno maternoque avo graecam originem, a materna avia Abasgicam traxit. Porro cum adolevisset, Michael pater domi suae saluberrimis praeceptis filium erudivit. Inter quae sedulo ei inculcare solebat ista, ut contemneret opes, nihili faceret potentiam, minime cupidus esset praeeminentiae, vel ut ipse ait τῆς προεδρίας; quam patris minime contemnendam doctrinam, nusquam non maximis laudibus gratissimus filius extollit *). Agedum quindecim natus annos Ioannes Tzetzes clarissimis praeceptoribus traditur, a quibus non tantum artium illum orbem et ἐγκυκλοπαιδείαν, sed etiam Hebraeam Syramque Linguam edidicit. Unde et loco quodam Tzetzes se Syrum et Ismaelitam appellat. In liberalibus illis disciplinis adeo profecit, ut Rhetoricen, Geometriam, et quicquid ad totam philosophiam pertinet, perfectissime calluerit. In historia sacra, barbara, graeca et romana, quantus fuerit, hic liber satis abunde declarabit. Praeter hunc scripsit ad Augustam in Homeri

*) Ioannes Tzetzes vel de se, vel de hoc opere, vel de scholiis in Lycophronem his locis loquitur: Chil. I, 269 sqq. 845 sqq. III, 155 sqq. IV, 565 — 597. 672 — 675. 691 — 703. V, h. 17. VI, 68 sq. 394 sqq. VII, 504 sqq. VIII, 181 sqq. 485 sqq. IX, h. 270. X, 71 sqq. 249. 363 sqq. XI, 20 sqq. 217 sqq. XII, 235 sqq. 753 sqq. XIII, 27. *Kiessl.*

poema ἐξήγησιν, μετάφρασιν ἠμαξευμένοις στίχοις continentem. Deinde et in Hesiodi opera atque dies commentariolum, qui Venetiis excusus, una cum Procli et Moschopuli scholiis circumfertur. In Theogoniam et Aspida, quae condidit, tua cura, ni fallor, in studiosorum manus devenere. Caeterum ad nomen quod attinet, varie invenio hoc pronunciatum a recentioribus. Politianus, Parrhasius, Crinitus, Lilius, passim ipsum Zezen vocant. Volaterranus Zezium, Theodorus Gaza et noster Aldus Caecum. Veruntamen ipse author sese nunquam aliter, quam Tzetzen nominat, apparetque mirifice eum hoc cognomine fuisse oblectatum. Nam quandoque etiam ad taedium ingeminat hoc nomen: Ita scripsit Tzetzes, sic sentit Tzetzes, non omnium meminisse potest Tzetzes: atque eius generis prope infinita. Quin etiam loco quodam ex professo hanc syllabam Tz explicat, adiici solitam quibusdam dictionibus: veluti Chiliade XIII. in dictione προςθημήτζα pro προςθήκη. Lilius noster plane barbarum esse vocabulum refert. Ego Tzetzen ea voce tanquam nova faceta et festiva delectatum crediderim. Sed de nomine satis multa. Fratrem habuit Ioannes Tzetzes incomparabili praeditum memoria et eruditione. Cuius in commentariis in Hesiodi opera, quorum paullo ante meminerimus, mentionem facit his verbis: Περὶ τῆς τῶν ποιητῶν διαιρέσεως καὶ πρώτην μέν μοι ἐξείργασται μικρὸν συγγραμμάτιον, αὐτοσχεδίοις συντεθειμένον ἰάμβοις. καὶ

τῷ ἐμῷ. δὲ ἀδελφῷ ἐκπεπόνηται κάλλιστά τε καὶ φιλοτιμώτατα περὶ τούτου ἐν τῇ τοῦ Λυκόφρονος ἐξηγήσει. ὅμως καὶ πάλιν τὰ καιριώτατα τούτων ἀναληπτέον καὶ διὰ βραχέων λεκτέον μοι. Hoc est: *De poetarum divisione meminime etiam antea iambis extempore compositis opusculum contexuisse. quin etiam et frater meus in Lycophronis expositione de eadem re elegantissime diligentissimeque scripsit. Attamen quae huic instituto opportuna videbuntur, ea repetita quam potero brevissime dicam.* Locus hic exstat statim in initio commentariorum Lycophronis, ubi de poetis poetarumque nominibus latissime disserit. Quae commentaria quo pacto furtim a quodam surrepta et tandem a Tzetzis discipulis inventa fuerint, Chiliade octava Tzetzes noster prosequitur. Praesens opus Ioannis τοῦ Τζέτζου, quod quandoque epistolam, nonnumquam πίνακας, saepe historiam appellat, in Chiliades distinximus, ut si qua legentes excerpere, aut in locos suos distribuere vellent, ordinem haberent expeditiorem, quem sequerentur. Carmina sunt adeo elegantia, adeo expedita, ut et delectare possint et a mediocriter doctis facile intelligi. Omnia sunt plena multifaria doctrina: quae omnia persequi, nec operae pretium est, nec huius propositi. Copia ac varietate reconditissimarum historiarum nunquam satiabere. Inserit insignia exempla virtutum, vitia passim severissime reprehendit. Nihil praetermittit, quod ad vitam bene instituendam visum sit illi conducere. Illustrium viro-

rum vitas, incredibili quadam et suavitate et gratia intertexit. Quod si qua docendi caussa repetit, ita variat omnia, ut nova videri possint. Voces quasdam praeter aliorum morem diligentissime exponit. Verum ut finem faciam, nullius te operae, nullius studii, nullius laboris, in legendo volutandoque hoc doctissimo scriptore poenitebit. Nunc quo tempore hi duo nobilissimi fratres vixerint, quamquam non omnino certus sim, coniecturam tamen meam non gravatim cum studiosis communicabo. Quod si quis emendato quopiam chronico adintus certiora invenerit, eius sententiam nonnulla cum gratia recipiemus.

Constantinus Ducas post Isaacium Comnenum orientis imperium obtinebat, anno a Christo nato MLXVI. Huic paullo postea, utpote anno redempti orbis MLXXVI. Michael filius, Parapinaceus ex caussa cognominatus, successit. Horum temporibus Michael Psellus, vir in philosophia et omni doctrinarum genere summus, floruisse dicitur, qui vigiliarum suarum nonnulla opera Constantino patri dedicavit. Quo e virorum coetu exempto, Psellus Michaelem filium hominem alioqui ignavum et socordem, in literis atque poetica instituit. Anno post hunc Psellum centesimo Ioannes Tzetzes se historicas has epistolas scripsisse refert: anno videlicet, si rem recte supputaverimus, MCLXXVI. A quo ad hanc nostram aetatem anni CCCLXX intercessere.

Haec, mi humanissime Oporine, habui, quae de

Ioanne Tzetze eiusque fratre dicerem: quae cum prop eas caussas, quas retulimus, grata futura spero studi historiae, tum quod eorum libri, qui ex professo vari historiam scripserunt, vel temporum iniuria, vel in tium hominum desidia interciderunt. Nam in hoc scri genere magnam famam adeptus est Gergethius Cephali et Photion Peripateticus. Et forsitan multo maiore doctissimus olim episcopus Alexandrinus Clemens, q ob amoenissimam varietatem libros suos στρωμάτων i scripsit. Pisander, poeta Larandaeus, omnigenam h storiam carmine condidit: qui exordio a Iovis et Iunon nuptiis accepto, ad sua usque tempora, hoc est Alexand Mammeae doctissimi imperatoris, quae mediis omnibu seculis contigerunt, in unam seriem redegit et unum e diversis hiatibus temporum corpus effecit. Quonian vero, ut dicebam, saevitia temporum, aut prioris aetati socordia tot illustria monimenta perierunt, alacrior animo suscipiamus, quae ex veteribus veluti ruinis e ruderibus conservavit literisque tradidit Tzetzes. Pr quo immenso munere et beneficio tuo, Oporine, merit tibi maximas gratias et hoc nostrum seculum et grata posteritas referet. Vale et non cessa huiusmodi officiis te in doctorum hominum amicitiam atque favorem inserere. Argentinae ex aedibus nostris MDXLVI, VII Idus Martii.

ΒΙΒΛΙΟΝ ΙΣΤΟΡΙΚΗΣ
ΙΩΑΝΝΟΥ ΤΟΥ ΤΖΕΤΖΟΥ
ΤΗΣ ΔΙΑ ΣΤΙΧΩΝ ΠΟΛΙΤΙΚΩΝ
ΑΛΦΑ ΔΕ ΚΑΛΟΥΜΕΝΗΣ. *)

Ἀκριβεστάτως ἐκμαθεῖν, φίλτατε, κεχρημένος
Μιᾶς ἐμῆς ἐπιστολῆς σύμπασαν ἱστορίαν,
Εὐκρινημένως μάνθανε πρῶτον ἐκ τῆς τοῦ Κροίσου.

ΠΕΡΙ ΚΡΟΙΣΟΥ
ΙΣΤΟΡΙΑ ΠΡΩΤΗ.

Κροῖσος ὁ Ἀλυάττεω Λυδῶν ἦν βασιλεύων,
Μητρόπολιν ἀνάκτορον τὰς Σάρδεις κεκτημένος.
Τοῦ Πακτωλοῦ δὲ ῥέοντος ἐκεῖσε πρὶν χρυσίου
Ὄμβροις ἐκ Τμώλου ὄρεος τὸ ψῆγμα δεχομένου,
Πάντων πολυχρυσότερος γέγονε βασιλέων.
Τῷ πλούτῳ δ' ἁβρυνόμενος καὶ θησαυροῖς ἀμέτροις

*) Hic titulus in cod. A. a secunda scriptus manu positus est ante verba: *ἀκριβεστάτως ἐκμαθεῖν κ. τ. λ.* Codex B. autem hunc titulum habet: *ἱστορίαι γραμματικοῦ ἰῶ τοῦ τζέτζου ὧνπερ ἐπεμνήσθη ἐν μιᾷ τῶν αὐτοῦ ἐπιστολῶν.* Quae eadem leguntur in cd. A. praemissa titulo historiae quartae chiliadis primae, nisi quod *ἐμνήσθη* et *ἰωάννου γραμματικοῦ.*

HIST. 1.

1. *Ἀλυάττεω* duplici τ cd. B.

3. Scripsi *χρυσίου* pro *χρυσίον.* Herodot. I, 101. *Πακτωλὸς ὅς σφι ψῆγμα χρυσοῦ καταφορέων ἐκ τοῦ Τμώλου, διὰ μέσης τῆς ἀγορῆς ῥέει.*

5. Cd. B. pro comparativo exhibet *πολυχρυσότατος.*

[illegible] καὶ τῶν εὐμεταδότων.
[illegible], υἱὸς τοῦ Δαϊφάντου,
[illegible] αὐτὸν Ἀλκμαίωνα τὸν πάνυ,
[illegible] ἐκέλευσε χρυσίον.
[illegible] εὐρύκολπον εἰςάγαν
[illegible] τραγικῶν καὶ τῶν εὐρυπεδίλων,
[illegible] εἰςδεδυκὼς πάντα πληροῖ χρυσίου,
[illegible] τὴν αὐτοῦ κατέχειν τοῖς ὀδοῦσι.
[illegible] βάρει δὲ βαδίζειν οὐκ ἰσχύων
[illegible] πρὸς γέλωτα βαδίσει καὶ τῇ θέᾳ.
[illegible] ἐκέλευσε δὶς τόσα λαβεῖν ἄλλα.
[illegible] μὲν ὁ Πίνδαρος ὁ λυρικός που γράφει·
[illegible] δ' Ἡρόδοτος, ὁ παῖς ὁ τοῦ Ὀξύλου,
[illegible] αὐτῷ καὶ Πλούταρχος τὸν ἄνδρα διαγράφει
[illegible] πλίνθους εἰς Δελφοὺς πέμψαι τῶν ὁλοχρύσων,
[illegible] βωμὸς Ἀπόλλωνι πάγχρυσος ἐδρασθείη.
[illegible]τός ποτε καὶ Σόλωνα τὸν νομογράφον ἄνδρα
[illegible] Σάρδεις διατρίβοντα καλεῖ τοῖς ἀνακτόροις,
Τοὺς θησαυρούς τε δείκνυσιν, ἐφ' οἷς αὐχῶν ἐθάῤῥει,
Ὅπως αὐτῷ μακαρισθῇ, δόξας τῶν εὐδαιμόνων.
Ὡς δ' ὁ φιλόσοφος αὐτὸν Σόλων ὁ νομογράφος
Οὐδόλως ἐμακάρισεν, ἤρετο τοῦτον Κροῖσος·
Εὐδαιμονέστερον ἡμῶν οἶδάς τινά που, Σόλων;
Ὁ δέ, καὶ μάλιστα φησὶ τὸν στρατηγὸν τὸν Τέλλον
Καὶ Κλέοβιν καὶ Βίτωνα, τοὺς παῖδας τῆς Κυδίππης.
Ὁ μὲν γὰρ Τέλλος στρατηγὸς νικήσας πολεμίους,
Μακαριζόμενος πολλοῖς ἐπὶ λαμπρᾷ τῇ νίκῃ,
Εὐδαίμων θνήσκει κατ' αὐτὴν τῆς νίκης τὴν ἑσπέραν.

---

9. Conf. Herodot. VI, 125. Schol. ad Pind. Pyth. VII.
10. Aoristus pro imperfecto e cd. B. — Pind. Pyth. I, 184. Heyn. οὐ φθίνει Κροίσου φιλόφρων ἀρετά.
19. Herodot. I, 50. sqq. — De nomine Ὀξύλου vid. ad Chil. III. v. 388. — Cd. B. ὁ παῖς semel.
23. Herodot. I, 29. sqq. Plutarch. Sol. 27. De discrim. am. et adulat. 23. — Pro νομογράφον in cd. B. νομοθέτην.

Οἱ παῖδες τῆς Κυδίππης δὲ τῆς Ἥρας ἱερείας,
Νοσούσης τούτων τῆς μητρός, ζευχθέντες ὥςπερ βόες
Ἐς τὸ Ἡραῖον ἄγουσι τέμενος τὴν μητέρα.
Τῆς δὲ μητρὸς ὃ κάλλιστον τούτοις ἐπευξαμένης,
Θνήσκουσιν ἄμφω τῇ νυκτί, κάλλιστον σχόντες τέλος.
Τούτους εὐδαίμονας καλῶ καὶ τοὺς τοιούτους, Κροῖσε,
Ὁπόσοι τέρματι χρηστῷ κατέλυσαν τὸν βίον·
Τὸ σὸν δὲ τέλος ἄδηλον· ὅθεν οὐ μακαρίζω·
Πρὸ τελευτῆς γὰρ ἄνθρωπον οὐ πρέπει μακαρίζειν.
Ταῦτα μὲν Σόλων τῷ Λυδῷ προφητικῶς εἰρήκει.
Μετὰ μικρὸν γὰρ ἡττηθεὶς Κροῖσος πολέμου νόμῳ
Κύρῳ τῷ Πέρσῃ τῷ υἱῷ Καμβύσου καὶ Μανδάνης
Ἡμέρας δεκατέσσαρας ὅλας πολιορκεῖται,
Καὶ πορθηθεὶς αἰχμάλωτος ὡς πρὸς πυρὰν ἀνήχθη·
Ὦ Σόλων, Σόλων, Σόλων δὲ τρίτον ἀναβοήσας
Ἡρπάγη πάλιν τῆς πυρᾶς, Κύρου τὸ πᾶν μαθόντος.
Καὶ ταῦτα μὲν Ἡρόδοτος· ὁ Ξενοφῶν δὲ λέγει,
Μηδὲν τὸν Κροῖσον δυςχερὲς παθεῖν ὑπὸ τοῦ Κύρου,
Ἀλλ' ἀγασθῆναι μάλιστα τῆς μεγαλοψυχίας.
Καὶ γάρ φησιν· αἰχμάλωτος γενόμενος ὁ Κροῖσος
Εἶπεν, εὐδαιμονέστερον νῦν διαντλῶ τὸν βίον.
Ὁ Ξενοφῶν δὲ κάλλιστα καὶ τὰ τῆς μάχης γράφει.
Τὴν Ἀσσυρίαν ὅμορον εἶναι Μηδίας λέγει.
Τοῦ βασιλέως δ' ὁ υἱὸς τῶν Ἀσσυρίων τότε
Γάμους τελῶν ἐξέδραμε θηρεύσων εἰς Μηδίαν.
Ἔχων ἱππεῖς ἀρκοῦντας δὲ τὴν θήραν καταλείψας,
Ληλατεῖν ἀπήρξατο τοὺς τῆς Μηδίας ὅρους·
Τοῦ Κύρου συμβουλεύσαντος τῷ πάππῳ δὲ νικῶνται.

---

35. Ἥρας scripsi pro Ῥέας. Quae sit scriptura cd. A., non patet.
37. εἰς cd. B.
43. χρεὼν μὴ cd. B. pro οὐ πρέπει.
51. Xenoph. Cyrop. VII, 2, 26. sqq. Iustin. I, 7.
56. Xenoph. Cyrop. I, 4, 16. sqq.
59. θηρεύσων εἰς habet cd. A. in textu, in margine a secunda manu cum cd. B. θηρεύσας. Idem cd. B. πρὸς pro εἰς.

Ὅθεν αὐτοῖς ὁ πόλεμος ὁ μέγας ἀνεῤῥάγη.
Θανόντος Ἀστυάγους δέ, υἱὸς ὁ Κυαξάρης,
Τοῦ Κύρου θεῖος, βασιλεὺς γίνεται πάντων Μήδων,
Ἄνθρωπος βλὰξ τε καὶ τρυφαῖς καὶ πότοις ἠσκημένος
Σκιὰν μόνον καὶ ὄνομα πλουτῶν τῆς βασιλείας,
Ἔργοις δ' ἦν Κῦρος βασιλεύς, καὶ δέχεται τὴν μάχην
Μήδους καὶ Πέρσας ὑφ' αὐτὸν καὶ τοὺς Σουσίους ἔχων,
Ὧν Ἀβραδάτας βασιλεύς, ἀνὴρ ὁ τῆς Πανθείας,
Καί τινας ἄλλους ὑφ' αὐτὸν εἶχεν ἐντεταγμένους.
Τῷ δ' Ἀσσυρίῳ συνεργοὶ καὶ σύμμαχοι παρῆσαν
Ὁ Ἀρτακάμας βασιλεὺς Φρυγίας τῆς μεγάλης,
Γαβαῖός τε ὁ στρατηγὸς Φρυγίας Ἑλλησπόντου,
Καὶ βασιλεὺς Ἀρίβαιος πάσης Καππαδοκίας,
Ἄλλο τε πλῆθος πάμπλειστον ἐθνῶν ἀναριθμήτων,
Καὶ σὺν αὐτοῖς ὁ Μάραγδος ὁ βασιλεὺς Ἀράβων,
Καὶ Κροῖσος οὗτος ὁ Λυδός, ὃς πρόκειται τοῖς λόγοις.
Ὡς οὖν ὁ Κῦρος συμβαλὼν μάχην συγκόπτει τούτους,
Ἐπὶ τὰς Σάρδεις ἤλαυνε. νυκτὶ δὲ τῇ δευτέρᾳ
Χαλδαίους ἀνεβίβασε, τὰ τείχη καταστρέφει.
Ὁ δὲ Κτησίας ἰατρός, υἱὸς τοῦ Κτησιόχου,
Ἐξωρμημένος πόλεως ἐκ Κνίδου τῆς κυπρίας,
Ὃς Ἀρταξέρξῃ κρατηθεὶς ὡς συμμαχῶν τῷ Κύρῳ
Ἐν Πέρσαις διετέλεσε χρόνους ἑπτὰ καὶ δέκα,
Βίβλοις τρισὶ καὶ εἴκοσι τὰ Περσικὰ συγγράψας,
Τὸν Ἀστυάγη μέν φησι καταβληθέντα Κύρῳ,

---

66. Sic recte cd. B. pro *πόταις*.

70. *Ἀβραδάτας* correxit secunda manus in cd. A. De hoc nomine cf. praefat. Weiskii ad Cyrop. c. III. p. XXXVI. ed. Popp.

71. Pro *ἐντεταγμένους* manus secunda in codicis A. margine videtur voluisse *συντεταγμένους*.

73. Conf. Cyrop. II, 1, 5.

76. Sic recte cd. B. pro *πάμπληστον*.

77. Vid. indic. Poppon. Cyrop. s. n. *Maragdus*. — Pro *Ἀῤῥάβων* dedi *Ἀράβων*.

81. *καταστρέφων* cd. B.

82. De Ctesia vide quae suae Ctesiae fragmentorum editioni praemisit Lion. — Item conf. Ctesiae Persica p. 5.

Τῶν Βαρκανίων ἄρχοντα γενέσθαι παρὰ τούτου.
Οἰβάρην δὲ τὸν στρατηγὸν τὸν μέγαν τὸν τοῦ Κύρου
Ξύλινα λέγει πρόσωπα Σάρδεσιν ἐπιστῆσαι
Ἐν ὑπερμήκεσι κοντοῖς νυκτὸς ἐνδεδυμένα.
Οὕτω Λυδοὺς ταράξαι δὲ καὶ κατασχεῖν τὴν πόλιν.
Μετὰ τὴν αἰχμαλώτισιν, φάσκει δὲ τὴν τοῦ Κροίσου,
Πρὸς Ἀστυάγη πέπομφεν ὁ Κῦρος Πετησάκαν,
Ὅπως ἐλθὼν τὴν Ἄμυτιν ἴδῃ σὺν Ἀστυάγει.
Ἡ Ἄμυτις ὑπάρχουσα δὲ παῖς τοῦ Ἀστυάγους
Τοῦτον τὸν πρωτοεύνουχον, ἄθλιον Πετησάκαν,
Ἐπίβουλον νοήσασα τούτου τοῦ Ἀστυάγους,
Τοὺς ὀφθαλμοὺς ἐξώρυξεν, ἐκδείρασά τε ζῶντα
Ἀνεσκολόπισε σταυρῷ, θεῖσα βορὰν ὀρνέοις.
Ἔχεις τοῦ Κροίσου, φίλτατε, σύμπασαν ἱστορίαν.
Φέρε δὲ λέξωμεν λοιπὸν ἤδη καὶ τὴν τοῦ Μίδου.

ΠΕΡΙ ΤΟΥ ΜΙΔΟΥ. β'.

Μίδας ὁ τοῦ Γορδίεω Φρυγῶν ἦν βασιλεύων.
Ὅς ὢν φιλοχρυσότατος ὑπὲρ ἀνθρώπου φύσιν
Εὐχὴν ἐπεύχεται πικράν, ὡς γράφουσιν οἱ μῦθοι,
Ὅπως ἂν γένοιτο χρυσὸς οὕπερ αὐτὸς κρατοίη.
Ἐκχρυσουμένων τούτῳ δὲ λοιπὸν καὶ τῶν βρωμάτων,
Θνήσκει πεινῶν ὁ δείλαιος λιμῷ κεχρυσωμένῃ.
Ἄλλοι δὲ γράφουσί τινες, οὐχὶ θανεῖν ἐκεῖνον,
Ἅρμα δ' ἐλάσαντα χρησμοῖς ἀγκύρᾳ κρατηθῆναι,
Καὶ κτίσαι πόλιν Ἄγκυραν Γαλατικὴν πρὸς Ἅλυν.

---

88. Conf. Lion ad Ctes. Pers. p. 10. De ipso strategem. Polyaen. 7, 10.

94. Cd. B. et hoc vs. et v. 98. Πεντησάκαν. In Photii Excerpt. Persic. p. 11. edit. Ctesiae Lion. vocatur Πετισάκας.

95. Cd. B. ἴδοι pro ἴδῃ.

96. Cd. B. παῖς δε.

100. Sic recte uterque cd. pro ἀνεσκολόπησε.

101. Cd. B. τοῦ Κρ. pro τὴν Κρ.

HIST. 2.

103. In cd. A. Γορδύεω, quae scriptura non habet quo se tueatur. De Mida vid. Perizon. ad Aelian. V. H. III, 18.

108. πεινῶν pro λοιπὸν praebuit cd. B.

111. Conf. Paus. I, 4. et quae ibi collegit Siebelis.

Οὕτω φυγεῖν τε τὴν λιμὸν καὶ τὸν ἐκ ταύτης μόρον.
Τοῦτον τὸν Μίδαν γράφουσιν ἔχειν ὠτία ὄνου.
Ἀλλ' ἀλληγορητέον μοι σαφῶς σοι τὰ τοῦ Μίδου.

Οὗτος ἐρασιχρήματος, φιλοκερδὴς ἦν, γλίσχρος,
Ἐστένου τὴν γαστέρα δὲ τὰ βρώματα πιπράσκων,
Ὥσπερ Οὐεσπασιανὸς τὴν κόπρον τὴν τῶν ἵππων,
Καίπερ καταμεμφόμενος υἱῷ πολλὰ τῷ Τίτῳ.
Πρὸς ὅνπερ ἔφασκεν αὐτός· φίλτατον τέκνον, Τίτε,
Τῆς κόπρου τόνδε τὸν χρυσὸν ὄσφρησαι πῶς οὐκ' ὄζει
Τοιοῦτος οὖν, ὡς ἔφημεν, καὶ Μίδας ὑπηργμένος
Τοῖς μύθοις ὑποπέπτωκε τοῖς οὕτω πεπλασμένοις.
Ὕστερον κτίσας Ἄγκυραν εἶχε τροφὰς ἐκ ταύτης.
Ὦτα δὲ τοῦτον λέγουσιν ἔχειν, ὡς εἶπον, ὄνου,
Τῷ εἶναι ὀξυήκοον, εἴτε μὴν καὶ μακρώτην,
Ἢ τῷ πολλοὺς ὠτακουστὰς ἔχειν τε καὶ πευθῆνας.
Ὄνον γὰρ ὀξυήκοόν φησιν Ἀριστοτέλης.
Ἔστι καὶ κώμη τῶν Φρυγῶν, ἧ κλῆσις ὄνου ὦτα·
Ταύτην λῃσταὶ κατῴκησαν· ἣν κατασχὼν ὁ Μίδας
Οὕτω πρὸς μύθους πέπτωκεν, ὡς ἔχων ὦτα ὄνου.

Τὴν Ἄγκυραν δ' ἣν ἔφημεν τῆς Γαλατίας εὗρον
Κτίσαι τὸν Ὀκταούϊον Καίσαρα τὸν Ῥωμαῖον,
Κτείναντα Δηϊόταυρον τετράρχην Γαλατίας,
Οὐδ' ἐξ ἀγκύρας σιδηρᾶς ἅρμα τοῦ Μίδου σχούσης
Κληθῆναι ταύτην Ἄγκυραν, ἀλλ' ὅτι μέση κεῖται
Ἀσιανῆς καὶ Ποντικῆς τῶν θαλασσῶν τῶν δύο.

---

112. *τὴν* pro *τὸν*, et mox *ταύτης* pro *τούτου* cd. B. Bene. Vide notata de subst. *λιμὸς* genere in Lex. Passoviano.

117 Vid. Casaub. ad Sueton. Vespas. 23. et Reimarus ad Dion. Cass. 66, 14. Hic Vespasianus sic interrogat: *ἰδοὺ τέκνον, εἴ τι ὄζουσιν.* Ut adeo in Tzetza vs. 120. legendum videatur: *πῶς οὐκ ὄζει.*

120. De *ὄσφρησαι* vid. Lobeck. ad Phrynich. p. 741.

129. Artic. *ὁ* accessit e cd. A. — Ad ea quae sequuntur cf. Cellar. Not. Orb. Ant. T. II. p. 175. ed. pr.

ΠΕΡΙ ΤΟΥ ΓΥΓΟΥ. γ'.

Γύγης τὸ πρότερον ποιμὴν κατά τινας ὑπάρχων,
Ποιμαίνων εὗρέ που χαλκοῦν ἵππον ἐγκεχωσμένον,
Εἰς ὅνπερ ἵππον ἔνδοθι νεκρός τις κεκλιμένος
Στρεπτὸν περὶ τὸν δάκτυλον δακτύλιον ἐφόρει.
Τοῦτον γοῦν τὸν δακτύλιον οὗτος λαβὼν ὁ Γύγης
Καὶ γνοὺς ὡς ἔχει δύναμιν, σφενδόνης στρεφομένης,
Συγκρύπτειν τὸν κατέχοντα καὶ πάλιν ἐμφανίζειν,
Κτείνας Κανδαύλην ἔλαβε Λυδῶν τὴν βασιλείαν.
Ἡρόδοτος τὸν Γύγην δὲ ποιμένα μὲν οὐ λέγει,
Υἱὸν Δασκύλου δέ φησιν, ὑπασπιστὴν Κανδαύλου.
Ὅστις Κανδαύλης γυναικὸς ἔρον οἰκείας τρέφων
Γυμνὴν αὐτὴν ὑπέδειξε τῷ Γύγῃ λεληθότως.
Ἡ δὲ καὶ γνοῦσα σιωπᾷ, εἶτα καλεῖ τὸν Γύγην,
Αἵρεσιν λέγουσα λαβὲ Γύγη τῶν δύο μίαν,
Ἢ σὺ Κανδαύλην ἀνελεῖν ἢ φονευθῆναι τούτῳ.
Γυμνὴ δυσὶν ἀνδράσι γὰρ οὐ στέγω θεαθῆναι.
Οὕτω Κανδαύλην ἀνελὼν εἷλε τὴν βασιλείαν.
Ἐκ τῆς Κανδαύλου γυναικὸς Ἄρδυς υἱὸς τῷ Γύγῃ,
Ἄρδυος Σαδυάττης δέ, καὶ τούτου Ἀλυάττης,
Ἐξ Ἀλυάττου Κροῖσος δέ, ὅστις ἡττᾶται Κύρῳ.
Ἀλλ' ἤδη σε σφαδάζοντα καὶ κεχηνότα βλέπω,
Τὴν Γύγου χρήζοντα μαθεῖν πᾶσαν ἀλληγορίαν.
Ποιμὴν ὁ Γύγης λέγεται τῷ στρατηγὸς τυγχάνειν·
Ἵππος χαλκοῦς ἀγέρωχός ἐστιν ἡ βασιλεία,
Ναὶ μὴν καὶ τὰ ἀνάκτορα· νεκρός, γυνὴ Κανδαύλου,
Τῶν ἀνακτόρων ἄπρακτος ἔνδοθεν καθημένη.
Ἧς τὸν δακτύλιον λαβὼν ὑπασπισταῖς δεικνύει,
Καὶ σὺν αὐτοῖς ἀπέκτεινε λαθραίως τὸν Κανδαύλη,
Στρέψας δὲ τὸν δακτύλιον πάλιν πρὸς τὴν γυναῖκα
Γίνεται πᾶσιν ἐμφανής, λαβὼν τὴν βασιλείαν.

HIST. 3.

137. De Gyge conf. Herodot. I, 8 — 12. Plato de republ. II. p. 359. D. Steph. (p. 70. Ast.) Cic. de offic. III, 9.

ΠΕΡΙ ΚΟΔΡΟΥ. δ.

Ὁ βασιλεὺς τῶν Ἀθηνῶν Κόδρος, ὁ παῖς Μελάνθου,
Εἰς Ἐριχθόνιον αὐτὸν τὸ γένος ἀναφέρει,
Ἕλκων σειρὰν βασιλικὴν ἀπείρων βασιλέων.
Κέκροψ γὰρ πρῶτος βασιλεὺς τῶν Ἀθηνῶν ὑπῆρχε,
Καὶ μετ' αὐτὸν ὁ Κραναὸς καὶ τρίτος Ἀμφικτύων.
Ὁ Ἐριχθόνιος δ' αὐτὸν διώξας βασιλεύει,
Ἡφαίστου παῖς καὶ Ἀθηνᾶς τῆς Κραναοῦ ὑπάρχων·
Ἐκ Φρασιθέας τούτῳ δὲ γίνεται παῖς Πανδίων·
Ζευξίππης καὶ Πανδίονος ὁ Ἐρεχθεὺς ἐξέφυ.
Πρόκνην καὶ Φιλομήλαν δὲ καὶ Βούτην ἐατέον.
Ἐκ Πραξιθέας Ἐρεχθεὺς τὸν Κέκροπα λοχεύει,
Ὁ Κέκροψ δὲ Πανδίονα ἐκ τῆς Μητιαδούσης·
Τούτῳ δὲ τῷ Πανδίονι Αἰγεύς, πατὴρ Θησέως.
Ἀκάμας δὲ καὶ Δημοφῶν Θησέως πάλιν παῖδες.
Ὁ Δημοφῶν γεγέννηκεν ἔπειτα τὸν Ὀξύντην.
Ὀξύντης τὸν Θυμοίτην δέ, τὸν Μέλανθον Θυμοίτης.
Ἐκ τοῦ Μελάνθου Κόδρος δέ, Κόδρου Νηλεὺς καὶ Μέδων
Πάντες οὓς εἶπον βασιλεῖς καὶ κατωτέρω τούτων.
Τινὲς δὲ γένος λέγουσι ταύτης τῆς ῥιζουχίας
Ἄχρι Θυμοίτου, Μέλανθον οὐκ εἶναι δὲ τοῦ γένους.
Πρὸς τὸ μονομαχῆσαι δὲ τῷ Βοιωτῷ Ξανθείᾳ
Θυμοίτης δῶρον δίδωσι τούτῳ τὴν βασιλείαν.
Οὗτος ὁ Κόδρος εὐγενὴς οὐκ ἦν τῷ γένει μόνον,
Ἀλλὰ πανευγενέστατος καὶ τὴν ψυχὴν ὑπῆρχε.

HIST. 4.

167. De Codro conf. loca a Siebelis. repetita in Hellenicis ab ipso editis p. 123. sqq. Adde Iustin. II, 6. Paus. VII, 25. Vell. I, 2, 2. Cic. Tusc. I, 48.

173. *καὶ Ἀθηνᾶς* etiam cd. A. in textu, in margine autem a secunda manu *Ἀτθίδος τε.* Cf. Chil. V, 560. et Apollod. III, 14, 6. 2.

174. *Φρασιθέα* Erechthei uxor vocatur etiam Chil. V, 671. contra *Πραξιθέα* et vs. 177. et Chil. V, 674.

178. *δὲ* pro *τε* cd. B.

184. Cd. B. *οὖν* pro *οὕς.*

187. Cd. B. *Ξανθίᾳ* pro *Ξανθείᾳ.*

190. *πανευγενέστατος* cd. A. pro *πανσυγγενέστατος*, quod est

Λακώνων Ἀθηναίων τέ ποτε γὰρ πολεμούντων
Χρησμὸς ἐδόθη Λάκωσι, μεγάλως ἡττηθῆναι,
Ἄν τις ἐκ τούτων στρατηγὸν τῶν Ἀθηναίων κτείνῃ.
Ὁ γνοὺς ὁ Κόδρος καὶ στολὴν ἀψάμενος δρυτόμου,
Πελέκει Λάκωνά τινα κτείνας ἀνταναιρεῖται.
Ὅπερ καὶ γνόντες, φεύγουσιν οἱ Λάκωνες εὐθέως.

ΠΕΡΙ ΜΕΓΑΚΛΕΟΥΣ. ε.

Δύο μὲν ἦσαν Μεγακλεῖς ἐξ Ἀθηναίων γένους,
Πανευγενεῖς ἀμφότεροι καὶ τῶν εὐδοκιμούντων.
Ὧν ὁ μὲν εἰς πρὸ ἑκατὸν ἑξήκοντα καὶ δύο
Τῶν χρόνων ἐκνενίκηκεν Ὀλύμπια τρισσάκις,
Κοισύρας οὗτος ὢν υἱὸς τῆς πανευγενεστάτης·
Οὗτος πυθιονίκης δὲ ὁ Μεγακλῆς ὑπῆρχε,
Τὸ γένος εἰς Ἀλκμαίωνα τὸν πάμπλουτον ἀνάγων,
Ὅνπερ τὸ πρὶν εἰρήκειμεν ἐκ Κροίσου πλουτισθῆναι.

ΠΕΡΙ ΑΛΚΜΑΙΩΝΟΣ. ϛ.

Ἀλκμαίων ἦν τῶν εὐγενῶν καὶ τῶν ὑπερπλουτούντων·
Οὗπερ οἱ παῖδες ἔκτειναν τοῦ Πεισιστράτου παῖδας,
Τυράννους ὄντας Ἀθηνῶν, Ἵππαρχον καὶ Ἱππίαν,
Τὴν πόλιν δ' ἠλευθέρωσαν, ὧν εἷς ἦν ὁ Κλεισθένης.

ΠΕΡΙ ΤΩΝ ΒΟΡΕΟΥ ΥΙΩΝ. ζ.

Βορέας Θρᾷξ ἐξ Ἀθηνῶν Ὠρείθυιαν ἁρπάξας,
Ζήτην γεννᾷ καὶ Κάλαϊν, εἰςάγαν ἁβροκόμας,
Καὶ τὸν Ἀβεσαλὼμ αὐτὸν εἰς τρίχωσιν νικῶντας,
Οὕσπερ καὶ πέτεσθαι θριξὶν ἔφασαν μυθογράφοι,

---

in edit. Basil. Etiam vs. 191. pro συγγενὴς scripsi εὐγενής.

HIST. 5.

197. De Megacle vid. Schol. ad Pind. Pyth. VII. Schol. ad Aristoph. Nub. 47. Herodot. I, 60.

206. Cf. Thucyd. VI, 54. sqq. Harmodius et Aristogiton non fuerunt filii Alcmaeonis. τοὺς pro τοῦ cd. B.

HIST. 7.

210. Cf. Schol. ad Pind. Pyth. IV, 324. Heyn.

Ὡς ἐπηρμένους ταῖς θριξὶν αὐτῶν καὶ γαυρουμένους.
Τούτους φασὶ συμπλέοντας τοῖς ἄλλοις Ἀργοναύταις
Ἐκ τοῦ Φινέως γέροντος διῶξαι τὰς Ἁρπύϊας,
Ὄρνις ἐκ στόματος αὐτοῦ τὰς βρώσεις ἁρπαζούσας.
Καὶ σὺν αὐταῖς δὲ γράφουσι καὶ τούτους ἀπολέσθαι.
Τὸ δ' ἀληθὲς ἀλληγορεῖν οὕτως αὐτάς μοι νόει.
Ὁ γέρων οὗτος ὁ Φινεὺς τυφλὸς ἦν ὑπὸ γήρως.
Ἐράσειαν, Ἁρπύρειαν ἔχων δὲ θυγατέρας,
Ζώσας πορνικώτατον καὶ τὸν βλακώδη βίον,
Τὸν πάντα βίον ὑπ' αὐτῶν τελέως ἐξηντλεῖτο,
Πενίᾳ συνείχετο, λιμῷ τε παλαμναίᾳ.
Ὁ Ζήτης δὲ καὶ Κάλαϊς ταύτας ἀφηρπακότες
Ἄφαντοί ποι γεγόνασιν ἐκ τῶν μερῶν ἐκείνων.
Ὅθεν εἰς μύθους πέπτωκε τὰ περὶ τούτων πάντα.
Ὁ δ' Ἀπολλώνιός φησι ταύτην τὴν ἱστορίαν.

ΠΕΡΙ ΕΥΦΟΡΒΟΥ. η'.

Εὔφορβος Φρόντιδος υἱὸς καθ' Ὅμηρον καὶ Πάνθου·
Ὀρφεὺς Ἀβαρβαρέης δὲ καὶ Βουκολίδην λέγει.
Οὗτος δ' ἐρασιπλόκαμος ὢν τῶν ἁβροβοστρύχων,
Καὶ πολεμῶν καὶ συμμαχῶν Τρωσὶν ὑπὲρ Ἑλένης,
Πολλῷ χρυσῷ κατάδετον εἶχε τὴν πλοκαμίδα
Καὶ κόσσυβον, καὶ κρωβύλον, καὶ τεττιγοφορίαν.

---

215. De Phineo v. Apollod. I, 9, 21. sq. Heyn. obss. pag. 77. sqq.

218. αὐτάς μοι νόει pro αὐτός μοι νόου aperte ed. B. νόει fuit item in cd. A. ubi depravavit manus infelix.

220. Conf. Schol. ad Lycophr. 166. Palaephat. c. 23, 3. ibique Fisch. Nat. Com. VII, 6. — Vs. proximo, item v. 223. deest syllaba.

223. In cd. utroque est παλαμναίῳ. Vid. ad vs. 112.

227. Apollon. I, 20. sqq. ibique Schol. Heynii obss. ad Apollod. pag. 334. Ast ad Plat. Phaedr. pag. 226.

HIST. 8.

228. Iliad. XVI, 808. XVII, 40. Orph. Lap. 455. ibique not. Chil. XIII, 574.

233. Vix sana forma κόσσυβον pro κόσυμβον vel κοσύμβην.

ΠΕΡΙ ΝΑΡΚΙΣΣΟΥ. θ'.

Νάρκισσος, Λάκων, θηρευτής, φιλώραιος ἦν νέος.
Ὥρᾳ θερείᾳ δέ ποτε διψήσας μετὰ θήραν,
Ὡς ἐπικύψας πρὸς πηγὴν εἶδεν αὐτὸν ὡραῖον,
Ἐρᾷ σκιᾶς τῆς ἑαυτοῦ καθάπερ ἄλλου νέου.
Χρήζων δὲ ταύτην κατασχεῖν, ὑγρὸν ἀντλεῖ τὸν μόρον.

ΠΕΡΙ ΝΙΡΕΩΣ. ι'.

Νιρεύς, Ἑλλήνων στρατηγός, ὡραῖος ἦν τῷ κάλλει
Πάντων Ἑλλήνων τῶν λοιπῶν μετὰ τὸν Ἀχιλλέα.

ΠΕΡΙ ΥΑΚΙΝΘΟΥ. ια'.

Ὑάκινθος Κυνόρτου μὲν ἦν ἀδελφὸς ὡραῖος,
Υἱὸς Ἀμύκλου δὲ πατρός, μητρὸς τῆς Διομήδης,
Ἐκ γῆς ἀνδρῶν τῶν εὐγενῶν, Λακώνων Ἀμυκλαίων.
Ἀπόλλων δὲ καὶ Ζέφυρος τοῦ μείρακος ἀντήρων.
Καὶ δή ποτε δισκεύοντος Ἀπόλλωνος σὺν τούτῳ,
Λάβρον πνεύσας ὁ Ζέφυρος τὸν δίσκον περιτρέπει·
Τῇ κορυφῇ δὲ τὸν καλὸν πλήξας ἀνεῖλε νέον·
Ἡ γῆ δ' ἄνθος ὁμώνυμον ἀντέδωκε τοῦ νέου,
Καθάπερ καὶ τὸν Νάρκισσον οἰκτείρασα τοῦ κάλλους.
Ἀλλ' ἡ Ναρκίσσου πρόδηλός ἐστιν ἀλληγορία,
Ὅτι πεσὼν ἐν ὕδασιν ὁ νέος ἀπεπνίγη.
Τὸ κάλλος δ' ὑπεραίροντες, πένθους παρηγορίᾳ,
Φασὶ πεσεῖν ἐν ὕδασι σκιᾶς αὐτοῦ τῷ πόθῳ.
Τὸ τῶν φυτῶν δὲ πρόδηλον, ὡς καὶ τῶν δένδρων πάντων
Καὶ τῶν ἀστέρων σὺν αὐτοῖς καὶ τῶν ὁμοιοτρόπων.
Τῶν γὰρ θνησκόντων ἀγχιστεῖς, τρέφοντες πόθον τούτων,

HIST. 9.

234. De Narcisso v. Ovid. Met. III, 339. et ibi int. Add. Eustath. ad Iliad. II, 408.

HIST. 10.

239. De Nireo v. Iliad. II, 671. Diod. Sic. V, 53.

HIST. 11.

De Hyacintho vid. Apollod. I, 3, 3. III, 10, 3.

253. φασὶν — ὕδατι cd. B.

256. τρέφοντες est prioris in cd. A. lectionis correctio a manu sec. profecta, quae eadem in margine apposuit στρέφοντες.

Ἐκεῖνα κατωνόμαζον εἰς κλήσεις τὰς ἐκείνων.
Τοῦ Ὑακίνθου δέ φασιν ἀντεραστὰς οὓς ἔφην
Δεικνύντες, ὑπεραίροντες τοῦ νέου τὸ ὡραῖον,
Ὡς ἔχαιρεν ὁ ἥλιος τρεπόμενος τῷ νέῳ,
Καὶ τῶν ἀνέμων αἱ πνοαὶ θέλγητρον εἶχον τοῦτον·
Ὡς δὲ σὺν μείρακί τινι δισκεύων ἀνῃρέθη
Ἀνέμου μεταστρέψαντος πρὸς κορυφὴν τὸν δίσκον,
Ἔπλασαν ὡς ὁ Ζέφυρος βασκαίνων τῷ Ἡλίῳ
Ἐξάγει τοῦτον τῆς ζωῆς καὶ τοῦ λαμπροῦ φωσφόρου.
Τὴν δ' ἱστορίαν Νίκανδρος θηριακοῖς ἐγγράφει.

Τὸ δὲ ζητεῖν καὶ τὰ ῥητὰ τὰ τῶν σοφῶν σοι γράφειν,
Ἄκαιρον καὶ περίεργον καὶ τῶν μοχθηροτάτων.
Οὐ γὰρ ὡς Τζέτζου πόνημα ταῦτα ζητεῖς μανθάνειν,
Εὐχάριστος φαινόμενος περὶ τοὺς εὐεργέτας,
Ἀλλ' ὡς τερατευσόμενος τόσα μαθεῖν βιβλία,
Ὡς πρὶν ἄλλος ἀχάριστος, ἐξ οὗ τὴν πεῖραν ἔσχον.
Ὅθεν ἀρκεῖ καὶ τοὔνομά σοι γεγραφέναι μόνον·
Τὴν μνήμην δ' ἔα παρ' ἡμῖν πάντων ἐμμένειν τούτων.
Οἶδας δὲ πάντως ἀκριβῶς, πῶς πᾶσαν οἶδα βίβλον
Ἐκ στήθους τε καὶ στόματος οὕτως ἑτοίμως λέγειν.
Οὐδὲ γὰρ μνημονέστερον τοῦ Τζέτζου θεὸς ἄλλον
Ἄνδρα τῶν πρίν τε καὶ τῶν νῦν ἐξέφηνεν ἐν βίῳ.
Ὅθεν τὸ δῶρον εἰληφὼς εὐχαριστῶ τῷ δόντι,
Κἂν τρίβω βίον πενιχρόν, σειρᾶς ὢν γένους πρώτου.
Ἑκὼν ἑκὼν καὶ τοῦτο δὲ φάναι με, κατ' Αἴσχυλόν·

---

258. ἀντεραστὰς recte cdd. A. et B. pro vitioso ἀντερασταί.

259. Cd. A. ὑπεραίροντε (sic), cd. B. ὑπεραίρον τ, unde editor finxit ὑπεραῖρον τε. Conf. v. 252.

260. Pro τερπόμενος, quod est in edit. Bas., scripsi τρεπόμενος; dativus τῷ νέῳ significat i. q. πρὸς τὸν νέον.

263. Cd. B. μετατρέφοντος.

264. Cd. B. φασκαίνων. De qua forma vid. Etym. M. s. v. βάσκανος, et interpret. ad Aristoph. Equit. 103.

266. Nicandri Ther. 903. sqq.

267. τὰ addidi e cd. B. τὰ ῥητὰ i. q. vs. 296. αἱ χρήσεις.

270. Cd. B. ἀχάριστος γενόμενος, quod vel aptius.

Ἥγημαι πάντα λῆρον γὰρ τοῦ βίου τῶν ἀνθρώπων·
Ὅθεν τὸν φιλογώνιον ᾑρετισάμην βίον.
Εἰ δέ τις μνήμων ἕτερος εἶναι τοῖς λόγοις λέγει,
Ἐπεί τινα τῶν πάροιθεν ἀνενεγκεῖν οὐ σθένω,
Δεῦρο τῶν νῦν τις πρὸς ἡμᾶς· οὐ γὰρ φυγομαχοῦμεν,
Κἂν οἰκουροκαθέδριον εἱλόμεθα τὸν βίον,
Ὡς ὁ Σκυρίτης Ἀχιλλεύς, τοῦ Χείρωνος τὸ θρέμμα,
Οὐδ' ὡς Κοννᾶς τριόδους τε καὶ θύρας πανδοχείων.
Καὶ μάθε φύσιν τὴν ἡμῶν καὶ τῶν φρενῶν τὸ μνῆμον,
Καὶ πῶς νῦν πάσας ἔγνωμεν κρίνειν ἀρχαίων βίβλους,
Καὶ μετ' οὐδὲν μετὰ μικρὸν κόνις, σκιὰ καὶ τέφρα.
Θρηνῶν δὲ πᾶν ἀνθρώπινον τὸ Σολομῶντος λέγε·
Εἶδον τοῦ κόσμου τὰ λαμπρὰ καὶ τὰ τερπνὰ τοῦ βίου,
Ὅσα ὑπὸ τὸν ἥλιον, καὶ πάντα ματαιότης.
Ὅμως, ὦ χρῄζων ἐκμαθεῖν πάντων σοφῶν τὰς χρήσεις,
Εὐτρήτους θεὶς σὰς ἀκοὰς τῶν λόγων ἄκουέ μου·
Οὔ μοι θυμὸς σιδήρεός ἐστιν, ἀλλ' ἐλεήμων.

Θηριακοῖς ὁ Νίκανδρος τὰ Ὑακίνθου γράφει·
„Ψίλωθρον, καρπόν τε φιλοθρήνου Ὑακίνθου,
„Ὃν Φοῖβος θρήνησεν, ἐπεί ῥ' ἀεκούσιος ἔκτα
„Παῖδα, βαλὼν προπάροιθεν Ἀμυκλαίου ποταμοῖο,
„Πρωθήβην Ὑάκινθον, ἐπεὶ σόλος ἔμπεσε κόρσῃ,
„Πέτρου ἀφαλλόμενος, νέατον δ' ἤραξε κάλυμμα."

---

283. φιλογώνιος βίος i. q. vs. 287. οἰκουροκαθέδριος βίος. Lacisius interpretatur *vitam angulorum amatricem*, et vitam *domi sessilem*. Ad vocab. οἰκουροκαθέδριος in edit. Bas. qua utor, manus docta adscripsit *Haussennal.* — Cd. B. recte ᾑρετισάμην pro corrupto ᾑραιτησάμην.

284. Vix dubium, quin pro μνήμων ἕτερος sit scribendum μνημονέστερος.

289. De Conna vid. Schol. et interpret. ad Aristoph. Equit. 538. et Suidas s. h. v.

297. Cd. B. τὰς pro σάς.

298. Cd. B. τὴν Ὑακ.

300. In Nicandro est πολυθρήνου, melius quam φιλοθρήνου. Vide tamen ibi scholia.

301. Erat ἀεκούσιον, quod mutavi.

302. βαλὼν scripsi e Nicandro pro λαβών, quod habent Tzetzae codd. et editio Basil.

ΠΕΡΙ ΟΡΦΕΩΣ. ιβ'.

Ὀρφεὺς ἦν Θρᾷξ, ἐξ Ὀδρυσσῶν πατρίδος Βισαλτίας,
Μενίππης τῆς Θαμύριδος υἱὸς καὶ τοῦ Οἰάγρου,
Κἂν ἀλληγορικώτερόν φασι, τῆς Καλλιόπης.
Τοῦτόν φασι τῇ μουσικῇ θῆρας καὶ λίθους θέλγειν·
Ὡς γράφει που περὶ αὐτοῦ καὶ Σιμωνίδης οὕτω·
„Τοῦ καὶ ἀπειρέσιοι πωτῶντ' ὄρνιθες ὑπὲρ κεφαλᾶς,
„Ἀνὰ δ' ἰχθύες ὀρθοὶ κυανέου ἐξ ὕδατος ἄλλοντο,
„Καλᾷ σὺν ἀοιδᾷ·“ τὰ μὲν ῥητὰ τοῦ μύθου ταῦτα·
Τὸ δ' ἀτρεκές, τῇ μουσικῇ πάντας ἀνθρώπους θέλγων,
Τοὺς φυτουργούς, τοὺς λιθουργοὺς καὶ τοὺς θηριοτρόπους
Ἔδρα τῶν ἔργων ἀμελεῖν ἐφεπομένους τούτῳ.

ΠΕΡΙ ΑΜΦΙΟΝΟΣ. ιγ'.

Ὁ λυρῳδὸς Ἀμφίων μὲν οὗτος σύναμα Ζήθῳ
Υἱοὶ Διὸς καθ' Ὅμηρον, μητρὸς τῆς Ἀντιόπης·
Κατὰ δ' ἑτέρους χρονικοὺς καὶ τὸν Ἀντιοχέα
Υἱοὶ τοῦ Θεοβόωντος, μητρὸς δὲ τῆς ῥηθείσης.
Παρθένιοι τεχθέντες δὲ καὶ πρότερον ῥιφέντες,
Ὡς ὕστερον ηὐξήθησαν, ἦραν τὴν βασιλείαν·
Πατρὸς τιμῶντες ὄνομα Θήβας πυργοῦσι πόλιν.
Φασὶ δὲ τὸν Ἀμφίονα τῇ λύρᾳ κεχρημένον

HIST. 12.

305. De Orpheo cf. Apollon. Rhod. I, 23. ibique Schol. Pind. Schol. ad Pyth. IV, 313. Apollod. I, 3, 2. Obss. Heyn. p. 13. Interpret. ad Cic. N. D. III, 18.

309. Vid. Gaisford. Poet. min. Vol. III. p. 161. ubi versus sic sunt distributi:

Τοῦ καὶ ἀπειρέσιοι
πωτῶντ' ὄρνιθες ὑπὲρ κεφαλᾶς, ἀνὰ δ'
ἰχθύες ὀρθοὶ κυανέου ἐξ ὕδατος ἄλλοντο,
καλᾷ σὺν ἀοιδᾷ.

314. *θηριοτρόπους*, *homines ferinis moribus*, pro *θηριοτρόφους*, scripsit docta manus in edit. qua utor. Recte.

315. *ἐφεπομένους* cd. B. pro forma poetica *ἐφεσπομένους*, quae est in edit. Basil.

HIST. 13.

De Amphione cf. Odyss. XI, 259. sqq. ibique Schol. Apollon. Rh. I, 735. ibique Schol. IV, 1090. item Schol. Paus. II, 6. Valck. diatr. p. 58. sqq. Müller ad Cic. de orat. II, 37, 155. Natal. Com. VIII, 15. p. 878. sqq.

321. In cd. B. est *ηὐξήνθησαν*.

Ἕλκειν τοὺς λίθους τῇ ᾠδῇ πρὸς τὴν οἰκοδομίαν.
Τὸ δ' ἀληθές· Ἀμφίων μὲν ᾖδε κρατῶν τὴν λύραν,
Οἱ λιθουργοὶ δ' ἐπήρειδον τοὺς λίθους συντιθέντες,
Ὡς ὕστερον Ἀλέξανδρος ἐκείνας κατασκάπτων
Θρηνώδεσιν αὐλήμασιν, ὡς Καλλισθένης γράφει.
Ὁ Ἰσμηνίας ηὔλει γάρ, αἱ Θῆβαι δ' ἐπορθοῦντο.

ΠΕΡΙ ΣΕΙΡΗΝΩΝ. ιδ'.

Περὶ Σειρήνων Ὅμηρος, Λυκόφρων, Εὐριπίδης,
Καὶ πάντες ἄλλοι γράφουσι, θέλγειν ἀνθρώπους μέλει,
Ἀπονεκροῦν τε τῇ ᾠδῇ, πᾶσαν τρυφὴν πληροῦντας.
Μόνον δὲ ταύτας παρελθεῖν φασὶν τὸν Ὀδυσσέα,
Κηρῷ μὲν περιχρίσαντα τὰ τῶν ἑταίρων ὦτα,
Αὐτὸν δὲ κατακούοντα, κρεμάμενον ἱστίῳ.
Λέγουσι ταύτας εἶναι δὲ κόρας ὀρνιθομόρφους,
Τὴν Λευκωσίαν, Λίγειαν μετὰ τῆς Παρθενόπης,
Τοῦ Ἀχελώου ποταμοῦ καὶ Τερψιχόρης παῖδας.
Ἄλλοι τῆς Μελπομένης δέ, καὶ κλήσεις τούτων ἄλλας.
Τὸ δ' ἀλληγορικώτερον τούτων φασὶ πολλάκις.
Οἱ μὲν γὰρ πέτρας λέγουσιν εἶναί που σειρηνίδας,
Εὐτρήτους κἂν τοῖς κύμασιν ᾠδὴν ἀποτελούσας·
Πλούταρχος δ' ὁ νεώτερος πόρνας ἐκείνας λέγει·
Οἱ δ' ἄλλοι πάντες ἡδονὰς νικώσας τοὺς ἀνθρώπους,
Ὅσοι μὴ φράξουσι κηρῷ τὰ τῶν ἑταίρων ὦτα,
Ἤγουν τὰς πέντε κλείσουσιν αἰσθήσεις πρὸς ἐκείνας
Νοῦν τε μετεωρίσουσιν, ὥςπερ αὐτός σοι λέγω.

---

327. De Thebarum expugnatione v. Plut. Alex. c. 11. Perizon. ad Aelian. V. H. XIII, 7. Diod. Sic. XVII, 8 — 14. Arrian. Exp. Alex. I, 8. 9.

HIST. 14.

330. Odyss. XII, 39. sqq. Lycophr. 712. ibique Tzetz. Eurip. Hel. 167. sqq. Matth. I. H. Voss. myth. Br. II. p. 38. sqq. Chil. VI, 714.

332. τροφὴν habet cd. A. Veram lectionem τρυφὴν praebet editionis Basil. margo.

334. περιχρίσαντα dedi pro παραχρίσαντα quod est in cd. A. et edit. In cd. B. est παραχρήσαντα et ἑτέρων.

341. Pro που in cd. B. est τάς.

345. φράξουσι pro φράξωσι e cd. B.

Καὶ Τερψιχόρης δέ φημι καὶ Μελπομένης παῖδας
(Ταῖς ἡδοναῖς γὰρ ἕπεται καὶ πόρναις τὰ τοιάδε·)
Καὶ Ἀχελώου ποταμοῦ καὶ πτερωτὰς δὲ λέγω,
Ὡς ῥεουσῶν τῶν ἡδονῶν ἀστατουσῶν πορνῶν δὲ
Καὶ τῆς ἐκείνων τέρψεως συντόμως ἱπταμένης.

ΠΕΡΙ ΜΑΡΣΥΟΥ. ιέ.

Μαρσύας Φρύξ, φιλόσοφος, εὗρεν αὐλοὺς τὸ πρῶτον,
Ὅς πρὸς αὐτὸν ἀντήρισεν Ἀπόλλωνα καλάμοις,
Κἄνπερ πρὸς πίτυν ἡττηθεὶς ἀσκὸς ἀπεκρεμάσθη.
Ῥεῖ δὲ μανίαν αὐλητοῦ καὶ ποταμὸς εἰςέτι,
Ὥςπερ Ἰουλιάνειοι γράφουσι τοῦτο λόγοι,
Καὶ Καισαρεὺς Προκόπιος, ἕτεροί τε μυρίοι,
Καὶ πρὸ αὐτῶν ὁ Νίκανδρος οὕτω τὰ ἔπη λέγων·
„Πολλάκι καὶ πίτυος γοερῆς ἀπὸ δάκρυα τμῆξαι
„Μαρσύου ἧχί τε Φοῖβος ἀπὸ φλόα δύσσατο γυίων·
„Ἡ δὲ μόρον πολύπυστον ἐπαιάζουσα κατ᾽ ἄγκη,
„Οἴη συνεχέως ἀδινὴν ἀναβάλλεται ἠχήν.“
Ἄλλοι φασὶ τὴν Ἀθηνᾶν εὑρεῖν τὴν αὐλῳδίαν·
Μαρσύᾳ τῷ Σατύρῳ δὲ ταῦτα καταμεμφθεῖσα· —
Οὔτοι πρέπει τὸ σχῆμα, τοὺς αὐλοὺς μέθες,
Καὶ θὤπλα λάζευ καὶ γνάθους εὐθημόνει· —
Πρὸς ὕδωρ ἐπικύψασα, τὰς γνάθους ὠγκωμένας
Ἰδοῦσα, τούτῳ δέδωκε τὴν τέχνην τῷ Μαρσύᾳ.
Οὗτος δ᾽ ὁ παῖς Ὑάγνιδος τὸν Ὄλυμπον διδάσκει,

HIST. 15.

De Marsya vide quos citat Gierig ad Ovid. Metam. VI, 382. Add. Boettigeri dissertat. in Attisch. Mus. 1. Bd. 1. Heft. p. 284. sqq.

354. In cd. B. *ἠντήρισεν*, duplici augmento.

355. Herodot. VII, 26. *ἐν τῇ καὶ ὁ τοῦ Σιληνοῦ Μαρσύεω ἀσκὸς ἐν τῇ πόλι ἀνακρέμαται, τὸν ὑπὸ Φρυγῶν λόγος ἔχει ὑπὸ Ἀπόλλωνος ἐκδαρέντα ἀνακρεμασθῆναι.*

356. Intelligitur fluvius *Καταῤῥήκτης*.

358. *καὶ ἕτεροι* cd. B. quod magis placet.

359. Nicand. Alexiph. 301. et Schneid. animadv. p. 170.

362. Cd. B. aperte, ut in Nicandro, *ἐπαιάζουσα* pro *ἐκαλάζουσα*, quam vocem Graecus sermo respuit.

Ἐρίζων δὲ τοῖς κρείττοσιν, ὡς ἔφην, ἀνῃρέθη.
Τὴν δ' ἔριν ταύτην πού φησιν ᾄσματι Σιμωνίδης·
„Χρυσῷ δ' αἰγλήεντι προσήρμοσεν ἀμφὶ δασείας
„Κόρσας, καὶ στόμα λαβρὸν ὀπισθοδέτοισιν ἱμᾶσιν.“
Ἀλλ' ἀλληγορητέον μοι τὴν Ἀθηνᾶν, Ἀπόλλω.
Εὕρημα μὲν φρονήσεως καὶ τὸ τῆς αὐλῳδίας·
Ἀλλ' ἐξογκοῖ τὰς παρειάς, τὴν ὄψιν καταισχύνει·
Ὅθεν οὐ πρέπει συνετοῖς ἀνδράσιν αὐλῳδία.
Ἀλλ' ὅμως ὁ φιλόσοφος Μαρσύας, ὅνπερ εἶπον,
Εὑρὼν ταύτην· ἐκόμπαζε, παραφρονήσας εἶτα
Πνιγεὶς ὀγκοῦται ποταμῷ. κρεμᾶται δὲ πρὸς πίτυν,
Ἡλίῳ καθορώμενος, ὥςπερ αὐτόχειρ φόνου.
Ἐπεὶ δὲ μουσικώτατος ὁ Ἥλιος, καὶ οὗτος
Ἔφασαν ὡς ἀντήρισε καὶ νικηθεὶς κρεμᾶται.

ΠΕΡΙ ΤΕΡΠΑΝΔΡΟΥ. ις'.

Κιθαρῳδὸς ὁ Τέρπανδρος, τῷ γένει Μηθυμναῖος·
Στασιασάντων δέ ποτε τῶν Λακεδαιμονίων,
Χρησμὸς αὐτοῖς ἐξέπεσε, πάλιν φιλιωθῆναι,
Ἂν ἐκ Μηθύμνης Τέρπανδρος ἐκείνοις κιθαρίσῃ.
Καὶ δή τι μέλος Τέρπανδρος ἐντέχνως κιθαρίσας,
Αὐτοὺς πάλιν συνήρμοσε, Διόδωρος ὡς γράφει,
Τῆς ἁρμονίας τῇ ᾠδῇ. καὶ γὰρ μετατραπέντες
Ἀλλήλους περιέβαλλον, ἠσπάζοντο δακρύοις.

ΠΕΡΙ ΑΡΙΟΝΟΣ. ιζ'.

Ἀρίων Μηθυμναῖος ἦν, κιθαρῳδὸς καὶ οὗτος,
Ἐν χρόνοις ὢν τοῖς Κροίσου δὲ καὶ τοῖς τοῦ Περιάνδρου.
Εἰς Ἰταλίαν ἀπελθὼν καὶ περὶ Σικελίαν

---

372. Fragmentum Simonidis octavum, apud Gaisford. p. 161. Cf. Böttiger l. c. p. 356. ᾄσμασι cd. B.

380. παραφρονήσας aperte cd. B. pro mutilato παραφρονής.

HIST. 16.

385. Hic locus repetitus est a Wesseling. in Diodori fragm. p. 639. — Vs. 388. κιθαρίσῃ cd. B. quod idem extat in marg. cd. A. In textu erat κιθαρίσοι.

Νικήσας ἔσχηκε πολλά· νηὸς δὲ Κορινθίας
Ἐκ Τάραντος ἐπέβαινε πλεύσων εἰς τὴν πατρίδα.
Τοῖς ναύταις δὲ τοῖς χρήμασι μέλλων ἀναιρεθῆναι
Αἰτεῖ τὴν μουσικὴν στολὴν λαβεῖν καὶ κιθαρίσαι
Μέλος ἐπιθανάτιον. καὶ δὴ λαβὼν τὴν λύραν,
(Ἑπτὰ δ' εἰσὶν οἱ σύμπαντες κιθαρῳδίας νόμοι,)
Ὡς ἤρξατο τὸν ὄρθιον τερπνῶς ἐπᾴδειν νόμον,
Δελφὶς θελχθεὶς ἀνέθορε, καὶ δὴ πεσόντα τοῦτον
Τοῖς νώτοις φέρων ἔποχον εἰς Ταίναρον ἐξάγει.
Ὁ δὲ πρὸς Κόρινθον ἐλθὼν πᾶν Περιάνδρῳ λέγει.
Ὁ δ' ἀπιστῶν κατέκρυψεν ἐν φυλακῇ τὸν ἄνδρα,
Εἶτα δ' ἐλθόντων τῶν ναυτῶν, ἐλέγξας οὕτως εὗρε,
Κἀκ τούτων δίκην ἔλαβε πρέπουσαν ἀνδροφόνοις.
Ὁ συγγραφεὺς Ἡρόδοτος γράφει τὴν ἱστορίαν,
Ὀππιανός τε σὺν αὐτῷ, πλὴν ὡς ἀτρεκεστάτην.
Τὸ δ' ἀλληγορικώτερον, οὕτως, ὦ τέκνον, ἔχει·
Ὡς κινδυνεύων ἔκρουσε τὸν ὄρθιον τὸν νόμον,
Φοίνικες ἄνδρες πειραταὶ νηῒ δελφινομόρφῳ
Τοῦτον κατοικτειρήσαντες εἰς Ταίναρον κατῆραν.

ΠΕΡΙ ΤΗΣ ΧΡΥΣΗΣ ΑΡΝΟΣ ΤΟΥ ΑΤΡΕΩΣ. ιή.

Ἀτρεύς, Θυέστης, ἀδελφοί, καί τινες ἄλλοι πλείους,
Παῖδες οἱ πάντες Πέλοπος καὶ τῆς Ἱπποδαμείας·
Χρύσιππος τούτοις ἀδελφὸς ἐξ Ἀξιόχης νόθος·
Ὅνπερ φθονοῦντες τῷ πατρὶ τιμώμενον ἀμέτρως
Ἱπποδαμείας ταῖς βουλαῖς Ἀτρεύς τε καὶ Θυέστης

HIST. 17.

400. *ἐπιθανάτιον* e cd. B. pro corrupto *ἐπιθελγάτιον*.

409. Herodot. I, 23. Oppian. Halieut. 5, 448. sqq. Add. Plin. H. N. IX, 8. s. 7. in Gesneri Chrestom. Plin. p. 386. — Vs. 410. in cd. B. est *τὴν* pro *πλήν*.

HIST. 18.

417. Vid. Apollod. III, 5, 5. Heyn. obss. p. 237. Aelian. V. H. XIII, 5. ibi Kühn. et Periz. De Eurip. Chrysippo Valcken. diatr. p. 19. sqq.

Εἰς φρέαρ ἀποπνίγουσιν. ὅπερ μαθὼν ὁ Πέλοψ
Ἀπ᾽ ὀφθαλμῶν ἐποίησε πάντας αὐτοῦ τοὺς παῖδας.
Ὁ δὲ χρησμὸς τὸν Λάϊον τοῦτόν φησιν ἁρπάσαι.
Ἄλλοι μὲν ἄλλη ᾤκησαν· Ἀτρεὺς δὲ καὶ Θυέστης
Τὴν Τριφυλίαν ᾤκησαν τὴν τῆς Πελοποννήσου.
Τῆς βασιλείας δ᾽ ἕκαστος αὐτῶν ἀντεποιεῖτο,
Ἀτρεὺς κατὰ τὸ νόμιμον, πρότερος ὢν τῷ χρόνῳ,
Θυέστης δὲ δυστραχηλῶν, καὶ νόμους παρατρέχων.
Χρόνῳ συνέθεντό ποτε τοῦτον λαβεῖν τὸ κράτος,
Ὃς ἂν τι τέρας δείξειε κριταῖς τοῖς τεταγμένοις.
Ἀτρέως δ᾽ ἐν τοῖς θρέμμασιν ἦν τι χρυσοῦν ἀρνίον·
Ὁ Σιμωνίδης πορφυροῦν εἶναι δὲ τοῦτο λέγει.
Τοῦτο γ᾽ οὖν ἔμελλεν Ἀτρεὺς δεῖξαι τοῖς δικασπόλοις.
(Ὅπερ κατ᾽ Εὐριπίδη μὲν Ἑρμοῦ βουλαῖς ἐτέχθη,
Ὡς ἂν φθορὰ γενήσεται καὶ βλάβη Πελοπίδαις,
Ἀνθ᾽ οὗ Μυρτίλον τὸν Ἑρμοῦ Πέλοψ ψευδῶς ἀνεῖλε.
Ὁ δ᾽ Ἀπολλώνιός φησιν εὔξασθαι τὸν Ἀτρέα
Ἀρτέμιδι τὸ κάλλιστον θῦσαι τῶν ἐν τῇ ποίμνῃ.
Ἰδόντα τοῦτο δὲ τεχθέν, πνίξαντα κατακρύψαι
Ἐν κιβωτίοις ἀσφαλῶς, οἷα τῷ ὄντι τέρας.)
Τοῦτο γ᾽ οὖν ἔμελλεν Ἀτρεὺς δεῖξαι τοῖς δικασπόλοις.
Θυέστης δὲ λαθροκοιτῶν, συλῶν εὐνὴν συναίμου,
Τοῦτο λαβὼν ἐκ γυναικὸς Ἀτρέως Ἀερόπης,
Τοῖς δικασταῖς ὑπέδειξεν, ἦρε τὴν βασιλείαν.

---

423. Cd. B. *ἄλλοι μὲν ἄλλη ᾤκησαν τὴν τῆς πελοποννήσου*, omissis verbis *Ἀτρεὺς δὲ καὶ Θυέστης τὴν Τριφυλίαν ᾤκησαν*. Simili modo peccatum est in eod. cod. hist. 25. vs. 658. sq. ubi haec omittuntur: *μνκᾶσθαι τοῖς ἐκείνου, σὺ δ᾽ ἡδονὴν τοῖς στεναγμοῖς*.

427. *παρατρέχων* habet etiam cd. A., sed a prima manu est superscriptum *ἀντιβαίνων* et *νόμοις*. Et sane *ἀντιβαίνων νόμοις* perbona est lectio.

429. *κριταῖς* aperte cd. B. pro *κριτῇ*.

430. De aureo Atrei agno cf. Paus. 2, 18.

433. Eurip. Orest. 989. ibi schol. Item schol. ad Lycophr. 156. sq. et Potter ad Lycophr. vs. 162.

435. De Myrtilo veterum locos citat Siebelis ad Hellen. ab ipso edita, p. 286. — De Myrtili morte cf. Sophocl. El. 498. sqq. Erf.

Τὴν συμφορὰν μὴ στέρξας δὲ τοῦ πάθους ὁ φωςφόρος,
Ἡμέραν μίαν ἐκ δυσμῶν διφρεύει πρὸς τὴν ἕω,
Καὶ σὺν αὐτῷ καὶ ἡ Πλειάς, ὅθεν ἐλῶσι τοῦτον.
Μαθὼν δ' Ἀτρεὺς ὡς καὶ μοιχός ἐστι τῆς Ἀερόπης,
Τοὺς ἐκ Νηΐδος τράπεζαν τρεῖς παῖδας ποιεῖ τούτῳ,
Τὸν Ἀγλαόν, Ὀρχομενόν, Κάλλαιον, ἀποσφάξας·
Ἄκρα τῶν παίδων δείξας δὲ τοῦτον ὠθεῖ τῆς χώρας.
Ὑπέστρεψε δ' ὁ Ἥλιος, ὡς μυσαχθεὶς τὰ δεῖπνα.
Αἴγισθος δὲ Θυέστου παῖς, ἀγροῖς θηλάζων αἶγα,
Ἐκ Πελοπίας θυγατρὸς τεχθεὶς ἢ Μνησιφάης,
Ἐκ τῶν ἀγρῶν ἐπιδραμὼν καὶ κτείνας τὸν Ἀτρέα,
Τὴν βασιλείαν τῷ πατρὶ πάλιν ἐπανασώζει.
Τὸν δ' Ἀγαμέμνονα τροφὸς μετὰ τοῦ Μενελάου
Ἄγει πρὸς Πολυφείδεα κρατοῦντα Σικυῶνος.
Ὃς πάλιν τούτους πέπομφε πρὸς Αἰτωλὸν Οἰνέα.
Μετ' οὐ πολὺ Τυνδάρεως τούτους κατάγει πάλιν·
Οἳ τὸν Θυέστην μὲν αὐτὸν Ἥρας βωμῷ φυγόντα
Ὁρκώσαντες διώκουσιν οἰκεῖν τὴν Κυθηρίαν.
Οἱ δὲ Τυνδάρεω γαμβροὶ γίνονται θυγατράσιν,
Ὁ Ἀγαμέμνων μὲν λαβὼν σύνευνον Κλυταιμνήστραν,
Κτείνας αὐτῆς τὸν σύζυγον Τάνταλον τὸν Θυέστου,
Σὺν τέκνῳ πάνυ νεογνῷ, Μενέλαος Ἑλένην.
Τὰ περὶ τοῦ ἡλίου δὲ πάντα δοκῶ γενέσθαι,
Οὐδ' ἀλληγορητέα μοι φαίνεται τὰ τοιαῦτα.
Πρόβατα δὲ χρυσόχροόν που φέρειν τὴν ἐρέαν,
Ῥηγῖνος τὸν Ἰσίγονον εἰςφέρει γεγραφότα·

---

445. In cd. B. est ἤλασε, quod idem appositum in margine codicis A.

446. ἐλῶσι aperte falsum. In cd. A. est ἐλῶσι.

451. κατέστρεψε cd. B.

454. ἐπιδραμὼν ἐκ τῶν ἄγρων cd. B.

456. τροφὸς aperte cd. B. pro monstro τροθηκονφός.

464. Paus. II, 18. In cd. B. Τάλαντον.

469. De Rhegino et Isigono conf. Mülleri Indicem Scriptor. in Tzetz. schol. ad Lycophr. p. 159. et p. 146. item not. ad vs. 1021. Perperam et hic et Chil. VII, 645. scriptum erat Ἡσίγονον.

468. E cd. B. recepi χρυσόχροον pro χρυσόχροα.

Ἑρμῆν δ' ἀστέρα γίνωσκε, τὴν Ἄρτεμιν σελήνην.
Βλάβας δὲ ταῦτα φέρουσι, κακῶς σχηματισθέντα.
Παῖς δὲ Μυρτίλος τοῦ Ἑρμοῦ, τεχθεὶς ἀστέρι τούτου.

ΠΕΡΙ ΒΟΟΣ ΤΟΥ ΜΙΝΩΟΣ. ιθ'.

Μίνως ὁ Κρὴς ὑπῆρχε παῖς Διὸς τοῦ Ἀστερίου·
Τοὺς βασιλεῖς δ' ἀνέκαθε Δίας ἐκάλουν πάντας,
Ὡς τοῦ ἀστέρος τοῦ Διός, ἐν λεονταίαις μοίραις
Ὡροδρομοῦντος καὶ καλῶς κειμένου γενεθλίοις,
Ἐργαζομένου βασιλεῖς καὶ στεμματηφοροῦντας.
Τοῦ Ἀστερίου τοιγαροῦν Διὸς θανόντος τοῦδε,
Ὁ Μίνως οὐκ ἐώμενος τῆς Κρήτης βασιλεύειν,
Λέγει Κρησὶ θεόσδοτον ἔχειν τὴν βασιλείαν·
Σημεῖον ἐκ θαλάσσης γὰρ ἀναφανῆναι ξένον.
Εὔξατο δέ, κἂν τι φανῇ, τῷ Ποσειδῶνι θῦσαι.
Ὡς ταῦρος ἀνεφάνη δὲ τερπνὸς ἐκ τῆς θαλάσσης,
Ἐκ τῶν Κρητῶν μὲν ἔσχηκεν εὐθὺς τὴν βασιλείαν.
Θύσας δὲ ταῦρον ἕτερον αὐτὸς τῷ Ποσειδῶνι,
Τοῖς βουκολίοις ἔπεμψεν ἐκεῖνον τὸν φανέντα,
Οὗπερ, φασίν, ἡ σύζυγος ἠράσθη Πασιφάη,
Κἂν ταῖς Δαιδάλου μηχαναῖς μιγεῖσα συνουσίᾳ,
Μινώταυρον γεγέννηκε βοάνθρωπον θηρίον.
Ὁ δ' Εὐπαλάμου Δαίδαλος υἱὸς καὶ τῆς Ἀλκίππης,
Ὢν ἀρχιτέκτων ἀττικὸς ἀγαλματοποιός τε,
Ῥίψας ἐξ ἀκροπόλεως τῆς ἀττικῆς ἀνεῖλε
Παῖδα Περδίκας ἀδελφῆς καλούμενον Ἀττάλω.
Οὗτος γὰρ διδασκόμενος τῷ θείῳ τῷ Δαιδάλῳ,
Πριόνα πρῶτος ἔδειξεν ὄφεως σιαγόνι

---

471. E cd. B. ταῦτα scripsi pro ταυτῶν. Idem cd. habet καλῶς pro κακῶς.

HIST. 19.

478. Apollod. III, 1. s. 3. Obss. p. 216.

488. Cd. A. et B. κἂν pro καί, i. e. καὶ ἐν.

490. Cd. B. ἀπαλήδου pro Εὐπαλάμου.

493. Apollod. III, 15. s. 8. 9. ibique Heyn. et in Obss. p. 348. — Paus. I, 21, 6. ibique Siebel. — In cd. B. περδίκκας.

Πρίσας ξυλύφιον μικρόν. ἰδὼν δ' ὁ θεῖος τοῦτο
Τῇ εὐφυΐᾳ τοῦ παιδὸς φθονήσας τοῦτον κτείνει.
Καὶ φεύγει πρὸς τὸν Μίνωα. οὗπερ Ναυκράτῃ δούλῃ
Μιγεὶς Ἰκάριον γεννᾷ. οὓς κατασχὼν ὁ Μίνως,
Ὡς τῇ μοιχείᾳ γυναικὸς αὐτοῦ συνηργηκότας,
Ἔμελλε πάντως ἀνελεῖν, δεσμωτηρίῳ κλείσας.
Οὗτοι δ' ἀποδρασκάσαντες ἐκ τοῦ δεσμωτηρίου,
Πτερά τε περιθέμενοι, φεύγουσι δι' αἰθέρος.
Ἰκάριος κατέπεσε φεύγων δὲ τῷ πελάγει,
Ἀφ' οὗπερ καὶ Ἰκάριον πέλαγος ὠνομάσθη.
Ὁ Δαίδαλος δ' εἰς Κάμινον σώζεται Σικελίας.
Τοῦτον καὶ Μίνως ἐκζητῶν ἦλθεν εἰς Σικελίαν.
Ὑπὸ τῶν θυγατέρων δὲ θνήσκει τῶν τοῦ Κωκάλου
Ζέμα θερμὸν περιχεθεὶς καὶ παραυτίκα ψύξας.
Ἀλλ' ἀλληγορητέον μοι τὸν ταῦρον καὶ τὴν μίξιν,
Καὶ τὸν Μινώταυρον αὐτὸν καὶ πτέρωσιν Δαιδάλου,
Καὶ πῶς φασὶν ἀγάλματα κινεῖσθαι τὰ Δαιδάλου,
Ὡς Εὐριπίδης γράφει μὲν ἐν δράματι Ἑκάβης·
„Εἴ μοι γένοιτο φθόγγος ἐν βραχίοσι
„Καὶ χερσὶ καὶ κόμαισι καὶ ποδῶν βάσει,
„Ἢ Δαιδάλου τέχναισιν, ἢ θεῶν τινός·“
Καὶ Πλάτων ὁ διδάσκαλος τῆς κωμῳδίας λέγων·
„Τὰ δαιδάλεια πάντα κινεῖσθαι δοκεῖ,
„Βλέπει τ' ἀγάλμαθ'. ὧδ' ἀνὴρ κεῖνος σοφός.“
Ὁ Μίνως, οὐκ ἐώμενος πρὶν κατασχεῖν τὸ κράτος,
Ἀκηκοὼς ἐκ μάντεων εἶπε Κρησὶ τοῖς τότε,
Ἐκ τῆς θαλάσσης δι' αὐτὸν φανῆναί τι σημεῖον.

---

496. *ξυλύφιον* cd. B. pro *ξυλήφιον*. Cf. Lobeck. ad Phryn. p. 78.

506. Ex Herodot. VII, 169. sq. scribendum foret *Κάμικον*. At vide ibi notas. In Paus. VII, 4. est *Ἴνυκον*.

509. Cd. B. *περισχεθεὶς* et *κύψας*.

512. Euripid. Hec. 819. sqq. Matth. scripsi *δράματι* pro *γράμματι*, ut iam voluit manus docta in edit. Basil. qua utor.

519. Cd. A. *οὐδ' ἀνὴρ κεῖνος σοφός* pro *ὁ δ' ἀνὴρ ἐκεῖνος σ.* Intelligitur Daedalus.

521. Cd. B. *μάντεως*. Id. vs. prox. *θαλάττης*.

Τοῦ στρατηγοῦ τοῦ Ταύρου δὲ φανέντος σὺν ὁλκάσι,
Τὴν βασιλείαν εἴληφεν, ὥςπερ ἐκ θείας τύχης.
Τούτῳ τῷ Ταύρῳ στρατηγῷ, οὐχὶ βοῒ δὲ ταύρῳ,
Ἡ Πασιφάη Μίνωος γυνὴ λαθροκοιτοῦσα,
Καὶ ταῖς λαθροκοιτίαις δὲ Δαιδάλου συνεργοῦντος
Καὶ κλείοντος ἐν δώμασίν τισι τῶν εὐφυλάκτων,
Ὅπερ καὶ βοῦν κεκλήκασι ξυλίνην τοῦ Δαιδάλου,
Παιδίον τι γεγέννηκεν. ὡς δὲ πατέρων δύο,
Μίνωος καὶ τοῦ Ταύρου τε, Μινώταυρος ἐκλήθη.
Πτερὰ δὲ τούτων γίνωσκε τὰ λαίφη τῶν ὁλκάδων.
Ὁλκάσι καὶ γὰρ ἔφυγον περὶ τὴν Σικελίαν.
Πτερορρυεῖ δ' Ἰκάριος, πνιγεὶς ἐν ναυαγίᾳ·
Ὁ Δαίδαλος δὲ σώζεται πρὸς οἶκον τοῦ Κωκάλου.
Τὰ δὲ δαιδάλειά φασι κινεῖσθαι τοιοτρόπως·
Τοὺς ἀνδριάντας πρότερον πρὸ χρόνων τῶν Δαιδάλου
Ἐδημιούργουν ἄχειρας, ἄποδας, ἀομμάτους·
Πρῶτος δ' ὁ Δαίδαλος αὐτὸς διεῖλε χεῖρας, πόδας,
Δακτύλους διηρμόσατο καὶ βλέφαρα καὶ τἄλλα.
Ὅθεν ὁ μῦθος πέπτωκε, κινεῖσθαι τὰ Δαιδάλου.

ΠΕΡΙ ΚΥΝΟΣ ΤΟΥ ΚΕΦΑΛΟΥ. κ'.

Πρόκρις ἡ Ἐρεχθέως τε καὶ Πραξιθέας κόρη
Κέφαλον σχοῦσα σύνευνον τὸν τοῦ Δηϊονέως,
Λαθροκοιτεῖ Πτελέοντι χρυσοῦν λαβοῦσα στέφος·
Φεύγει δὲ πρὸς τὸν Μίνωα, Κεφάλῳ φωραθεῖσα.
Μίνως δὲ ταύτῃ μίγνυται λαθραίᾳ συνουσίᾳ
Δοὺς εὔστοχον ἀκόντιον καὶ κύνα ταχύδρομον,
Ὅστις θηρίον τάχιστον ἅπαν ἀνῄρει τρέχων.
Ταῦτα λαβοῦσα τοιγαροῦν παλινδρομεῖ Κεφάλῳ.
Διαλλαγεῖσα τούτῳ δὲ πρὸς θήραν συνεξῆλθεν·

---

526. Cd. B. λαθροκοιτῶσα.

536. Cd. B. τοιουτοτρόπως. Item vs. prox. τοῦ Δαιδ.

HIST. 20.

542. In edit. Basil. hic est verborum ordo: ἡ Ἐρεχ. Πρόκρις τε.,

Ὃς πρὸς θηρίον βέλεμνον ἀφεὶς αὐτὴν ἀνεῖλε.
Ἀρείῳ πάγῳ δὲ κριθεὶς ἀειφυγίαν φεύγει.
Ἀλώπεκος ἐσύστερον εἶτα τῆς Τευμησίας
Ἐργαζομένης ὄλεθρον τῶν παίδων τῶν Θηβαίων,
Ἔχων τὸν κύνα Κέφαλος πέμπει θηρεῦσαι ταύτην.
Ζεὺς δὲ τοῖς δρόμοις ἐκλιθοῖ κερδώ τε καὶ τὸν κύνα.
Γράφει μὲν Ἀπολλόδωρος ταύτην τὴν ἱστορίαν·
Ὁ δὲ σοφὸς Παλαίφατος, ἀνὴρ ἐκ περιπάτου,
Ἀλληγορεῖ τεμάχιαν ἢ μέρος τεμαχίου,
Γενναῖον λέγων στρατηγὸν Ἀλώπεκα τυγχάνειν,
Καὶ τοῖς Θηβαίοις πολεμεῖν σὺν ἀποστάταις ἄλλοις.
Ὅνπερ ἀνεῖλε Κέφαλος κληθεὶς ἐξ Ἀθηναίων.
Αὐτὸ δ' ἡμεῖς οὕτω φαμὲν τὸ πᾶν ἀλληγοροῦντες·
Μίνως μιγεὶς τῇ Πρόκριδι λαθραίᾳ συνουσίᾳ
Μετὰ Κυνὸς τοῦ στρατηγοῦ τριήρους τε ταχείας
Αὐτὴν σὺν δώροις πέπομφε Κεφάλῳ καταλλάττων.
Ὁ Κέφαλος δ' Ἀλώπεκι τοῦτον τὸν Κύνα πέμπει,
Ἐχθρόν τε καὶ πολέμιον. οἳ ταῖς ἱππομαχίαις
Ἀλλήλων καθιππεύσαντες ἐν πέτραις ἀναιροῦνται,
Εἴτ' οὖν γε τοῦ Ἀλώπεκος φεύγοντος σὺν ὁλκάσι
Καὶ τοῦ Κυνὸς διώκοντος, ἐν πέτραις θαλασσίαις
Τὰ σκάφη συναράξαντες ἐξέπνευσαν τὸν βίον.

ΠΕΡΙ ΜΕΓΑΚΛΕΟΥΣ. κα'.

Ὁ Μεγακλῆς ὁ νῦν ῥηθείς, υἱὸς ἦν τῆς Κοισύρας,
Εὐγενεστέρας γυναικῶν πασῶν τῶν ὑφ' ἡλίῳ.
Ὃς ἵππος ἐκνενίκηκεν τρίτον ἐν Ὀλυμπίᾳ·

---

557. Apollod. III, 15, 1. ibi Heyn. Palaeph. VIII. ibi Fischer. Ovid. Met. VII, 661. sqq.

559. τεμάχιον et τεμαχίου cd. B. pro τεμμάχιον et τεμμαχίον. Cf. Lobeck. ad Phryn. p. 22.

563. Pro αὐτὸ scribendum videtur αὐτοί, nam ipse se Tzetzes Palaephato opponit.

566. δώροις pro ἄλλοις, quod habet edit. Basil., e cdd. A. B.

572. ἐξέπνευσε cd. B.

HIST. 21.

Vid. ad hist. 5. et Siebelis. notas ad Hellen. p. 273. et p. 285.

Ἡ δ' Ὀλυμπία τόπος ἦν περὶ τὴν Τριφυλίαν,
Ὅπου καὶ νῦν ὁ ποταμὸς ὁ Ἀλφειὸς εἰσρέει,
Οὗπερ τὸ πρὶν ὁ Ἡρακλῆς Διῒ τῷ Ὀλυμπίῳ
Ἀγῶνα τέθεικε λαμπρὸν ἐκ σκύλων τῶν Αὐγείου·
Οὗ στέφος ἦν τοῖς νικηταῖς θαλὸς ἀγριελαίου.
Ἐξετελεῖτο δ' ὁ ἀγὼν πεντηκονταμηναῖος.

ΠΕΡΙ ΚΙΜΩΝΟΣ. κβ'.

Κίμων υἱὸς κατά τινας ὑπῆρχε Μιλτιάδου,
Κατὰ δ' ἑτέρους ἦν πατρὸς τὴν κλῆσιν Τισαγόρου.
Ἐξ Ἰσοδίκης τούτῳ παῖς ὑπῆρχεν ὁ Καλλίας.
Ὁ Κίμων οὗτος ἀδελφὴν ἰδίαν Ἐλπινίκην
Εἶχεν, ὡς Πτολεμαῖος μὲν ὕστερον Βερενίκην,
Καὶ Ζεὺς τὴν Ἥραν πρὸ αὐτῶν, καὶ νῦν Περσῶν τὸ γένος.
Καλλίας δὲ πεντήκοντα τάλαντα ζημιοῦται,
Ὅπως ὁ Κίμων ὁ πατὴρ μηδὲν δεινόν τι πάθῃ
Ἕνεκα γάμων τῶν αἰσχρῶν, τῆς ἀδελφομιξίας.
Τὸ δ' ὅσοι ταῦτα γράφουσι, μακρόν ἐστί μοι λέγειν.
Ἔστι γὰρ πλῆθος ἄπειρον τῶν ταῦτα γεγραφότων,
Οἱ κωμικοὶ, καὶ ῥήτορες, Διόδωρος, καὶ ἄλλοι.

ΠΕΡΙ ΑΡΙΣΤΟΠΑΤΕΙΡΑΣ. κγ'.

Παῖς ἦν Ἀριστοπάτειρα Ῥοδίου Διαγόρου.
Ὃς Διάγορας σὺν υἱοῖς καὶ σὺν θυγατροτέκνοις,
Ὄντες οἱ σύμπαντες ἑπτὰ, πρὸς ἦμαρ ἓν καὶ μόνον
Νικήσαντες Ὀλύμπια πυγμῇ καὶ παγκρατίῳ,
Ὁ μὲν τοὺς ἄνδρας ἅπαντας, τὰ τέκνα τοὺς ἐφήβους,
Οἱ παῖδες τὰ παιδάρια, περιπλακέντες πάντες

HIST. 22.

De Cimone Tisagorae filio, qui cum Miltiadis filio confunditur, conf. Rutgers. Varr. Lectt. I, 9. p. 33. et 37.

583. Erat Στησαγόρου, quod correximus.

591. Cd. B. μικρὸν, et v. 592, ἔστι δέ.

HIST. 23.

594. Conf. Schneider. ad Pindari fragm. p. 8. sqq. Heyn.

Διήρχοντο τὸ θέατρον ἐν προπομπαῖς ὀλβίοις,
Δαμάγητος καὶ Δωριεὺς σὺν τῷ Ἀκουσιλάῳ,
Εὔκλων καὶ Πεισιῤῥόθιος σύναμα Δελεγέτῃ.
Ὧνπερ καὶ στήλας ἔστησαν μνήμην ἐν Ὀλυμπίᾳ.
Μετὰ μικρὸν ἐνστάντων δὲ πάλιν τῶν Ὀλυμπίων
Ἦλθεν Ἀριστοπάτειρα τοῦ βλέψαι τὸν ἀγῶνα.
Ὡς δέ τις νόμος ἔκειτο κωλύων τὰς γυναῖκας
Θεᾶσθαι τὰ Ὀλύμπια καὶ τοὺς ἀγῶνας βλέπειν,
Πρὸς τὸν αὐτὴν ἀπείργοντά φησιν Ἑλλανοδίκην·
Τί με κατείργεις, ἄνθρωπε, θεᾶσθαι τὸν ἀγῶνα;
Οὐδὲν ὁμοία ταῖς λοιπαῖς ταῖς γυναιξὶν ὑπάρχω.
Ἑπτὰ γὰρ τούτους οὓς ὁρᾷς τοὺς ὀλυμπιονίκας,
Πρὸς ἓν ἦμαρ ἐξήνεγκα, γνησίους μοι τῷ γένει.
Ὁ Διαγόρας γὰρ πατήρ, οἱ τρεῖς δὲ ἀδελφοί μοι·
Τὰ δὲ παιδάρια ταυτὶ τῶν ἀδελφῶν μοι παῖδες,
Εὔκλων καὶ Πεισιῤῥόθιος, ὁμοῦ καὶ Δελεγέτης.
Τούτοις τοῖς λόγοις τοιγαροῦν ἐνδοὺς ἀνὴρ ἐκεῖνος
Εἴασε ταύτην παρευθὺς εἰςδῦναι τὸν ἀγῶνα.
Τὴν δ' ἱστορίαν Πίνδαρος ὁ Δαϊφάντου γράφει.

ΠΕΡΙ ΤΩΝ ΝΙΚΩΝ ΣΙΜΩΝΙΔΟΥ. κδ'.

Ἦν Σιμωνίδης Σάμιος υἱὸς ὁ τοῦ Ἀμόργου.
Οὗτος δ' ὁ Λεωπρέπεως, ὁ Κεῖος Σιμωνίδης,
Ἦν πένης, ἀλλ' εὐχάριστος, ἀεὶ νικῶν ποιήσει,
Ὥςπερ Κοννᾶς ὁ αὐλητὴς ὁ ὀλυμπιονίκης.
Ἀριστοφάνης κωμῳδεῖ πενίαν Σιμωνίδου·
Ὁ δ' Ἀριστείδης γέγραφεν ἀνδρὸς εὐχαριστίαν.

---

601. *Δαμάλυτος* cd. B.
606. De hac lege cf. Paus. V, 6, 5. et Aelian. V. H. X, 1. ibique interpretes.
611. *ὡς* pro *οὓς* cd. B.
613. *μου* pro *μοι* cd. B. similiter vs. proximo.

HIST. 24.

619. Conf. Notitiam de Simonide ex Fabricii Bibl. gr. (T. II. p. 142. ed. Harles.) repetitam et auctam iu Gaisfordii Poetis graec. min. T. III. p. 147. sqq. (ed. Lips.) Adde Frotscheri prolegom. ad Xenoph. Hieron. p. 4. Pro *Ἀμόργου* est *ἀλούργου* in cd. B. ibidemque vs. 620. *οἰκεῖος* et v. 621. *κινῶν*.

Πλέων φησὶ γὰρ ὁ ἀνὴρ ἄταφον εὗρε νέκυν,
Ὅνπερ τιμήσας ἔθαψεν. ὄναρ φανεὶς δ' ὁ νέκυς
Λέγει, μὴ πλεύσῃς, ἄνθρωπε. ναυτῶν δὲ μὴ πεισθέντων,
Μόνος ὁ Σιμωνίδης μὲν συμπλέειν ἀπελείφθη·
Οἱ δὲ πάντες ἀπώλοντο τυχόντες ναυαγίας.
Εὐχάριστον δ' ἐπίγραμμα γράψας ὁ Σιμωνίδης
Τῇ στήλῃ παρενέγραψε νεκροῦ τοῦ σεσωκότος·
„Οὗτος ὁ Κείου Σιμωνιδέω ἐστὶ σαωτήρ,
„Ὃς καὶ τεθνειὼς ζῶντι παρέσχε χάριν.
Οὗτος ὁ Σιμωνίδης μὲν ἐν Σικελίᾳ θνήσκει.
Ἐπίγραμμα δὲ γέγραπται τόδε τῷ τάφῳ τούτου·
„Ἓξ ἐπὶ πεντήκοντα, Σιμωνίδη, ἤραο νίκας
„Καὶ τρίποδας· θνήσκεις δ' ἐν Σικελῷ πεδίῳ.
„Κείῳ δὲ μνήμην λείπεις, Ἕλλησι δ' ἔπαινον
„Εὐξυνέτου ψυχῆς σῆς ἐπιγεινομένοις.

ΠΕΡΙ ΣΤΗΣΙΧΟΡΟΥ. κέ.

Στησίχορος ἦν λυρικός, καὶ τούτῳ θυγατέρες,
Ἱμέρα τούτῳ δὲ πατρίς, πόλις τῆς Σικελίας,
Ἀβάριδι δὲ σύγχρονος ἦν καὶ τῷ Πυθαγόρᾳ.
Διήχθρευσε Φαλάριδι τῷ Ἀστυπαλαιεῖ,
Ἀνδρὶ τῆς Ἐρυθείας μέν, πατρὶ δὲ τοῦ Παυρόλα,
Τίῳ τοῦ Λεωδάμαντος, Ἀκράγαντος τυράννῳ·
Ὃς Φάλαρις Περίλαον τὸν χαλκουργὸν ἐκεῖνον

---

626. De more veterum sepeliendi quos mortuos in via invenissent, et de Attica lege id iubente cf. Aelian. V. H. V, 14. ibique interpret., item Paus. IX, 32, 6. Horat. Od. I, 28.

632. In poet. gr. min. T. III. p. 176. Gaisf. ita legitur hoc epigramma:

Οὗτος ὁ τοῦ Κείοιο Σιμωνίδου ἐστὶ σαωτήρ,
ὃς καὶ τεθνηὼς ζῶντ' ἀπέδωκε χάριν.

Vid. ibi Iacobs. et ad Lycophr. schol. p. 794. notam Thryllit.

636. Vid. poet. gr. min. l. c. p. 175. ubi epigramma legitur, cuius initium cum hoc convenit.

HIST. 25.

640. De Stesichoro cf. Suchfortii praef. ad fragmenta Stesichori ab ipso edita p. VI. sqq. Aptior huius historiae inscriptio est *de Stesichoro et Phalaride*.

645. *χετωδάμαντος* cd. B.

Τὸν Ἀττικὸν κατέκαυσεν ἐν ταύρῳ τῷ χαλκέῳ.
Οὗτος γὰρ τὸ μηχάνημα τοῦ ταύρου χαλκουργήσας,
Τοῖς μυξωτῆρσι τοῦ βοὸς ἐτέκτηνεν αὐλίσκους·
Ἀνέπτυξε καὶ θύραν δὲ πρὸς τῷ πλευρῷ τοῦ ταύρου
Καὶ δῶρον τῷ Φαλάριδι τοῦτον τὸν ταῦρον ἄγει.
Φάλαρις δὲ τὸν ἄνθρωπον ἐν δώροις δεξιοῦται,
Τὸ δὲ μηχάνημα θεοῖς καθιεροῦν κελεύει.
Ὡς δ' ἀναπτύξας τὸ πλευρὸν ὁ χαλκουργὸς ἐκεῖνος
Δόλον τὸν κακομήχανον ἐξεῖπεν ἀπανθρώπως,
Εἴ τινα βούλει, Φάλαρι, κολάζειν τῶν ἀνθρώπων,
Ἔνδον τοῦ ταύρου κατειργνὺς πῦρ ὑποστρώννυ κάτω·
Δόξει δ' ὁ ταῦρος στεναγμοῖς μυκᾶσθαι τοῖς ἐκείνου,
Σὺ δ' ἡδονὴν τοῖς στεναγμοῖς ἕξεις αὐλοῖς μυκτήρων.
Τοῦτο μαθὼν ὁ Φάλαρις καὶ μυσαχθεὶς ἐκεῖνον,
Ἄγε, φησί, Περίλαε, σὺ πρῶτος δεῖξον τοῦτο
Καὶ τοὺς αὐλοῦντας μίμησαι, τράνωσόν σου τὴν τέχνην.
Ὡς δὲ παρέδυ μιμητὴς δῆθεν τῶν αὐλημάτων,
Κλείει τὸν ταῦρον Φάλαρις καὶ πῦρ ἐπισωρεύει.
Ὅπως δὲ τὸ χαλκούργημα θανὼν μὴ ἐμμιάνῃ,
Κατὰ πετρῶν ἐκρήμνισεν ἐξάξας ἡμιθνῆτα.
Γράφει περὶ τοῦ ταύρου δὲ Λουκιανὸς ὁ Σύρος,
Διόδωρος, καὶ Πίνδαρος, σὺν τούτοις τε μυρίοι.
Αὐτὸς δ' ἐκ τῶν Φαλάριδος ἐκείνου τοῦ πανσόφου
Ἐπιστολῶν σοι γέγραφα ταύτην τὴν ἱστορίαν.
Τούτῳ γοῦν τῷ Φαλάριδι Στησίχορος ἐχθρεύσας,
Οἶμαι, πρὸς Πελοπόννησον περῶν ἐκ τῆς Παχύνου
Σὺν Κόνωνι, Δρωπίδᾳ τε, τοῖς τούτου κατεσχέθη.
Καὶ Κόνωνα μὲν Φάλαρις ἀπέσφαξεν εὐθέως,
Τὸν δὲ Δρωπίδαν ἔπεμψεν ἐντίμως τῇ πατρίδι.
Στησίχορον δ' ὁμόψυχον εἶχεν αὐτῷ καὶ φίλον,

---

658. Vid. ad vs. 423. de verbis nonnullis in cd. B. omissis.
667. Lucian. Phalar. I. §. 11. 12. Diod. Sic. XIII, 90. ibique Wessel., Pindar. Pyth. I, 185. Val. Max. IX, 2. ext. 9.
669. Phalar. Epist. 94.

Ὡς δι' αὐτὸν χαρίσασθαι λύτρα Ταυρομινείταις,
Ποσῷ ταλάντων ἑκατὸν, μετὰ δωδεκαέτη
Χρόνον τῆς τελευτῆς αὐτοῦ, γραφαῖς τῶν θυγατέρων.
Ὕστερον γὰρ ὑπέμνησαν αἱ Στησιχόρου κόραι
Φαλάριδι, καὶ λέλυκε τὸ χρέος δι' ἐκεῖνον.
Τούτου τοῦ Στησιχόρου δὲ μέλος ὑπάρχει τόδε·
„Παλλάδα περσέπολιν κλήζω πολεμαδόκον ἁγνάν,
„Παῖδα Διὸς μεγάλου, δαμόπωλον, ἄιστον παρθένον.“
Ὡς τοῦτο τοῦ Παρίου δὲ τοῦ Ἀρχιλόχου μέλος,
Ἐν ᾧπερ καὶ νενίκηκεν, ᾄσας ἐν Ὀλυμπίᾳ,
Μόνῳ τῷ στόματι λαλῶν, ὡς τῆς χορδῆς κοπείσης.
Ὅπερ καὶ Πίνδαρός φησι τοῦτον ὑπερθαυμάζων.
Τὸ μέλος ἄκουε λοιπὸν αὐτοῦ τοῦ Ἀρχιλόχου·
„Τήνελλα. καλλίνικε χαῖρε ἄναξ Ἡράκλεις,
„Αὐτός τε καὶ Ἰόλαος, αἰχμητὰ δύο.“

ΠΕΡΙ ΤΥΡΤΑΙΟΥ. κς'.

Τυρταῖος Λάκων στρατηγὸς καὶ ποιητὴς ὑπῆρχεν,
Προτρεπτικὰ πρὸς πόλεμον γράψας ᾀσμάτων μέλη,
Ἅπερ ᾖδον οἱ Λάκωνες ἐν συμβολαῖς πολέμων,
Πυῤῥίχιον ὀρχούμενοι τοῖς νόμοις τοῦ Λυκούργου,
Ὡς Δίων ὁ Χρυσόστομος οὕτω που γράφει λέγων·
„Ἄγετ' ὦ Σπάρτας εὐάνδρου κοῦροι πατέρων,
„Λαιᾷ μὲν ἴτυν προβάλλεσθε, δορὺ δ' εὐτόλμως βάλλοντες,
„Μὴ φείδεσθε ζωᾶς· οὐ γὰρ πάτριον τᾷ Σπάρτᾳ.“

---

678. Phalar. Ep. 98.

683. Conf. Stesich. fragment. Suchf. p. XLI. et Gaisf. poet. min. p. 344.

688. Pind. Ol. IX, 1. ibique Schol. Pyth. II, 100. Heyn. Archilochi fragm. pag. 178. ed. Liebel. Gaisf. poet. min. pag. 115. sq.

HIST. 26.

692. Conf. Tyrtaei fragm. X. ibique not. Klotz. in Gaisford. poet. min. p. 244. sq. et Franck. Callin. p. 200.

697. σπάρτας cd. B. Idem habuit cd. A. in quo manus secunda correxit σπάρτης, quod est in edit. Basil.

698. προβάλλοντες cd. B.

ΠΕΡΙ ΑΝΝΙΒΑ. κζ′.

Ἀννίβας, ὡς Διόδωρος γράφει καὶ Δίων ἅμα,
Σὺν τούτοις Διονύσιος ὁ Ἁλικαρνασσόθεν,
Ἦν στρατηγὸς τῶν Σικελῶν, υἱὸς δὲ τοῦ Ἀμίλκα,
Ὅστις Ἀμίλκας σύμπασαν εἷλε τὴν Ἰβηρίαν,
Δόλοις ἐπιθεμένων δὲ κτείνεται τῶν Ἰβήρων.
Τὸν πάντα τούτου γὰρ στρατὸν φεύγειν κελεύσας τότε
Καὶ προςπλακέντας τοὺς υἱοὺς καὶ συνθανεῖν ποθοῦντας
Μάστιξι παρωσάμενος συμφεύγειν τοῖς ἑτέροις,
Ἀννίβαν πεντεκαίδεκα τῶν χρόνων ὑπηργμένον,
Ἀσδρούβαν δὲ δυώδεκα, τὸν λόφον, τὴν κυνέαν
Ἄρας αὐτοῦ τῆς κεφαλῆς τοῖς Ἴβηρσιν ἐγνώσθη.
Πάντων δ᾽ Ἰβήρων ἐπ᾽ αὐτὸν ὡς εἶχον ὁρμησάντων,
Οἱ φεύγοντες ἐσώζοντο τυγχάνοντες ἀδείας.
Ὡς δὲ σωθέντα τὸν στρατὸν εἶδε, στραφεὶς ὀπίσω,
Λοιπὸν σπουδάζει μηδ᾽ αὐτὸς Ἴβηρσι κρατηθῆναι.
Ἐπικειμένων δὲ σφοδρῶς κυκλόθεν τῶν Ἰβήρων,
Τὸν ἵππον ἀκρατέστερον ἐλάσας τὸν οἰκεῖον,
Τοῦ ποταμοῦ τοῦ Ἴβηρος τοῖς ῥεύμασιν ἐμπίπτει.
Βάλλεται δὲ παρά τινος ὁρμῶν ἐν ἀκοντίῳ.
Πλὴν καὶ πνιγεὶς, οὐδὲ νεκρὸς, τοῖς Ἴβηρσιν εὑρέθη.
Ὁ τούτῳ πόθος ἦν· σύρεται γὰρ τοῖς ῥείθροις.
Τούτου τοῦ ἥρωος ἀνδρὸς ὢν γόνος ὁ Ἀννίβας
Ὑπὸ γαμβρῷ ἐτάττετο. σὺν ᾧ τὴν Ἰβηρίαν
Πᾶσαν ἐλεηλάτησε, ποινὴν πατρῴου φόνου.
Ὡς δ᾽ ἐν τοῖς μεταξὺ χρόνοις οἱ Αὔσονες Ῥωμαῖοι

HIST. 27.

700. Vid. Eclog. e lib. Diod. XXV. p. 512. Wess. et Dion. Cass. p. 1522. Reim. — *καὶ* pro *ὡς* cd. B.

705. *γὰρ* pro *δὲ* restitui e cd. B. — *τούτου* in mendo cubat. Nisi enim in scriptore tali dictum est pro *αὐτοῦ*, reponendum erit *οὗτος*, ut oratio recte procedat.

715. *κυκλόθεν* cd. B. pro *κυκλόθε*.

720. Desunt duae syllabae, quas neuter codex supplet. Forsitan addendum *μέγας*, *quod valde desiderabat*; aut *οὐκ ἦν*.

Τοὺς Σικελοὺς ἐνίκησαν πολλάκις νικηθέντες,
Κέλευσμά τε βαρύτατον ἐκέλευσαν ἐκείνοις,
Ὡς μηδὲ ξίφος ἀπ᾽ αὐτῶν ποτέ τινα κατέχειν·
Ἀννίβας χρόνων εἴκοσι γενόμενος καὶ πέντε,
Χωρὶς συγκλήτου τῆς βουλῆς καὶ τῶν ὑπερεχόντων
Τοὺς θερμοτέρους συλλαβὼν καὶ τοὺς ὀξεῖς τῶν νέων
Ὡς ἑκατὸν καὶ πλείονας, ληστεύων Ἰβηρίαν
Ἔζη, καὶ πρὸς ἐπηύξανεν ἀεὶ στρατὸν τῶν νέων·
Ὡς δ᾽ ἡ πληθὺς ἐνίκα μὲν ἑκατονδάδας ἤδη,
Εἰς χιλιάδας δ᾽ ἔτρεχεν, εἶτα καὶ μυριάδας,
Καὶ μέγας γέγονε στρατὸς καὶ τῶν ἀξιομάχων
Ἄνευ μισθοῦ καὶ δωρεῶν οὕτω συνηθροισμένος,
Εὐθὺ τοῦτο κατάδηλον ἐγένετο Ῥωμαίοις.
Καὶ συνταχθέντες σύμπαντες στρατῷ πεζῷ καὶ στόλῳ,
Ἑπτὰ καὶ ἑβδομήκοντα πληθύος μυριάδες,
Πίτυος δίκην ἔσπευδον τοὺς Σικελοὺς ἐκτρίψαι.
Οἱ Σικελοὶ δ᾽ ἱκέτευον παύσασθαι τὸν Ἀννίβαν,
Μὴ παντελῶς τὰ Σικελῶν ἄρδην ἀποφθαρείη.
Ὁ δὲ παρεὶς τοὺς θέλοντας καὶ λέγειν καὶ λαβράζειν,
Οὐκ ἀναμείνας τὴν ὁρμὴν ἐκείνων τῶν Ῥωμαίων,
Μόνος ἐκ πάντων Σικελῶν χωρεῖ πρὸς Ἰταλίαν
Ἄνωθεν πορευόμενος Ἀλπιανῶν ὀρέων,
Καὶ τούτων τὰ δυσείσβολα καὶ πέτρας κατατέμνων
Ἐν ἓξ μησὶν ἐμπέπτωκε τάγμασι τῶν Ῥωμαίων·
Ἐν διαφόροις μάχαις δὲ τούτων πολλοὺς ἀνεῖλεν.
Ἀσδρούβαν δὲ τὸν ἀδελφὸν ἐκαραδόκει μένων,
Ὃς διαβὰς τὰς ὄρεα ταῦτα τὰ τῶν Ἀλπίων,

---

725. Super voc. *Σικελοὺς* in cd. A. scriptum est *Ἀφρικοὺς*, vs. 741. super *Σικελοὶ* item *ἄφροι*, v. 742. super *Σικελῶν* item *ἀφρικῶν*, similiterque vs. 745.

738. *πεζῷ στρατῷ* cd. B.

740. Habes id dictum primum apud Herodot. VI, 37. ubi cf. interpret. et Creuzeri fragm. antiq. script. gr. p. 108. not. 12. *Hoeger.* Add. Erasmi Adag. p. 166. 384.

743. *δὲ παρεὶς* recte uterque cd. pro *δ᾽ ἐπαρεὶς*, quod est in edit. Bas.

745 — 747. Hi tres vss. desunt in cod. B.

Ἡμέραις πεντεκαίδεκα προσήγγιζεν Ἀννίβᾳ,
Ἄγων καὶ πλῆθος στρατιᾶς. ὃ γνόντες οἱ Ῥωμαῖοι,
Λαθραίως ἐπιθέμενοι, τοῦτον μὲν ἀναιροῦσι,
Τὴν κεφαλὴν δ' ἐνέγκαντες ἐπέῤῥιψαν Ἀννίβᾳ.
Ὁ δὲ θρηνήσας, ὡς ἐχρῆν, τὸν ἀδελφὸν τὸν φίλον,
Ὕστερον ἀντετάξατο Ῥωμαίοις ἐν ταῖς Κάνναις,
Ῥωμαίων ὄντων στρατηγῶν Παύλου καὶ Τερεντίου.
Αἱ Κάνναι πεδιάδες δὲ εἰσὶ τῆς Ἀργυρίππας,
Οὗ Διομήδης ἔκτισε τὴν πόλιν Ἀργυρίππαν,
Τουτέστιν, Ἄργος Ἵππειον, τῇ γλώσσῃ τῇ Ἑλλήνων.
Αἱ πεδιάδες αὗται δὲ τυγχάνουσι Δαυνίων,
Τῶν Ἰαπύγων ὕστερον, ἔπειτα Σαλαντίων,
Τὰ νῦν δὲ πᾶσι Καλαυρῶν τὴν κλῆσιν λεγομένων,
Τῶν Καλαυρῶν μεσόριον αὖτε καὶ Λογγιβάρδων,
Οὗπερ ὁ μέγας πόλεμος ἐκείνοις ἀνεῤῥάγη.
Τούτου ῥαγέντος τότε δὲ πολέμου τοῦ φρικώδους,
Σεισμὸς ἐγένετο δεινός, ὡς ὄρη διαστῆναι,
Ἐξ οὐρανοῦ δ' ἐχύθησαν ὄμβροι μεγάλων λίθων.
Οἱ δὲ θερμῶς μαχόμενοι τούτων οὐδὲν ἐπέγνων.
Τέλος τοσοῦτο πέπτωκε πλῆθος ἀνδρῶν Ῥωμαίων,
Ὡς τὸν Ἀννίβαν στρατηγὸν πέμψαι τῇ Σικελίᾳ
Τοὺς δακτυλίους στρατηγῶν καὶ τῶν λοιπῶν ἐνδόξων
Μεδίμνοις τε καὶ χοίνιξι πολλοῖς ἐμμετρηθέντας·
Τὰς εὐγενεῖς καὶ πρώτας δὲ γυναῖκας τῶν Ῥωμαίων
Ὀδυρομένας προςδραμεῖν ναοῖς τοῖς ἐν τῇ Ῥώμῃ
Καὶ ταῖς θριξὶν τοὺς ἑαυτῶν καθαίρειν ἔδη τούτων,
Ὕστερον καὶ μιγῆναι δὲ καὶ δούλοις καὶ βαρβάροις,
Λειψανδρησάσης παντελῶς τῆς Ῥωμαΐδος χώρας,

---

752. ἡμερὰς cd. B.
755. ἀπέῤῥιψαν cd. B.
761. τῶν Ἑλ. cd. B.
763. Ἰαπύγων recte cd. B. pro Ἰαπύχων.
764. τανῦνδε cd. B.
765. αὖταρ καὶ λογγιβάρδων cd. B. in cd. A. et edit. Bas. λογκιβάρβων.
768. καὶ pro ὡς cd. B.
772 — 775. Hi vers. quatuor in cd. B. desunt. Vid: ad vers. 423.

Ὅπως μὴ πρόῤῥιζον αὐτῶν ἐκθαμνισθῇ τὸ γένος.
Τότε δ' ἡ Ῥώμη, παντελῶς πάντων ἀνῃρημένων,
Ἄκλειστος ἵστατο πολλοῖς ἡμεροδρόμοις κύκλοις.
Οἱ γέροντες δ' ἑζόμενοι τοῖς ταύτης προπυλαίοις,
Τὴν συμφορὰν ὠδύροντο τὴν ὑπερπαθεστάτην.
Τοὺς παριόντας δ' ἤροντο, μή πού τις ζῶν ἐλείφθη;
Τοιαύτης τότε συμφορᾶς τὴν Ῥώμην κατασχούσης,
Ἀννίβας κατημέλησε ταύτην ἐγκατασκάψαι,
Νίκαις καὶ πότοις καὶ τρυφαῖς φανεὶς ἀμβλὺς πρὸς τοῦτο,
Ἔστ' ἂν συνήχθη στράτευμα Ῥωμαίων τοῖς Ῥωμαίοις.
Τότε τρεττῶς ἀπείρχθη δὲ πρὸς Ῥώμην ἐξορμήσας.
Αἴφνης ἐκ τῆς αἰθρίας γὰρ χάλαζα σφοδρωτάτη
Καὶ γνόφος ἐγγινόμενος εἶργε πορείας τούτον.
Ὕστερον δὲ φθονούμενος τοῖς Σικελοῖς Ἀννίβας,
Ἐν σίτου χρείᾳ γεγονὼς, καὶ μὴ στελλόντων τούτων,
Ὁ πρὶν γενναῖος νικητὴς, λιμῷ νενικημένος,
Φυγὰς ὑπὸ Σκηπίωνος γίνεται τοῦ Ῥωμαίου,
Καὶ Σικελοῖς παραίτιος δεινῆς πανολεθρίας.
Αὐτὸς δὲ φάρμακον πιὼν θνήσκει πρὸς Βιθυνίαν,
Πρός τι χωρίον Λίβυσσαν καλούμενον τῇ κλήσει,
Δοκῶν θανεῖν εἰς Λίβυσσαν πατρίδα τὴν οἰκείαν.
Ἦν γὰρ Ἀννίβᾳ τις χρησμὸς οὕτω που γεγραμμένος·
„Λίβυσσα κρύψει βῶλος Ἀννίβα δέμας.“
Ὁ αὐτοκράτωρ δ' ὕστερον Ῥωμαίων ὁ Σεβῆρος,
Ἐκ γένους ὢν τοῦ Λιβυκοῦ, λευκῆς μαρμάρου τάφῳ
Τὸν ἄνδρα τοῦτον τέθεικεν, τὸν στρατηγὸν Ἀννίβαν.

ΠΕΡΙ ΤΟΥ ΒΟΥΚΕΦΑΛΟΥ. κη'.

Τοῦ Βουκεφάλου σύμπασαν ἔχεις τὴν ἱστορίαν,
Ὡς ἵππος ἦν ἀτίθασσος, ἀνθρώπους κατεσθίων,

782. ἡμεροδύτοις cd. B.
792. τούτους cd. B.
804. ἦν pro ὢν cd. B. idemque τάφῳ pro τάφου, recte. Videtur autem intelligi Severi filius Caracalla. Vide Dion. Cass. LXXVII, 6. Herodian. IV, 8, 6.

HIST. 28.

806. Cf. Schmieder. ad Arriani de expedit. Alex. V, 19, 7.

Μόνῳ τῷ Μακεδόνι δὲ ὑπείκων Ἀλεξάνδρῳ.
Τὴν βουκεφάλα κλῆσιν δὲ τοιουτοτρόπως ἔσχε·
Βοὸς ὡς ἔχων κεφαλὴν ἐν τῷ μηρῷ σφραγῖδα.
Οὐ μὴν βοὸς ἐκέκτητο ἢ κεφαλὴν ἢ κέρας.

ΠΕΡΙ ΤΟΥ ΙΜΑΤΙΟΥ ΑΝΤΙΣΘΕΝΟΥΣ ΣΥΒΑΡΙΤΟΥ. κθ'.

Τοιοῦτον τὸ ἱμάτιον ὑπῆρχεν Ἀντισθένους·
Ἦν σοῦσον, ἁλουργές, πεντεκαιδεκαπηχυαῖον,
Ἔχον μὲν ζῶδα καὶ θεοὺς καὶ Περσικὰ καὶ Σοῦσα,
Μαργάροις ἠσκημένα τε καὶ λίθοις τιμαλφέσι.
Χειρίδι δὲ θατέρᾳ μὲν εἶχε τὸν Ἀντισθένην,
Ἐν δὲ θατέρᾳ Σύβαριν, τὴν πόλιν Ἀντισθένους.
Τοῦτο δὲ Διονύσιος ὁ πρότερος κρατήσας,
Εἰς ἑκατὸν καὶ εἴκοσι τάλαντα νομισμάτων
Καρχηδονίοις ἐμπολεῖ. Πλούταρχος οἶμαι γράφει.

ΠΕΡΙ ΚΡΟΙΣΟΥ ΠΩΣ ΑΒΡΟΧΩΣ ΤΟΝ ΑΛΥΝ ΔΙΕΒΗ. λ'.

Θαλῆς, τοῦ Κροίσου μέλλοντος διαπερᾶν τὸν Ἅλυν,
Ὀρύξας ἡμικύκλιον μηνοειδῆ τε τάφρον,
Ὄπισθε μετωχέτευσε τὸν ποταμὸν ἐκεῖνον.
Οὕτω δὲ μὴ πεπερακώς, περάσας ἐφευρέθη.
Ἡρόδοτος δὲ μέμνηται ταύτης τῆς ἱστορίας.

ΠΕΡΙ ΤΗΣ ΕΝ ΤΩι ΕΛΛΗΣΠΟΝΤΩι ΒΟΣΠΟΡΟΥ ΜΑΝΔΡΟΚΛΕΟΥΣ ΓΕΦΥΡΑΣ. λά.

Ὁ Μανδροκλῆς, ὁ Σάμιος, ἀνὴρ ἦν ἀρχιτέκτων,
Ὃς τὸν Δαρεῖον μέλλοντα κατὰ Σκυθῶν ἐλαύνειν,

θ
808. ὑ πείκων ed. A.

HIST. 29.

814. ζῶδα videtur corruptum. Forsitan ζῶα. An dictum pro ζώδια?

820. Hunc Plutarchi locum monstrare non possum.

HIST. 30.

825. Herodot. I, 75.

Ναυσὶ τὸν Ἑλλησπόντιον Βόσπορον γεφυρώσας,
Εἴτε περὶ τὴν Δάμαλιν, εἴτε καὶ τὸ Ἡραῖον,
Πρὸς τὴν Εὐρώπην ἐκβιβᾷ στρατεύμασιν ἀπείροις.
Καὶ ταύτην ὁ Ἡρόδοτος τὴν ἱστορίαν γράφει.
Δύο δ' εἰσὶν οἱ Βόσποροι, καὶ μάθε τίνες οὗτοι·
Ὁ Σκύθης ὁ Κιμμέριος, δι' οὗ Μαιῶτις λίμνη
Τῇ ποντικῇ συμμίγνυται θαλάσσῃ τοῦ Εὐξείνου,
Ὁ παρ' ἡμῖν τε Θράκιος, ὁ καὶ Ἑλλησποντίας,
Ὃς συνηθείᾳ τῇ κοινῇ προσφόριον καλεῖται.
Μάθε καὶ τὸν Ἑλλήσποντον ἐκ ποῦ καὶ μέχρι πόσου.
Ἐκ τῆς Ἀβύδου τῶν στενῶν καὶ τῶν ἐν μέσῳ πάντων
Μέχρι γεφύρας Βλαχερνῶν Ἑλλήσποντος καλεῖται,
Τὴν βεβρυκίαν θάλασσαν εἰς μέσον περικλείων,
Τῆς Ἡρακλείας τῶν Θρακῶν, τῆς πρότερον Περίνθου.
Ὅστις δ' ὁ γεγραφὼς ἐστι περὶ Βοσπόρων δύο,
Καὶ τίς ὁ τὸν Ἑλλήσποντον γράψας θαλαττογράφος
Ἀπὸ τοῦ πλήθους τῶν πολλῶν ἱστορικῶν, οὐκ οἶδα.
Τέως τὸν Τζέτζην ἀψευδεῖν ἐν τοῖς τοιούτοις νόει,
Ὡς ἀκριβέστερον εἰπεῖν ἱστορικῶν ἁπάντων,
Καὶ πάντων μνημονέστερον τῶν ὄντων νῦν ἐν βίῳ.

ΠΕΡΙ ΞΕΡΞΟΥ. λβ'.

Ξέρξης ὁ Πέρσης οὕτω πως στρατεύει καθ' Ἑλλάδος.
Ἱππίας πρὶν ὁ τύραννος, υἱὸς τοῦ Πεισιστράτου,
Ὑπ' Ἀθηναίων ἐκβληθεὶς ἱκέτευσε Δαρεῖον,
Καὶ δὴ παρέπεισεν αὐτὸν κατ' Ἀθηνῶν στρατεῦσαι,
Ὡς ὁ παναθηναϊκὸς τοῦ Ἀριστείδου γράφει.

HIST. 31.

831. Herodot. IV, 87. 88. Ueb. Herodots Ausmessung des Pontus Euxinus etc. von *F. Kruse.* Breslau, 1818.

832. V. Cellar. Geogr. Orb. Ant. T. II. p. 291.

836. *προσφόριον* videtur corrupta ex *βόσπορος* appellatio.

844. *ἱστοριῶν* et hic et vs. 846. in cd. B. In eodem vs. 845. *ἀψευστεῖν.*

847. *μνημονέστερον* uterque cod. pro *ἀμνημονέστερον*, quod est in edit. Basil. Ex cd. B. accessit *νῦν.*

HIST. 32.

852. Cf. scholia ad Lycophr. 1432. ibique Mülleri notam 15., item Herodot. V, 96. sqq.

Ὁ δὲ Ἡρόδοτός φησιν, ὡς ὑπ' Ἀρισταγόρου
Τὰς Σάρδεις ἐξεπόρθησαν πεισθέντες Ἀθηναῖοι.
Πρῶτα μὲν τὸν Μαρδόνιον αὐτοῖς Δαρεῖος πέμπει·
Ὁ δὲ πρὸς Ἄθω ναυαγεῖ μυρίους ἀπολέσας·
Ὅνπερ καὶ λύει τῆς ἀρχῆς, Μαρδόνιον Δαρεῖος·
Πέμπει δ' αἰτῶν τοῖς Ἀττικοῖς σπυρίδα, γῆν καὶ ὕδωρ
Οἵπερ τοὺς πρέσβεις ἔχωσαν ἐν φρέατι βαλόντες.
Εἶτα τὸν Δάτιν ἔπεμψεν, ἅμα καὶ Ἀρταφέρνην,
Ἀνεψιὸν τὸν ἑαυτοῦ, ναυσὶν ἑξακοσίαις·
Οἳ Νάξον καὶ Ἐρέτριαν εἷλον, Εὐβοίας πόλεις.
Δάτις δὲ τῷ Ἀπόλλωνι ἐνθυμιᾷ τῇ Δήλῳ
Τάλαντα τριακόσια λιβανωτοῦ πρωτίστου·
Ὡς δ' ἐστρατοπεδεύσαντο περὶ τὸν Μαραθῶνα,
Συνόντος τούτοις καὶ αὐτοῦ τυράννου τοῦ Ἱππίου,
Ἡττῶνται Μιλτιάδῃ δὲ καί γε τῷ Στησιλέῳ,
Καὶ Καλλιμάχῳ σὺν αὐτοῖς μετὰ τοῦ Κυναιγείρου.
Ὑποστραφέντες λέγουσι τὴν ἧτταν τῷ Δαρείῳ.
Ὁ δ' ὑπερζέσας τῷ θυμῷ τρεῖς ὅλους ἐπὶ χρόνους
Ηὐτρέπιζε τὸν στόλον τε καὶ στράτευμα συνῆγεν,
Ὡς ἤδη μέλλων κατ' αὐτῆς στρατεύειν τῆς Ἑλλάδος.
Τετάρτῳ δ' ἔτει θνήσκει μὲν εὐθέως ὁ Δαρεῖος.
Ὁ παῖς δὲ διαδέχεται Ξέρξης τὴν βασιλείαν
Καὶ πόλεμον τὸν ἄσπειστον τὸν κατὰ τῆς Ἑλλάδος.
Ὧι νῆες στρατιώτιδες ἦσαν, πολεμιστρίδες,
Ἑπτὰ καὶ διακόσιαι μετὰ καὶ δισχιλίων,
Λαοῦ πληθὺς ἀπόμαχος, μάχιμοι σκευοφόροι,
Ὡς μυριάδες σύμπαντες ἐγγὺς πεντακοσίων.
Ἡμερησία δὲ τροφὴ στρατῷ παντὶ τῷ τούτου
Τάλαντα τετρακόσια λιτῶς ἦν τρεφομένοις.
Οὗτος ὁ Ξέρξης ὁρμηθεὶς στρατεύειν καθ' Ἑλλάδος

---

855. *Μαρδόνιον* recte cd. B. at per *ω̃* cd. A.

863. Herodot. VI, 97.

869. *ὑποστραφέντες* cd. B. pro *ὑπογραφέντες*.

876. *πολεμηστρίδες* cd. B.

882. *οὗτος* e cd. B. pro *οὕτως*.

Καινοτομεῖν ἠθέλησε καὶ φύσεις τῶν στοιχείων.
Καὶ δὴ κατὰ μὲν μίμησιν τὴν τοῦ πατρὸς Δαρείου,
Ὡς πρὶν ἐκεῖνος ἐκπερᾷ κατὰ Σκυθῶν ἐκτρέχων
Τὸν Δαμαλίτην Βόσβορον πεζῇ πρὸς τὴν Εὐρώπην,
Ὃν Μανδροκλῆς ὁ Σάμιος ἔζευξε γεφυρώσας,
Πέμπει καὶ οὗτος γεφυροῦν τὸ πέλαγος Ἀβύδου.
Ὡς δ' ἐκ Σηστοῦ πρὸς Ἄβυδον γεφυρωθὲν ἐλύθη,
Διακοσίας μὲν πληγὰς δίδωσι τῇ θαλάσσῃ,
Δύο τε ζεύγη σιδηρῶν ποδοπεδῶν ἐμβάλλει
Πρὸς πέλαγος θαλάττιον, δῆθε δεσμῶν ὡς δούλην,
Ἀντὶ μιᾶς γεφύρας δὲ δύο κελεύει ζεῦξαι.
Καὶ δὴ πλαγίας κατὰ ῥοῦν πληρώσαντες ὁλκάδας,
Ἀγκύραις τε στηρίξαντες, ὡς μένειν ἀσαλεύτους,
Ἀπὸ τῆς γῆς ὡς πρὸς τὴν γῆν τὴν ἀντιπεραῖτιν,
Σχοίνους φοινικώδεις εἵλκυσαν ἐπάνω τῶν ὁλκάδων,
Ἕνα πρὸς πρώραις τῶν νεῶν, ἕτερον δὲ πρὸς πρύμναις.
Ὁ πηχυαῖος σχοῖνος δὲ τριτάλαντος ἦν βάρει.
Τούτους οὖν ἐντανύσαντες ἐκ γῆς τῆς ἑκατέρας
Ξύλων κορμοῖς προσήλωσαν, ὡς ἐν ἱπποστασίοις.
Οὕτω μὲν ὀχυρώσαντες τὸ ἔδαφος, τοῖς σχοίνοις
Χειραγωγοῖς τὰ πλάγια καὶ κλείσμασι στεῤῥοῦσι,
Μή πως ἐκ τῶν πλαγίων τις εἰς θάλασσαν ἐκπέσοι.
Ἐπεὶ δ' ἄμφω γεγόνασι αἱ γέφυραι ζευχθεῖσαι,
Πολὺν τὸν χοῦν ἐγχέοντες κορμοῖς τοῖς ἐδαφίταις,
Γαιοῦσι ταύτας ἀκριβῶς· γαιώσαντες δὲ ταύτας
Ἄνωθεν ἐπιῤῥαίνουσι μυῤῥίνην τε καὶ δάφνην.
Οὕτω μὲν ἀπεγαίωσε τὴν θάλασσαν γεφύραις
Δαρεῖον ἐκμιμούμενος τὸν ἑαυτοῦ πατέρα.

---

890. Herodot. VII, 35.

892. δῆθεν et δοῦλον cd. B.

900. σὺν ἀντανύσαντες cd. B. οὖν ad explendum versum inserui.

904. ἐκπέσοι pro ἐμπέσοι cd. B. illud etiam in marg. cd. A.

905. αἱ pro καὶ, quod est in edit. Bas., recte uterque codex.

906. ἐγχέοντες cd. B. pro ἐγχέαντες. Illud aptius propter praesens γαιοῦσι.

909. Pro μὲν cd. B. habet γάρ.

Τὸν Ἄθω δ' ἐθαλάττωσε διώρυγι βαθείᾳ,
Ὡς διὰ τοῦ ὀρύγματος δύο τριήρεις πλέειν,
Ἀνθ' ὧν πρὶν ἐναυάγησε Μαρδόνιος ἐκεῖσε,
Καὶ δισμυρία στρατιὰ κύμασι διεφθάρη.
Τῆς ὀρυγῆς τοῦ Ἄθω δέ, τοῦ νῦν ἁγίου ὄρους,
Ἐξ Ἐλεοῦντος ἤρξαντο λαοῦ μυριοστύες,
Ὧν ἐπιστάτης ἦν σφοδρὸς Βουβάρης ὁ σατράπης,
Καὶ Ἀρταχαῖος σὺν αὐτῷ, πεντάπηχυς μεγέθει.
Ἐπεὶ δὲ πάντα γέγονε, καὶ πέλας Ἑλλησπόντου
Θρόνος ἐκτίσθη λίθινος ὡς θέατρον τῷ Ξέρξῃ.
Ὡς κατηγγέλθη σύμπασα τούτῳ τελεσουργία,
Ἐκ τῆς Λυδίας ἤρξατο ποιεῖσθαι τὴν πορείαν.
Ἐν Κελαιναῖς δὲ τῶν Φρυγῶν πανστρατιᾷ ξενίζει
Πύθιος τοῦτον ὁ Λυδός, ὃς πρότερον Δαρείῳ
Ἀναδενδράδα δέδωκε καὶ πλάτανον παγχρύσους·
Ὅσπερ καὶ τότε δίδωσι τούτῳ τῷ Ξέρξῃ δῶρον
Δισχίλια μὲν τάλαντα ἀργύρου ἀνεργάστου,
Χρυσοῦ δ' ἐνσήμου δαρεικοῦ νομίσματος καλλίστου
Τετρακοσίας ἀριθμῷ τὰς πάσας μυριάδας.
Ὧνπερ αὐτὸς οὐδὲν λαβών, τὴν γνώμην δὲ θαυμάσας
Ἤλαυνε πρὸς Ἑλλήσποντον καὶ τὴν γεφυρουργίαν.
Τῆς ἵππου δὲ τῆς τοῦ στρατοῦ πιεῖν ἐπικυψάσης
Ὁ Μαίανδρος ἢ Σκάμανδρος τελέως ἐξηράνθη,
Ὡς ὕστερον ὁ Πηνειὸς περὶ τὴν Θετταλίαν,
Περὶ δ' Ἀθήνας Ἰλισσός. ἀλλ' ὕστερα μὲν ταῦτα.
Τότε δὲ πρὸς Ἑλλήσποντον φθάσας ὁ Ξέρξης οὗτος,
Παρὰ τὸν θρόνον ἀναβὰς τὸν ὑψηλὸν ἐκεῖνον,
Ὡς εἶδε κύκλῳ τὸν στρατὸν ἀνθῶν καὶ φύλλων πλείω,
Ἰσαριθμοῦντα δὲ σχεδὸν ψάμμῳ τῇ θαλασσίᾳ,
Πρῶτα μὲν ἐμακάρισεν αὐτὸν εὐδαιμονίζων.
Εἰς νοῦν δὲ τὸ βραχύχρονον θέμενος τῶν ἀνθρώπων

---

911. Ἄθω pro Ἄθων cd. B. — Cf. Herodot. VII, 22.
923. Herodot. VII, 27. Chil. III, 30.
939. ἰσαριθμῶντα — θαλαττίᾳ cd. B.
941. τὸν cd. B., ut legendum videatur τὸν βραχὺν χρόνον.

Εὐθὺς εὐθὺς ἐμέστωσε τοὺς ὀφθαλμοὺς δακρύων.
Ὁ θεῖος δὲ Ἀρτάβανος μαθὼν πρὸς τοῦτον λέγει·
Πάντως τὸ βραχυχρόνιον δακρύεις τῶν ἀνθρώπων·
Ἴσθι δὲ τοῦτον τὸν βραχὺν ὦ βασιλεῦ τὸν βίον
Δι᾿ ἐπηρείας συμφορῶν μακρὸν δοκεῖν τοῖς πλείστοις,
Καὶ δι᾿ εὐχῆς αὐτοῖς εἶναι βραχύτερον γενέσθαι.
Ἀλλ᾿ οὕτω τὰ τοῦ Ξέρξου μὲν καὶ τὰ τοῦ Ἀρταβάνου.
Ὡς δὲ καὶ παρεισέβαλον ἤδη πρὸς τὰς γεφύρας,
Ἐπεραιοῦτο ὁ στρατὸς ἀδιαστίκτῳ βάσει
Ὅλαις ἡμέραις καὶ νυξὶν ἑπτάκις μετρουμέναις.
Τέλος ἐφ᾿ ἅρματος αὐτὸς διέβαινεν ὁ Ξέρξης
Μυρίαν ἔχων προπομπὴν ἀνδρῶν ἐκλελεγμένων.
Καὶ τί μοι λέγειν τὰ πολλὰ χρεὼν καὶ παρεγγράφειν;
Πεπερακότος τοῦ στρατοῦ παντὸς πρὸς τὴν Εὐρώπην
Πᾶς ποταμὸς ἐξήρανται, πᾶν δένδρον κατεβρώθη,
Ὁ ἥλιος τοξεύμασι τοῖς περσικοῖς ἐκρύβη,
Ἔφριξε γῆ καὶ θάλασσα καὶ φύσις ἡ τῶν δένδρων.
Ὁ Λεωνίδης στρατηγὸς μετὰ τριακοσίων
Περὶ τὸ Ἀρτεμίσιον πᾶσιν ἀντέστη τούτοις,
Ὡς κτεῖναι πλῆθος ἄπειρον βαρβάρων μεγιστάνων,
Καὶ βασιλέως ἀδελφοὺς ἠγαπημένους δύο,
Ὡς ἀποβῆναι καὶ αὐτὸν τὸν Ξέρξην ἐκ τοῦ ἵππου,
Καὶ πρὸς τοὺς ἄνδρας μάχεσθαι τῇ κατὰ χεῖρας μάχῃ
Μόλις τῷ πλήθει τούτους δὲ συμπνῖξαι τῶν βαρβάρων,
Προδεδομένων τῶν ὁδῶν παρά τινος ἐποίκου,
Εἴτε κατὰ Διόδωρον τὸν Σίκελον ἐκεῖνον
Τοῦ Λεωνίδου στρατηγοῦ μετὰ τῶν ὑπ᾿ ἐκεῖνον
Νυκτὸς εἰς μέσον στράτευμα πεσόντος τῶν βαρβάρων

---

950. In cd. B. videtur legi ἐν ἀδιστάκτῳ, quae lectio bona.

956. In margine cd. A. qui habet ἐξήρανται ab alia manu est appositum ανεν, ut in marg. edit. Bas. ἐξήρανεν.

960. Artemisium et Thermopylas confudit Tzetzes μνημονέστατος.

967. Diodor. Sic. XI, 4. sqq.

969. In cd. B. videtur esse τοῦ βαρβάρου.

Καὶ πᾶν τοῦτο θερίζοντος μέχρι βολῶν ἡλίου,
Εἴτε πεσόντος ὑπ' αὐτῶν ὡς κυκλωσάντων τούτους.
Ταῦτα πολέμου πρόπειρα τῷ Ξέρξῃ καὶ βαρβάροις.
Περὶ τὴν Σαλαμῖνα δὲ νικᾶται ναυμαχίᾳ
Διακοσίαις ταῖς ναυσὶ καὶ ἑβδομηκοντάδι,
Αὐτὸς ἔχων, ὡς ἔφημεν, ὁλκάδας δισχιλίας,
Διακοσίας τε ἑπτὰ τὰς λίαν ταχυτάτας.
Τῆς συμβολῆς τῆς μάχης δὲ τοῦ στόλου γινομένης,
Αὐτὸς ὁ Ξέρξης ἄνωθι τοῦ Αἰγαλέου ὄρους,
Ὅπερ ἐστὶ καταντικρὺ κείμενον Σαλαμῖνος,
Χρυσῷ θρόνῳ καθήμενος ὥρα τὴν ναυμαχίαν.
Καὶ γραμματεῖς παρίσταντο μέλλοντες ταύτην γράφειν.
Ὡς δὲ πικρὸς ὁ οἰωνὸς ἦν ὁ τῆς ναυμαχίας
Καὶ κατὰ κράτος Ἀττικοῖς ἡττήθησαν τῷ στόλῳ,
Πρὸς τὰς πεζὰς ἐχώρησαν καὶ πάλιν καταιγίδας,
Ὡς πρὸ μικροῦ νικήσαντες γέροντας Ἀθηναίους,
Τοὺς οὕσπερ καὶ κατέκαυσαν, ξύλινον θέντας τεῖχος
Παρὰ τὸ τεῖχος Ἀθηνῶν, χρησμοῖς ἠπατημένους.
Ὡς γοῦν καὶ πάλιν ὥρμα μὲν πρὸς τὰς πεζὰς τὰς μάχας,
Ἔβλεπε δὲ κακούμενον αὐτὸν ἐξ Ἀθηναίων
Καὶ τοὺς Ἑλλήνων βοηθοὺς πολὺ θρασυνομένους,
Ἤκουσε τούτους μέλλειν δὲ λύειν καὶ τὰς γεφύρας,
Ἀφεὶς τῆς μάχης στρατηγὸν Μαρδόνιον ὑπάρχειν
Καί γε τὸν χρυσοθώρακα Μασίστιον τὸν Πέρσην,
Αὐτὸς σὺν μέρει τοῦ στρατοῦ σπουδαίως ὑπεχώρει,
Ὥνπερ οἱ πλείους θνήσκουσι κρυμνῷ, λιμῷ, πορείᾳ.
Ἀπὸ Στρυμόνος δ' ἐπιβὰς νηὸς αὐτὸς φοινίσσης
Σὺν τοῖς ἀρίστοις τῶν Περσῶν, κλύδωνος γεγονότος,
Κελεύσας τούτους ἐκπηδᾶν εἰς θάλασσαν τοῦ πλοίου,
(Ὅπερ δὴ καὶ δεδράκασιν ἐκεῖνον προσκυνοῦντες,
Ὅπως τὸ πλοῖον κουφισθὲν σώσῃ τὸν βασιλέα)

---

978. Herodot. VIII, 90.
981. Plut. Vit. Themist. c. 13.
996. Herodot. VIII, 118.

CHILIAS II.

Μόλις μυρίαις συμφοραῖς περᾷ πρὸς τὴν Ἀσίαν.
Τοὺς μετὰ Μαρδονίου δὲ κτείνουσιν Ἀθηναῖοι
Καὶ τὸν Μασίστιον αὐτόν, ὅνπερ καὶ πρώην ἔφην
Λεπιδωτὸν τὸν θώρακα χρυσοῦν ἐνδεδυμένον,
Δι' ὃν καὶ μάχη κρατερὰ τοῖς Ἕλλησιν ἐῤῥάγη.
Ξέρξης μετὰ τοιαύτην δὲ πεπερακὼς τὴν ἧτταν,
Ἔρωτα σχὼν τῆς γυναικὸς αὐτοῦ τοῦ Μασιστίου,
Ταύτῃ συνῆν, συνέχαιρεν ἐν Σάρδεσι τῇ πόλει,
Οἷάπερ στήσας τρόπαια λαμπρά τε καὶ μεγάλα,
Ὁ πᾶσαν ἄρδην ἀνελὼν ἥβην τερπνὴν Περσίδος,
Οἷα καὶ μέχρι δρῶσι νῦν πολλοὶ τῶν ἡττημένων.
Τέλος ἐλθὼν πρὸς τὴν αὐτοῦ πατρίδα τὴν Περσίδα,
Τῆς πανωλέθρου συμφορᾶς τὸ πάθος καταγγέλλει.
Αἰσχύλος καὶ Ἡρόδοτος, Λυσίας, Ἀριστείδης,
Διόδωρος καὶ Πλούταρχος ταῦτά φασι σὺν ἄλλοις.

ΠΕΡΙ ΚΛΕΟΠΑΤΡΑΣ ΚΑΙ ΤΗΣ ΦΑΡΟΥ. λγ'.

Ἡ Πτολεμαίου σύναιμος, δέσποινα Κλεοπάτρα,
Ἡ Αἰγυπτία, ἡ σοφὴ καὶ πανευμορφοτάτη,
Ἡ πιθανὴ καὶ εὔγλωττος, ἡ ῥέουσα Σειρῆνας,
Ἡ κάλλει πάντας θέλγουσα καὶ φύσιν τῶν θηρίων,
Τὸν Γάϊον Ἰούλιον τὸν Καίσαρα δὲ μᾶλλον
Καὶ μετ' αὐτὸν Ἀντώνιον γαμβρὸν Ὀκταουΐου,
(Δι' ὃν καὶ ᾐχμαλώτισται καὶ θνήσκει ταῖς ἀσπίσι
Καὶ πρὸς τὴν Ῥώμην τάριχος στέλλεται χάριν θέας·
Καὶ τέκνα προεπόμπευσαν ταύτης Ὀκταουΐῳ,

CHILIAS II.

3. Herodot. IX, 22. sq. Plut. Vit. Aristid. c. 14.

6. Errorem Tzetzae Masistium et Masisten tum hoc loco tum ad Lycophron. 1432. confundentis notavit Wesseling. ad Herodot. IX, 108.

12. πρὸς pro εἰς quod est in edit. Basil. uterque codex habet.

13. πανωλέθρου cd. A. pro πανολέθρου.

HIST. 33.

17. καὶ σοφὴ cd. B.

18. An ἐρέουσα?

19. ὡς pro ἡ cd. B.

Ἥλιος κλῆσις μὲν ἐνί, τῷ θήλει δὲ Σελήνη)
Αὕτη σὺν ἀρχιτέκτονι Κυπρίῳ Δεξιφάνει
Τὴν θάλασσαν χερσώσασα τὴν τῆς Ἀλεξανδρείας
Ὅσον πρὸς τετραστάδιον, εἴτε μικρόν τι πλέον,
Τὸν πύργον ἐξειργάσατο τὸν μέγιστον τῆς Φάρου,
Ὁλκάσι φῶς σωτήριον μᾶλλον ἐν ζάλῃ φαίνειν.
Μέμνηται μὲν Βιργίλιος ταύτης τῆς Κλεοπάτρας,
Λουκιανὸς καὶ Γαληνὸς καὶ Πλούταρχος σὺν τούτοις,
Διόδωρος, Γεώργιος ὁ χρόνικος σὺν ἄλλοις.
Καὶ Ἰωάννης μετ' αὐτοὺς Ἀντιοχεὺς ὑστέρως.

ΠΕΡΙ ΤΡΑΪΑΝΟΥ ΚΑΙ ΓΕΦΥΡΩΣΕΩΣ ΤΟΥ ΙΣΤΡΟΥ. λδ'.

Τραϊανὸς οὐκ Ἰταλὸς ὢν οὐδ' Ἰταλιώτης,
Ἀλλ' Ἴβηρ ὢν ἀλλοεθνής, ἄρχων ἐν Γερμανίᾳ,
Τοιουτοτρόπως βασιλεὺς γίνεται τῶν Ῥωμαίων.
Μετὰ τὸ κράτος Νέρωνος καὶ τὴν αὐτοχειρίαν,
Καὶ τὴν Δομιτιάνειον σφαγὴν τὴν ἐκ Στεφάνου,
Νερούαν ἄνδρα γέροντα, πανάγαθον τοῖς τρόποις,
Ῥωμαῖοι προχειρίζονταί σφισιν εἰς βασιλέα.
Ὅσπερ κρατήσας χρόνον τε καὶ χρόνου τρίτον μέρος
Καὶ ἐνναήμερον καιρόν, ὢν ἀσθενὴς τῷ γήρει,
Ἐμῶν τε πᾶσαν τὴν τροφὴν καὶ παρεωραμένος,
Τὴν σωτηρίαν τοῦ κοινοῦ προκρίνας συγγενείας
Ἐᾷ τοὺς συγγενεῖς πάντας, ἐᾷ καὶ τοὺς γνωρίμους.

---

25. Dion. Cass. lib. 50, 25.
30. *φαίνειν* pro *φαίνων* cd. B.
31. Videtur in animo habuisse Virg. Aen. VIII, 698. Ceterum cf. I. H. Voss. ad Virg. Georg. p. 447. De pharo, quam aedificavit Sostratus Cnidius, filius Dexiphanis, vid. Caes. B. C. III, 112. Plin. H. N. XXXVI, 12. Strab. XVII, 1, 6. p. 495. Tzschuck. Lucian. quo modo hist. scrib. §. 62. Schol. ad Icaromenip. §. 12.

HIST. 34.

35. *Ἀττικὸς* pro *Ἰταλὸς* cd. B. recte, opinor.
42. Inserui *χρόνον τε καὶ* e cd. B. Dio Cass. 68, 4. *ἄρξας ἔτει ἑνὶ καὶ μησὶ τέσσαρσι καὶ ἡμέραις ἐννέα.*
45. *τῶν κοινῶν* cd. B.



Συναγαγὼν δὲ τὴν βουλὴν πᾶσαν τὴν τῶν Ῥωμαίων
Τραϊανὸν ὑπάρχοντα τότε πρὸς Γερμανίαν
Τῆς Ῥώμης αὐτοκράτορα τρανῶς ἀνακηρύττει,
Ἄνω τῆς ἀκροπόλεως ταῦτα βοῶν κατ᾽ ἔπος·
Ἀγαθῇ τύχῃ τῆς βουλῆς καὶ δήμου τῶν Ῥωμαίων
Ἐμοῦ τε, αὐτοκράτορα Τραϊανὸν ποιοῦμαι.
Εὐθὺς δὲ τούτῳ πέπομφε γράμμα πρὸς Γερμανίαν,
„Τίσειαν Δάναοι ἐμὰ δάκρυα σοῖσι βέλεσσιν·“
Ἐλθὼν δ᾽ εἰς Ῥώμην βασιλεὺς Τραϊανὸς Νερούας,
Ὡς ἀγαθὸς τοῖς σύμπασι Ῥωμαίοις ἐφιλεῖτο.
Πολλὰ ποιήσας δὲ χρηστὰ πόλεσι Ῥωμαΐσι,
Χρόνον ἐνδιατρίψας τέ τινα περὶ τὴν Ῥώμην,
Στρατεύει πρὸς Δεκέβαλον Δακῶν τὸν βασιλέα,
Ὅσπερ ἀπεστασίασε Ῥωμαίων σχὼν τοὺς φόρους,
Πρὸς Σαργετίαν ποταμὸν τοὺς θησαυροὺς συγκρύπτων.
Πρὸς δὲ τὸν Ἴστρον πεφθακὼς Τραϊανὸς εὐθέως
Ῥωμαίους διεπόρθμευσεν ὁλκάσι πρὸς τοὺς Δάκας·
Τὸ δ᾽ ἄλλο μέρος ἦν αὐτῶν πρὸς τὴν ἀντιπεραίαν.
Διὸ ποιεῖ τὴν γέφυραν πρὸς τὰς ἐπιβασίας.
Ἡ θέσις τῆς γεφύρας δὲ τοιούτως ἵδρυταί πως.
Εἴκοσι λίθοι στερεαὶ τετράγωνοι μεγάλαι,
Πλάτος ἑξήκοντα ποδῶν, τὸ δ᾽ ὕψος πλὴν θεμέθλων
Ποδῶν ὡς ἑκατὸν εἰσι πεντήκοντα λαχοῦσαι.
Ἑκάστη δ᾽ ἑβδομήκοντα καὶ ἑκατὸν τοὺς πόδας
Ἀλλήλων ἀφεστήκασιν, ἁψῖσι δὲ συνδοῦνται.
Οὕτω μὲν ἐγεφύρωσε Τραϊανὸς τὸν Ἴστρον.
Τήν τε Δακίαν σύμπασαν ὑπὸ Ῥωμαίους δράσας
Καὶ πόλεις κτίσας ἐν αὐτῇ, συστρέφει πρὸς τὴν Ῥώμην,
Τὴν Δεκεβάλου κεφαλὴν σὺν αἰχμαλώτοις ἄγων,

---

54. Iliad. I, 42.

58. τὸν πρὸς τὴν Ῥ. cd. B.

61. Pro Ἀργεντίαν scripsi Σαργετίαν. Vide Dion. Cass. LXVIII, 14. p. 1131.

65. De ponte Traiani vid. Dion. Cass. 68, 11. et not. Reimari p. 1128.

67. κραταιαὶ pro στερεαὶ cd. B.

73 — 77. Hi quinque versus desunt in cod. B.

Καὶ τούτων ἐπινίκια σὺν πᾶσι τοῖς Ῥωμαίοις:
Οὕτω μὲν ἐγεφύρωσε Τραϊανὸς τὸν Ἴστρον·
Ἀδριανὸς δ' Ἀδριανοῦ τοῦ Ἄφρου παῖς ὑπάρχων,
Ἐπ' ἀδελφῇ Τραϊανοῦ Τραϊανῷ γαμβρεύσας,
Τὴν γέφυραν κατέλυσε, λαβὼν τὴν βασιλείαν,
Μὴ Δάκαις αὕτη γίνοιτο δρόμος κατὰ Μυσίας.
Αὐτὸς καὶ Ἀπολλόδωρον γεφυρεργάτην κτείνει,
Φύσει τελῶν μνησίκακος, κἂν ἦν τῶν φιλολόγων.
Τὴν ἱστορίαν γέγραφεν ὁ Κάσσιος ὁ Δίων,
Ἄλλοι πολλοί τε χρόνικοι τῶν ἐπισήμων ἄνδρες.
Τῆς δὲ γεφύρας μέμνηται ταύτης τῆς παριστρίας
Αὐτὸς ὁ φιλεταίριος ἐν λιμενοποιΐαις,
Κἂν ταῖς θεμελιώσεσι ταῖς παραθαλασσίαις,
Θεόφιλος ἀνθύπατος, πατρίκιος, κουαίστωρ,
Ἔπαρχός τε τῆς πόλεως ταύτης τῆς βασιλίδος,
Λέγων τὸν Ἀπολλόδωρον τὸν Ἴστρον γεφυρῶσαι,
Κιβώτιον τεκτήναντα πρὸς προθεμελιώσεις,
Μῆκος ποδῶν μὲν ἑκατὸν καὶ εἴκοσι σὺν τούτοις,
Εἰς πλάτος δ' ὀγδοήκοντα. ταῦτά φασιν οἱ ἄνδρες.
Ὠτία δὲ Τραϊανὸν λέγουσιν ἔχειν τράγου·
Ὅπερ αὐτὸς οὐχ εὕρηκα γραφαῖς ἐγγεγραμμένον·
Ἢ τῷ ἐκ μόνης ἀκοῆς ἐρᾶν τινῶν εὐθέως·
Ὀχευτικὸς γὰρ ὁ ἀνὴρ δίκην αὐτῶν τῶν τράγων,
Κἂν συνετῶς μετήρχετο καὶ τὰς τοιαύτας μίξεις·
Ἢ τῷ στρατεύειν κατ' ἐχθρῶν κατὰ δυσβάτων τόπων,
Τῷ μόνον ἐνωτίσασθαι Ῥώμης ἐχθροὺς τυγχάνειν.
Χαίρει γὰρ τράγος τοῖς κρημνοῖς καὶ τοῖς δυσβάτοις τόποις.

---

81. Graeci plerumque *Moesiam* appellant *Μυσίαν*. Vid. Cellar. Notit. Orb. A. Tom. I. p. 569.

84. Vid. Dion. Cass. 69, 4. ibique Reimar. p. 1152.

95. *ὠτίον* cd. B.

101. *μόνον* pro *μόνῳ* cd. B.

ΠΕΡΙ ΑΡΧΙΜΗΔΟΥΣ ΚΑΙ ΤΙΝΩΝ ΑΥΤΟΥ ΜΗΧΑΝΩΝ. λέ.

Ὁ Ἀρχιμήδης ὁ σοφός, μηχανητὴς ἐκεῖνος,
Τῷ γένει Συρακούσιος ἦν, γέρων γεωμέτρης,
Χρόνους τε ἑβδομήκοντα καὶ πέντε παρελαύνων,
Ὅστις εἰργάσατο πολλὰς μηχανικὰς δυνάμεις,
Καὶ τῇ τρισπάστῳ μηχανῇ χειρὶ λαιᾷ καὶ μόνῃ
Πεντεμυριομέδιμνον καθείλκυσεν ὁλκάδα.
Καὶ τοῦ Μαρκέλλου στρατηγοῦ ποτὲ δὲ τῶν Ῥωμαίων
Τῇ Συρακούσῃ κατὰ γῆν προσβάλλοντος καὶ πόντον,
Τινὰς μὲν πρῶτον μηχαναῖς ἀνείλκυσεν ὁλκάδας,
Καὶ πρὸς τὸ Συρακούσιον τεῖχος μετεωρίσας
Αὐτάνδρους πάλιν τῷ βυθῷ κατέπεμπεν ἀθρόας.
Μαρκέλλου δ' ἀποστήσαντος μικρόν τι τὰς ὁλκάδας,
Ὁ γέρων πάλιν ἅπαντας ποιεῖ Συρακουσίους
Μετεωρίζειν δύνασθαι λίθους ἁμαξιαίους,
Καὶ τὸν καθένα πέμποντα βυθίζειν τὰς ὁλκάδας.
Ὡς Μάρκελλος δ' ἀπέστησε βολὴν ἐκείνας τόξου,
Ἑξάγωνόν τι κάτοπτρον ἐτέκτηνεν ὁ γέρων.
Ἀπὸ δὲ διαστήματος συμμέτρου τοῦ κατόπτρου
Μικρὰ τοιαῦτα κάτοπτρα θεὶς τετραπλᾶ γωνίαις
Κινούμενα λεπίσι τε καί τισι γιγγλυμίοις,
Μέσον ἐκεῖνο τέθεικεν ἀκτίνων τῶν ἡλίου,
Μεσημβρινῆς καὶ θερινῆς καὶ χειμεριωτάτης.
Ἀνακλωμένων δὲ λοιπὸν εἰς τοῦτο τῶν ἀκτίνων
Ἔξαψις ἤρθη φοβερὰ πυρώδης ταῖς ὁλκάσι,
Καὶ ταύτας ἀπετέφρωσεν ἐκ μήκους τοξοβόλου.
Οὕτω νικᾷ τὸν Μάρκελλον ταῖς μηχαναῖς ὁ γέρων.

HIST. 35.

107. Erat τρισπάτῳ.

108. ἑπταπεντεμυριομέδιμνον ed. B. In cd. A. ἑπτα syllabis πεν τε superscriptum a prima manu manus secundâ delevit, iterumque posuit in margine, ut in edit. Basil.

122. λεπίδες, laminae, Plättchen, Bänder. Vid. Schneider ad Eclog. phys. p. 260.

Ἔλεγε δὲ καὶ δωριστί, φωνῇ Συρακουσίᾳ·
Πᾶ βῶ, καὶ χαριστίωνι τὰν γᾶν κινήσω πᾶσαν;
Οὗτος, κατὰ Διόδωρον, τῆς Συρακούσης ταύτης
Προδότου πρὸς τὸν Μάρκελλον ἀθρόως γενομένης,
Εἴτε, κατὰ τὸν Δίωνα, Ῥωμαίοις πορθηθείσης,
Ἀρτέμιδι τῶν πολιτῶν τότε παννυχιζόντων,
Τοιουτοτρόπως τέθνηκεν ὑπό τινος Ῥωμαίου.
Ἦν κεκυφώς, διάγραμμα μηχανικόν τι γράφων,
Τὶς δὲ Ῥωμαῖος ἐπιστὰς εἷλκεν αἰχμαλωτίζων.
Ὁ δὲ τοῦ διαγράμματος ὅλος ὑπάρχων τότε,
Τίς ὁ καθέλκων οὐκ εἰδώς, ἔλεγε πρὸς ἐκεῖνον·
Ἀπόστηθι, ὦ ἄνθρωπε, τοῦ διαγράμματός μου.
Ὡς δ' εἷλκε τοῦτον συστραφεὶς καὶ γνοὺς Ῥωμαῖον εἶναι,
Ἐβόα, τὶ μηχάνημα τὶς τῶν ἐμῶν μοι δότω.
Ὁ δὲ Ῥωμαῖος πτοηθεὶς εὐθὺς ἐκεῖνον κτείνει,
Ἄνδρα σαθρὸν καὶ γέροντα, δαιμόνιον τοῖς ἔργοις.
Ἐθρήνησε δὲ Μάρκελλος τοῦτο μαθὼν εὐθέως,
Λαμπρῶς τε τοῦτον ἔκρυψεν ἐν τάφοις τοῖς πατρῴοις
Σὺν τοῖς ἀρίστοις πολιτῶν καὶ τοῖς Ῥωμαίοις πᾶσι·
Τὸν δὲ φονέα τοῦ ἀνδρὸς οἶμαι πελέκει κτείνει.
Ὁ Δίων καὶ Διόδωρος γράφει τὴν ἱστορίαν,
Καὶ σὺν αὐτοῖς δὲ μέμνηνται πολλοὶ τοῦ Ἀρχιμήδους·
Ἀνθέμιος μὲν πρώτιστον, ὁ παραδοξογράφος,
Ἥρων καὶ Φίλων, Πάππος τε καὶ πᾶς μηχανογράφος,
Ἐξ ὧνπερ ἀνεγνώκειμεν κατοπτρικὰς ἐξάψεις

---

129. *Συρακουσίῳ* uterque codex. Possit intelligi *βασιλεῖ* monente Hoegero. Cf. Plutarch. Marcell. c. 14.

131. Iam nec Diodori narratio nec Dionis exstat.

145. Cic. Verr. IV, 58. Plut. Marcell. c. 19. — *μὲν* cd. B. pro *δέ*.

151. *Anthemii* fragmentum *περὶ παραδόξων μηχανημάτων* repetiit Schneider in Ecl. phys. pag. 402. sqq. De *Herone* cf. Schweighaeuseri praefat. ad Polyb. Tom. I. p. XIII. et locum ex Herone in eadem Polybii edit. Tom. III. p. 14. sq.

152. *πᾶς* pro *παῖς*, quod est in edit. Basil., aperte cd. B. ut corrigit Tzetzae locum Lambecius in Comment. de bibl. caesarea libr. VII. p. 192.

Καὶ πᾶσαν ἄλλην μάθησιν τῶν μηχανικωτάτων,
Βαρυολκόν, πνευματικήν, τὰς ὑδροσκοπιάς τε,
Κἀκ τούτου δὲ τοῦ γέροντος τῶν βίβλων Ἀρχιμήδους.

ΠΕΡΙ ΗΡΑΚΛΕΟΥΣ. λϛʹ.

Ὁ παῖς Ἀλκμήνης Ἡρακλῆς, ὁ Ἀμφιτρυωνίδης,
Λόγῳ μὲν Ἀμφιτρύωνος υἱὸς ἦν κεκλημένος,
Τῇ δ' ἀληθείᾳ τοῦ Διός, ἄνακτος, ἀστρολόγου.
Τὸ δ' ὅπως πάντας βασιλεῖς Δίας ἐκάλουν, εἶπον.
Οὗτος ὁ Ζεὺς μιγνύμενος καὶ γυναιξὶ τυχούσαις,
Ἅσπερ καλοῦσι καὶ θνητάς, ἐπαιδοποίει ταύταις.
Ὅτι θνητὰς ἐκάλουν δὲ γυναῖκας τὰς τυχούσας,
Τὰς βασιλίδας δὲ θεάς, καὶ Πτολεμαῖος γράφει
Ἐν τετραβίβλῳ τῇ αὐτοῦ γράφων ὡς πρὸς τὸν Σύρον.
„Ὅσοι δὲ τὴν γενέθλιον ἔχουσιν Ἀφροδίτην,
„Μοίραις τοιαῖςδε μίγνυνται θεαῖς καὶ ὑπερόχοις.
Οὕτως ὁ μάγος βασιλεὺς ἐκεῖνος ἀστρολόγος
Ἐκ διαφόρων γυναικῶν ἔσχεν ἀπείρους παῖδας.
Πρὸς τόκου δ' οὔσης ὑπ' αὐτοῦ τότε καὶ τῆς Ἀλκμήνης,
Μελλούσης τίκτειν δὲ υἱὸν τὸν Ἡρακλῆ τῷ τότε,
Οὔσης ἐγκύου τότε δὲ Διῒ καὶ τῆς Ἀρχίππης
Πλὴν ἀτελὲς ἑπτάμηνον τέκνον τὸν Εὐρυσθέα,
Ὁ Ζεὺς ἐκεῖνος βασιλεύς, ὁ μέγας ἀστρολόγος,
Τότε καὶ μόνον ἔψευστο. ἰδὼν γὰρ τοὺς ἀστέρας
Καλῶς κειμένους ἅπαντας, καὶ τόποις βασιλείοις,
Καὶ τὴν Ἀλκμήνην ἔγκυον εἰδὼς ἐννεαμήνως,

---

155. *βαρυολκὸν* cd. A. recte pro *βαρυουλκόν*.
160. Vid. Antehom. 102. et Schol. ad Lycophr. 87.

HIST. 36.

170. Videtur hic posuisse Tzetzes adiectivum ab eo ipso fictum, ideoque scribendum *προστόκου* a *προστόκος*.
172. Nomini *Διῒ* est *τούτῳ* superscriptum in cd. A.
173. In cd. A. videtur primo genitivus positus fuisse. Ceterum adiectivum *ἔγκυος* h. l. eodem modo construitur cum accusativo, quo in scholiis ad Lycophr. 401. p. 581. Müll. 1232. p. 973. ibique Müller. Conf. etiam usum verbi *ἐγκυμονεῖν* IV, 870.
175. *μόνος* cd. B.

Ἔλεγε δὲ καὶ δωριστί, φωνῇ … τοῦ βρέφους ὄντα,
Πᾶ βῶ, καὶ χαριστίωνι τὰν … δὲ καὶ τὸ βρέφος,
Οὗτος, κατὰ Διόδωρον, τί … λὲς τεχθείη,
Προδότου πρὸς τὸν Μάρκ … ους τοὺς γενεθλίους,
Εἴτε, κατὰ τὸν Δίωνα, … ιο (φησὶ) προλέγω,
Ἀρτέμιδι τῶν πολιτῶν τ … νητῆς ἐκ γυναικός μοι,
Τοιουτοτρόπως τέθνηκε … λει λαβεῖν τὰ σκῆπτρα,
Ἣν κεκυφώς, διάγραμμ … καὶ ταῖς θνηταῖς τεχθέντων.
Τίς δὲ Ῥωμαῖος ἐπιστ … νομίζων γεννηθῆναι.
Ὁ δὲ τοῦ διαγράμματ … τούτου δὲ τικτομένου,
Τίς ὁ καθέλκων οὐκ … τῆς μήτρας τὸν ἀέρα,
Ἀπόστηθι, ὦ ἄνθρ … ν ἔφασκε γενεθλίοις,
Ὡς δ' εἷλκε τοῦτον … δὲ σὺν τούτῳ τικτομένου,
Ἐβόα, τί μηχάνη … μετά τινας ἡμέρας
Ὁ δὲ Ῥωμαῖος π … ἡ δὲ Ἀρχίππη τότε
Ἄνδρα σαθρὸν … ν ἀστράσι βασιλείοις
Ἐθρήνησε δὲ … καὶ λοιπὸν ἦρχε τοῦ Ἡρακλέους.
Λαμπρῶς τε … όρησα μαθηματικωτέρως·
Σὺν τοῖς ἀρ … ῥήτορας ἠθικωτέρως λέξω.
Τὸν δὲ φον … βασιλεὺς ἄπαις ἐκ τῆς νομίμης,
Ὁ Δίων καὶ … παλλακὰς Ἀλκμήνην καὶ Ἀρχίππην,
Καὶ σὺν αἰ … μηνον, τὴν δὲ μηνὸς ἑβδόμου,
Ἀνθέμιος … ἔρωτι πολλῷ τῷ τῆς Ἀλκμήνης,
Ἥρων καὶ … ς μέλλουσαν γεννῆσαι τὴν Ἀλκμήνην,
Ἐξ ὧνπε … δ' ἀνέλπιστον ὑπάρχουσαν Ἀρχίππην,
… ς ἔγραψεν ἐνόρκως, ἀνωνύμως·
… γυναικὸς σήμερον παῖς τεχθῇ μοι,
… τὸ βασίλειον ἐχέτω καὶ τὰ κράτη.
… ἔφην πρότερον, τῶν τοκετῶν συμβάντων,
… σκῆπτρον Εὐρυσθεὺς ὑπερδραμὼν τοὺς μῆνας,
… δουλείας καρτερὰς εἷλκε τὸν Ἡρακλέα,
… ἄρχων τοῦ ἀνδρὸς ὄντος πανσθενεστάτου,

---

129. Στρο… dex. Po… monente … Marcell. …

131. I… nec Di…

145. Marc… pro …

15… περι… θνηταῖς cd. B.

ς φησιν Ἡρόδωρος συγγράφων
ν πηχῶν μῆκος καὶ ποδιαῖον.
ς τοῦ ἀνδρὸς οἶμαι βοῶσι πάντες.
ς γὰρ τινὰ μεῖραξ ὑπάρχων ἔτι,
ι πατρὶ στέλλεται βουκολίοις.
ωκαίδεκα νέμων ἐν Κιθαιρῶνι,
ρέα λέοντα κτείνας φορεῖ τὸ δέρμα.
θῆρας λέοντας ἐν Θήβαις καὶ Νεμέᾳ
ς τοιούτοις οὐδαμῶς δέχομαι τόποις εἶναι,
ἡ που παρριστρήσαντες ἐκ τινων ἄλλων τόπων
τέρας προσεῤῥύησαν οἷαπέρ φασι τοῖς τόποις·
ιείναντα δὲ τὸν λέοντα Θέστιος γνοὺς ξενίζει.
Ἐκ Μεγαμήδης ἔχων δὲ κορῶν πεντηκοντάδα,
Μεθύσκων συνεκοίταζε τούτῳ τὰς κόρας πάσας
Μέχρι πεντήκοντα νυκτῶν, μίαν νυκτὶ ἑκάστῃ,
Ὅπως συλλάβοιεν αὐτῷ, τέκοιεν δὲ καὶ τέκνα.
Ταῦτα δὲ δράσας Ἡρακλῆς κτείνει καὶ τὸν Ἐργῖνον
Θήβαις ἐπιστρατεύσαντα· δασμολογεῖ Μινύας,
Ἀνθ' ὧν παρὰ τοῦ Κρέοντος ἔσχηκε τὴν Μεγάραν.
Μανεὶς καὶ φλέξας δὲ πυρὶ τοὺς ἐκ Μεγάρας παῖδας,
Χρησμοῖς Μυκήνην εἰσελθὼν τὴν Εὐρυσθέως πόλιν
Λατρεύει χρόνοις δώδεκα τοὺς ἄθλους διανύων.

---

210. De Herodoro vid. Mülleri Indicem Scriptorum in Tzetzae scholiis Lycophr. T. III. p. 143. In cd. B. est ἡρόδοτος.

213. Vid. Apollod. Bibl. II, 4, 9. Diod. Sic. III, 66. sq. quem locum repetiit Siebelis in Hellenicis p. 30.

214. ἐν ἀμφιτρύωνος πατρὸς cd. A. a prima manu, et edit. Basil. ἐν ἀμφιτρύωνος πατρὶ cd. B., at ἐν ἀμφιτρύωνι πατρὶ cd. A. in marg., quod recepi, *per patrem*. Noli ἐν coniungere cum βουκολίοις. Chil. II. v. 500. ἐν σιαγόνι ὄνου. III, 753. ἐν τῷ κέντρῳ.

216. δέρας cd. B. pro δέρμα.

217. Vid. Herodot. VII, 125. sq. ibique Wesseling.

221. Θέστιος pro Θέσπιος, quod habet cd. A. a prima manu, est in marg. eiusdem codicis. Recte. Vid. Heyn. not. crit. ad Apollod. p. 226.

229. Apollod. II, 4, 11.

Πρῶτα Νεμέας λέοντα τοξεύσας χερσὶν ἄγχει,
Οὗπερ τὸ δέρας Εὐρυσθεῖ παρὰ Μυκήνην ἄγει.
Ὃς πτοηθεὶς τὴν δύναμιν τὴν ἄμαχον ἐκείνου
Ἀπείπατο τὴν εἴσοδον τούτῳ τὴν πρὸς τὴν πόλιν·
Πρὸ τῶν πυλῶν δ' ἐκέλευε πάντας δεικνύειν ἄθλους.
Λέρνης ἐννεακέφαλον ὕδραν δευτέρως κτείνει,
Ὁμοψυχοῦντας ἀδελφοὺς ἐννέα στρατηλάτας,
Οἷς καὶ Καρκίνος στρατηγὸς ἦν συμμαχῶν καὶ φίλος.
Τούτους ἀνεῖλεν Ἡρακλῆς σὺν πόνῳ τε καὶ βίᾳ.
Ἑνὸς ἀναιρουμένου γὰρ ἐκ τοῦ στρατοῦ τοῦ τούτων,
Ἕτεροι δύο προὔκυπτον ἐκ τῶν ὀχυρωμάτων.
Διόπερ δυσχερέστατα καὶ μόλις εἷλε τούτους,
Ἐκ μέρους ἄλλου φλέγοντος τὴν πόλιν Ἰολάου·
Ὅθεν τὸν ἆθλον Εὐρυσθεὺς τοῦτον οὐ προσεδέχθη.
Ἔστι καὶ ἀληθέστερος ὕδρα παλαιοτάτη,
Πρὸ γενεῶν ὑπάρχουσα ἑπτὰ τοῦ Ἡρακλέος,
Ἡ πεντηκοντακέφαλος, ἡ κάτοικος τῆς Λέρνης,
Ἧς κοπτομένης κεφαλῆς ἀνθεωρῶντο δύο·
Ἣν μὴ παρὼν ἀνῄρηκεν ὁ Ἡρακλῆς καὶ τότε.
Αὕτη δ' ἐστὶν αἱ κεφαλαὶ τῶν παίδων τῶν Αἰγύπτου,
Ἃς εἰς τὸ ὕδωρ ἔρριψαν τῆς Λέρνης Δαναΐδες,
Ἐπ' ἄλλῃ ἄλλη φέρουσαι τὴν κεφαλὴν ἑτέρου,
Ταῖς συμβουλαῖς ταῖς τοῦ πατρὸς τούτους ἀνῃρηκυῖαι.
Ὕστερον τοῦ Λυγκέως δὲ περισωθέντος μόνου
Καὶ δίκην συγκροτήσαντος, δικαίῳ λόγῳ πᾶσαι,
Ὃν Ἡρακλέα τέ φημι καὶ κλέος γῆς τυγχάνειν,
Τὴν πρέπουσαν εἰλήφεισαν ἐκείναις τιμωρίαν.
Καὶ πεντηκοντακέφαλος ὕδρα τις ἡ κακία,

---

232. *χερσὶν ἄγχει* cd. A. in marg. et cd. B. in contextu, idque recepi pro *χερσὶ πνίγει*, lectione cd. A.

244. De Iolao Herculi auxilium ferente vid. Platon. Phaedon. c. 38.

246. *ἔστι* pro *ἔτι* adscivi e cd. B. An *ἀληθεστέρως?*

254. *ταῖς* ante *τοῦ* adieci.

259. pro *ἡ κακία* cd. B. praebet *ἡρακλία*.

Πολλὰς πολλάκις ἀφορμὰς ἐγείρουσα τῶν δόλων,
Ἣν Ἡρακλῆς ὁ λογισμὸς σὺν Ἰολάῳ κτείνει
Δικαίῳ τῷ εὐφραίνοντι λαοὺς τοὺς εὖ φρονοῦντας.
Ἀλλ' αὗται μὲν ἀσύμφοροι πρὸς Ἡρακλῆν αἱ δύο,
Ἡ δὲ προτέρα προσφυὴς πρὸς τὸν Ἀλκμήνης γόνον.
Ἔλαφον τὴν χρυσόκερων τρίτον ποσὶ κατέσχεν,
Ἣν ἱερὰν Ἀρτέμιδος ἀφῆκε Ταϋγέτη
Χρυσῷ καὶ ἐπιγράμματι κοσμήσασα κεραίας.
Πρὸς δὲ τὸν Ἐρυμάνθιον εἶτα βαδίζει κάπρον.
Πάρεργον δράσας ἔκτεινε σύμπαντας τοὺς Κενταύρους.
Ὁ Φόλος γὰρ ὁ Κένταυρος τὸν Ἡρακλῆ ξενίζει,
Ἀνοίξας πίθον τὸν κοινὸν τοῦ οἴνου τῶν Κενταύρων.
Οἳ δ' ἐπελθόντες χαλεπῶς ἐπέκειντο τῷ Φόλῳ,
Ὅθεν αὐτοὺς ὁ Ἡρακλῆς ἀπέκτεινε τοξεύων.
Τὰ τῶν Κενταύρων δ' ὅτε χρή, λεπτῶς ἀλληγορήσω.
Τὸν κάπρον τὸν Φωκίδα δὲ λυμαίνοντα παντοίως
Ὡς πρὸς χιόνα περισσὴν διώξας ἐκ τῆς λόχμης,
Βρόχοις δεσμήσας, ἤγαγε ζῶντα πρὸς τὴν Μυκήνην.
Πέμπτον τὴν κόπρον ἐκφορεῖ βοῶν τῶν τρισχιλίων
Τοῦ τῶν Ἠλείων ἄνακτος Αὐγείου Φορβαντίδου,
Ἢ Ποσειδῶνος τοῦ υἱοῦ, Ἡλίου καθ' ἑτέρους.
Ὑποσχεθεὶς δεκάτην δὲ τούτων λαβεῖν τῶν ζώων,
Τὸν Ἀλφειὸν τὸν ποταμὸν τρέψας πρὸς τὰς ἐπαύλεις
Τὴν κόπρον ἐξεκάθηρεν ἐν χρόνῳ βραχυτάτῳ.
Αὐγείου μὴ διδόντος δὲ τούτῳ τὰς ὑποσχέσεις,
Φυλεὺς τολμήσας ἀντειπεῖν, ὡς ἀδικεῖς, ὦ πάτερ,
Δουλίχιον κατῴκησεν ὀστρακισθεὶς Αὐγείᾳ·
Ὁ δ' Ἡρακλῆς ἀπατηθεὶς ἐπόρθησεν τὴν Ἦλιν.
Ἀλλ' ὕστερον, οὐ χρόνοις δὲ τοῖς τότε παραυτίκα,

263. Hae duae non conveniunt Herculi.

266. Erat Ταϋγέτη, vitiose. Conf. Schol. ad Pindar. Olymp. III, 53. Heyn.

275. τὸν Φωκ. pro τὴν e cd. B.

279. Vid. Schol. ad Lycophr. v. 41. ibique Mülleri notas.

286. Verbo ὀστρακισθεὶς in cd. A. superscriptum ἐξορισθείς.

Οὐδὲ τὴν κόπρου κάθαρσιν ὁ Εὐρυσθεὺς ἐδέχθη,
Ἐπὶ δεκάτῃ καὶ μισθῷ λέγων αὐτὴν γενέσθαι.
Ἕκτον κροτάλῳ τε χαλκῷ καὶ τόξοις ὄρνις κτείνει
Τὰς τοξευούσας τοῖς πτεροῖς ἐν Στυμφαλίδι λίμνῃ.
Ἕβδομον ταῦρον Κρητικὸν νικήσας ἄγει ζῶντα,
Ἢ τὸν διαπορθμεύσαντα πρὸς Κρήτην τὴν Εὐρώπην,
Εἴτε τὸν ὃν ἐξήνεγκεν ὁ Ποσειδῶν θαλάσσης,
Ἀγριωθέντα περισσῶς καὶ βλάπτοντα τὴν Κρήτην,
Τὸν ὅνπερ ταῦρον Εὐρυσθεὺς ἀπόλυτον ἀφῆκεν,
Ὃς Μαραθῶνα διελθὼν τοῖς Ἀττικοῖς ἦν βλάβη.
Τοὺς ἀνδροφόνους ὄγδοον ἵππους τοῦ Διομήδους
Υἱοῦ Κυρήνης, Ἄρεος, Βιστόνων βασιλέως,
Ἤγαγε παρὰ θάλασσαν. σὺν ὅπλοις δὲ δραμόντας
Τοὺς Διομήδους ἅπαντας ἀπέκτεινε, καὶ τοῦτον.
Ἄβδηρον τὸν Ἠρίνου δὲ τὸν Ἡρακλέος φίλον
Οἱ ἵπποι διεσπάραξαν, ὀδοῦσι βεβρωκότες,
Ἐκ Λοκρικῆς Ὀποῦντος μὲν φύλακα τούτων ὄντα·
Ἐφ᾽ ᾧ πόλιν τὴν Ἄβδηραν ὁ Ἡρακλῆς ἐδράσας
Πρὸς Εὐρυσθέα τὸ λοιπὸν ἐκόμισε τοὺς ἵππους·
Ὀλύμπῳ δὲ νεμόμενοι θηρσὶ βορὰν παρέσχον.
Ἔνατον πρὸς ζωστῆρά τε τρέχει τῆς Ἱππολύτης,
Τῆς Εὐρυσθέως θυγατρὸς Ἀδμήτης θελησάσης,
Μιᾷ νηῒ περαιωθεὶς ὡς πρὸς τὰς Ἀμαζόνας,
Κἂν τῷ παράπλῳ σύμπασαν πορθήσας Βεβρυκίαν
Τῷ Δηϊπύλου τῷ Μυσῷ Λύκῳ δωρεῖται ταύτην,
Ἄμυκον καὶ Μυγδόνα δὲ τοὺς ἀδελφοὺς ἡττήσας.
Ἡράκλειαν ὁ Λύκος δὲ τούτων καλεῖ τὴν πόλιν
Τιμῶν τὸν χαρισάμενον τὴν χώραν Ἡρακλέα.
Ὁ δ᾽ Ἡρακλῆς ὡς πρὸς αὐτὴν πλεύσας τὴν Θεμίσκυραν,

---

296. Cd. B. in textu habet χαλεπῶς, quod in cd. A. adverbio περισσῶς est superscriptum.

299. τοὺς pro τὰς cd. B.

303. Abderus fuit filius Mercurii. Vid. Heyn. obss. ad Apollod. II, 5, 8. p. 152. In cd. B. est ἠρίου.

313. Lycus fuit filius Dascyli. Vid. Apollod. II, 5, 9. 5.

314. Μυγδόνα δὲ cd. B. recte, pro Μυγδόνα. Conf. etiam Chil. III, 808.

Τὰς Ἀμαζόνας ἡττηκὼς εἵλετο τὸν ζωστῆρα.
Τὴν Ἡσιόνην ῥύεται τοῦ κήτους ἐν παρόδῳ.
Τοὺς ξενοκτόνους τε υἱοὺς ἔπειτα τοῦ Πρωτέως
Τὸν Τμῶλον καὶ Τηλέγονον κτείνει καταπαλαίσας.
Δέκατον βοῦς τὰς φοινικὰς τρισώμου Γηρυόνος,
Τριῶν νήσων δεσπόζοντος ἢ τριαδέλφου πόθου —
Οὐ γὰρ νῦν φυσικώτερον τὸ τρίμερες τοῦ χρόνου
Τὸν Γηρυόνη φαίην ἄν, ἥλιον Ἡρακλέα,
Καὶ τὰ λοιπὰ συντείνοντα λόγοις τοῖς πρὸς τὸν χρόνον.
Ἀλλὰ ῥητορικώτερον οὕτως, ὡς ἔφην, λέγω·
Βοῦς φοινικὰς ὁ Ἡρακλῆς τοῦ τριννησάρχου τούτου,
Ἢ τοῦ σὺν ἄλλοις ἀδελφοῖς δυσὶν ὁμοψυχοῦντος,
Ἐξ Ἐρυθείας ἤγαγεν Ὠκεανίδος νήσου,
Ἣ νῦν καλεῖται Γάδειρα, Κοτίνουσα δὲ πρώην,
Ἧι Κοτινούσῃ ποταμὸς ὁ Βαῖτις παραῤῥέει.
Ἦγε τὰς βοῦς ἐκείνας δὲ τὸν Ὄρθρον κτείνας κύνα,
Καί γε τὸν Εὐρυτίωνα βουκόλον Γηρυόνου,
Καὶ Γηρυόνη σὺν αὐτοῖς διώξαντα τοξεύσας.
Σὺν δὲ βουσὶ περαιωθεὶς Ὠκεανοῦ τὸ ῥεῖθρον,
Ἐξ Ἐρυθείας τε δραμὼν πάλιν πρὸς τὴν Εὐρώπην,
Εἰς Ταρτησσὸν περιφανῆ πόλιν τῆς Ἰβηρίας,
Ἀλύβην καὶ τὴν Ἄβινναν στήλας ἱστᾷ τὰς δύο.
Δι' Ἰβηρίας δὲ τὰς βοῦς ἐλαύνων πρὸς Λιβύην
Δέρκυνον, Ἀλεβίωνα, τοὺς Ποσειδῶνος, κτείνει
Ἀφαιρουμένους τῶν βοῶν. χωρεῖ δ' εἰς Τυῤῥηνίαν·
Ἀπὸ Ῥηγίου ταῦρος δὲ πλεύσας εἰς Σικελίαν

---

321. Alter filius etiam in scholiis Lycophr. 124. appellatur Tmolus, contra ab Apollodoro II, 5, 9. Polygonus.

322. Pro *φονικὰς* scripsi *φοινικάς*. Vers. 328. in cd. A. est *οι φονικας*.

327. Pro *λέγων* reliquae orationi magis convenit *λέγω*, quod dedi.

338. *Ταρτησὸν* cd. B.

339. *ἄβυναν ... ἱστᾷ τὰς* cd. B. Nomina columnarum sunt *Κάλπη* et *Ἀβύλη* seu *Ἄβιννα*. Hoc latet in corrupto *ἄβυναν*, quamobrem pro *ἄβιναν* pariter atque *ἱστᾷ τὰς* pro *ἵσταται* reposui.

340. Conf. Heyn. obss. crit. ad Apollod. p. 188.

Κλῆσιν τῇ χώρᾳ λέλοιπε καλεῖσθαι Ἰταλίαν.
Οἱ Τυῤῥηνοὶ γὰρ ἰταλὸν καλοῦσί πως τὸν ταῦρον.
Τοῦτον τὸν ταῦρον κατασχὼν Ἔρυξ ὁ Ποσειδῶνος
Ἰδίαις παρενέμιξεν ἀγέλαις βοοτρόφοις.
Ὁ δ' Ἡρακλῆς περαιωθεὶς καὶ τρὶς καταπαλαίσας,
Τὸν Ἔρυκα μὲν ἔκτεινε, τὰς βοῦς δὲ συνελάσας,
Περαιωθεὶς Ἰόνιον τὸν Δυῤῥαχίου κόλπον,
Διὰ τῆς Θρᾴκης δυσχερῶς ἄγει πρὸς Εὐρυσθέα·
Ὃς Εὐρυσθεὺς κατέθυσε πάσας αὐτὰς τῇ Ἥρᾳ,
Τούτων τῶν ἄθλων Ἡρακλεῖ πάντων συντελεσθέντων
Μηνὶ καὶ ἔτεσιν ὀκτώ, μὴ περαιτέρω τούτων.
Ὁ Εὐρυσθεὺς τῆς ὕδρας δὲ τὸν ἆθλον καὶ τῆς κόπρου
Μὴ κατατάξας τοῖς λοιποῖς ἑνδέκατον κελεύει,
Ἐξ Ἑσπερίδων ἀγαγεῖν, ἐκ τῶν Ὑπερβορέων,
Ἥρας τὰ μῆλα τὰ χρυσᾶ, Ζεὺς ἅπερ γάμοις ἔσχε
Ἐπὶ τῆς Ἥρας γαμικὸν κάλλιστον ἕδνον εἶναι.
Ὧν φύλαξ δράκων ἄγρυπνος, Τυφῶνος παῖς, ὑπῆρχε.
Ὃς Ἡρακλῆς ὁδοιπορῶν διὰ τῆς Ἰλλυρίδος,
Ὄρους τοῦ Πυρηναίου τε, Ἠριδανοῦ τε ῥείθρων,
Ἅπερ τῆς Κελτικῆς εἰσίν, εἰσβάλλει τῇ Λιβύῃ,
Καὶ τὸν ἑξηκοντάπηχυν Ἀνταῖον κτείνει πάλῃ
Πηχῶν τεσσάρων καὶ ποδὸς ἔχων τὴν ἡλικίαν,
Ὁ Ποντικὸς Ἡρόδωρος ὥς πού φησι συγγράφων.
Βαδίζων ὡς πρὸς Αἴγυπτον καὶ Βούσιριν ἀνεῖλε,
Υἱὸν τοῦ Ποσειδῶνός τε καὶ τῆς Λυσιανάσσης·
Τὴν δ' Ἀραβίαν παριὼν τοῦ Τιθωνοῦ τὸν παῖδα
Κτείνει τὸν Ἠμαθίωνα· Καυκάσῳ δὲ τοξεύει
Τὸν ἀετὸν ὅς ἤσθιε τὸ Προμηθέως ἧπαρ·
Βουλαῖς τοῦ Προμηθέως δὲ πρὸς τοὺς Ὑπερβορέους

---

347. *βουοτροφω* cd. B.
358. Eratosth. III. — Vs. 359. *ἐπὶ* suspectum. An *παρά*? Cf. vs. 404.
362. Scripsi *Πυρηναίου* pro *Πυῤῥηναίου*. In cd. B. est *πυῤῥίου μεσου*.
363. Pro *Κελτικῆς* cd. B. *λιβυκῆς*.
366. *ἡρόδοτος* cd. B.
368. Vid. Heyn. ad Apollod. II, 5, 7. p. 195.

Ἐλθὼν παρὰ τοῦ Ἄτλαντος ἔλαβε τρία μῆλα.
Ἄλλοι φασιν, ἐκ τῶν νυμφῶν ἐδέξατο τὰ μῆλα
Κτείνας αὐτὸς τὸν δράκοντα τὸν φύλακα τῶν μήλων·
Ὅστις ὑπῆρχε μὲν ποιμὴν, πρόβατα δὲ τὰ μῆλα
Χρυσόχροα, νεμάμενα τόποις Ὑπερβορέων,
Τουτέστιν ἐν τοῖς ὄρεσι τοῖς τῶν Ὑπερβορέων·
Νῦν γὰρ οὐ φυσικώτερον ἀλληγορεῖν ἁρμόζει
Νύμφας τὰς ὥρας λέγοντα καὶ μῆλα τοὺς ἀστέρας,
Δράκοντα τὸν ὁρίζοντα καὶ φύσιν τῶν ὑδάτων,
Ὅθεν ἀνίσχουσι λαμπρῶς ἀστέρες λελουμένοι,
Ὡς ἡ χρυσῆ τετράνωκεν Ὁμήρου Καλλιόπη,
Ἀλλ' οὕτως, ὥσπερ ἔφημεν, ῥήτορσιν ἁρμοδίως.
Ὑποστραφεὶς Θερμύδρῳ δὲ προσχὼν λιμένι Ῥόδου,
Βοῦν ἐξ ἁμάξης ἐξελὼν ἤσθιεν ἕνα σφάξας·
Ὁ δὲ βουκόλος ἄνωθεν ἐξ ὄρους κατηρᾶτο.

Τὰ μῆλα τοίνυν ἐνεγκὼν παρὰ τὸν Εὐρυσθέα
Ἆθλον τελεῖ δωδέκατον, ἀναγωγὴν Κερβέρου,
Ὃς πεντηκοντακέφαλος Ἅιδου δεινὸς ἦν κύων,
Κυνῶν τρεῖς ἔχων κεφαλάς, δράκοντος τὸ οὐραῖον,
Κατὰ δὲ νώτου κεφαλὰς ἄλλων θηρῶν παντοίων.
Τοῦτον τὸν ἆθλον Ἡρακλῆς μέλλων ἀνύειν τότε,
Εἰς Ἐλευσῖνα προσδραμὼν καὶ μυηθεὶς Εὐμόλπῳ,
Διὰ Ταινάρου καταχθεὶς ὡς πρὸς αὐτὸν τὸν Ἅιδην,
Ἀνέστησε Θησέα μέν, τὸν δὲ βουκόλον Ἅιδου
Μενοίτιον κατέαξεν, υἱὸν τοῦ Κευθωνύμου,
Ἐν πάλῃ τούτου τὰς πλευρὰς συντρίψας, συναράξας.
Εὑρὼν δὲ καὶ τὸν Κέρβερον Ἀχέροντος ἐν πύλαις,
Τῇ λεοντῇ καὶ θώρακι μόνοις ἐσκεπασμένος,
Δίχα τῶν ὅπλων τῶν λοιπῶν, ὥσπερ ὁ Πλούτων ἔφη;

---

382. Iliad. V, 5. 6.
385. Apollod. II, 5, 11. s. 10. ubi Heyn. pag. 196. corruptum ἐποστραφαῖς correxit ὑποστραφείς.
392. Hic versus qui in cd. A. et edit. Basil. sic legitur, *κατὰ δὲ νώτου κεφαλὰς δράκοντος τό,* est restitutus e cd. B. — Apollodor. II, 5. s. 12. *κατὰ δὲ τοῦ νώτου παντοίων εἶχεν ὄφεων κεφαλάς.*

Κλῆσιν τῇ χώρᾳ λέλοιπε κάλε[…] οὐραίῳ,
Οἱ Τυῤῥηνοὶ γὰρ ἰταλὸν καλ[…] ταῖς νωτιαίαις
Τοῦτον τὸν ταῦρον κατασχὼ[…] θέα,
Ἰδίαις παρενέμιξεν ἀγέλαις […] πρὸς Ἅιδην.
Ὁ δ' Ἡρακλῆς περαιωθεὶς […] Ἰολοσσῶν ὑπῆρχεν,
Τὸν Ἔρυκα μὲν ἔκτεινε, […]βερὸν ἐκάλει.
Περαιωθεὶς Ἰόνιον τὸν […]μα καὶ τὸν Θησέα,
Διὰ τῆς Θράκης δυσχ[…]τήρει δὲ Θησέα.
Ὃς Εὐρυσθεὺς κατέθ[…] ἐξέσωσε Θησέα.
Τούτων τῶν ἄθλων […] τί δὲ μακρηγοροῦμεν;
Μηνὶ καὶ ἔτεσιν ὀ[…]μγαροῦν τούτους τοὺς λελεγμένους·
Ὁ Εὐρυσθεὺς […]θεὶς σὺν τοῖς υἱοῖς τοῖς πέντε
Μὴ κατατάξας τ[…] πρὸς γάμον οὐκ ἐδίδου,
Ἐξ Ἑσπερίδων […] τετοκώς, μανεὶς καὶ ταύτην κτείνῃ,
Ἥρας τὰ μῆλ[…] τοὺς υἱοὺς τοὺς ἐξ αὐτοῦ τεχθέντας.
Ἐπὶ τῆς Ἡ[…] ὑποκλαπεὶς ἵππους ἐξ Αὐτολύκου
Ὧν φύλαξ […] τοῦτο τοῦ Ἡρακλέους.
Ὃς Ἡρακλ[…] δ' Ἴφιτος ἐλθὼν πρὸς Ἡρακλέα,
Ὅρους το[…] Ἄλκηστιν ἤδη καὶ πεφθακότα,
Ἅπερ τ[…] Ἡρακλεῖ. ὁ δὲ ξενίζει τοῦτον;
Καὶ τ[…]νίᾳ δὲ πάλιν ὀργαῖς τῆς Ἥρας
Πηγ[…] τῆς Τίρυνθος ῥίψας αὐτὸν ἀνεῖλεν.
Ὁ Ν[…]ηλεὺς ὁ Πύλιος οὐκ ἤθελε καθαίρειν,
Βα[…] καθαρθεὶς, εἶτα δὲ καὶ νοσήσας
Τ[…] Δελφικὸν, ἀπαλλαγὴν τῆς νόσου,
[…] δουλεύσειε τρεῖς ὅλους ἐπὶ χρόνους,

[…] ἐπὶ e cd. B.
[…] cd. B.
[…] quod τε-
[…] apud Apollod.
[…]
[…] in textu habet
[…] margine πεφθω-
[…] voces quid sibi
[…] An, *qui*
[…] *sit?* ut Chil.

III, 137. *cursu assecutus.* Ante oculós autem habuit Tzetzes Apollod. II, 6. s. 2.
421. ἐζήτει cd. B.
422. ὀργῇ cd. B.
423. τοῦ Τιρ. cd. B.
425. δηϊφύλῳ cd. B.
427. Participio πραθεὶς in utroque cod. superscriptum ὑφ' Ἑρμοῦ.

δὲ μισθὸν παράσχῃ τῷ Εὐρύτῳ.
υσεν Ὀμφάλῃ τῇ Λυδίᾳ,
, συζύγῳ δὲ τοῦ Τμώλου.
δεσμεῖ Κέρκωπας Ἐφεσίους,
διον, βιάζοντας τοὺς ξένους
τοὺς αὐτῶν σκάπτειν δουλείας τρόπῳ.
κην τε τὴν τούτου θυγατέρα,
λύμνους ἀνασπᾷ καὶ τούτου τὰς ἀμπέλους.
ορίας ταύτης δὲ μέμνηται καὶ Μουσαῖος
καθ' Ἡρὼ καὶ Λέανδρον οὕτω τὰ ἔπη γράφων·
ὸν δ' ἱκέτην με κόμιζε, καὶ ἢν ἐθέλῃς, παρακοίτην,
„Τόν σοι Ἔρως ἤγρευσεν ἑοῖς βελέεσσι κιχήσας.
„Ὡς θρασὺν Ἡρακλῆα θοὸς χρυσόῤῥαπις Ἑρμῆς
„Θητεύειν ἐκόμιζεν Ἰαρδανίην ποτὶ νύμφην.
„Σοὶ δέ με Κύπρις ἔπεμπε, καὶ οὐ σοφὸς ἤγαγεν Ἑρμῆς.
Τὸν χρόνον ἐκπληρώσας δὲ τοῦτον τὸν τῆς λατρείας
Σὺν ἓξ τριήρεσι πορθεῖ καὶ πόλιν τὴν τῶν Τρώων
Καὶ Κῶν, καὶ τὸν Εὐρύπυλον κτείνει τὸν βασιλέα,
Υἱὸν τοῦ Ποσειδῶνός τε καὶ Ἀστυπαλαιέας.
Εἶτα πρὸς Φλέγραν συνεργεῖ θεοῖς κατὰ Γιγάντων.
Θεοὺς (πολλάκις ἔφημεν) φασὶ τοὺς βασιλέας.
Πορθεῖ τὴν Ἦλιν ἔπειτα καὶ κτείνει τὸν Αὔγειαν,
Καὶ Κτέατον καὶ Εὔρυτον τοὺς Ἄκτορος, ἐν δόλοις.
Καὶ Πύλον δὲ πεπόρθηκε, τιτρώσκει καὶ τὸν Ἅιδην·
Καὶ Τυνδαρέῳ δίδωσι Λακώνων βασιλείαν
Κτείνας τὸν Ἱπποκόωντα Νηλῆϊ συμμαχοῦντα.
Ἐν Καλυδῶνι δ' ἐπελθὼν νικᾷ τὸν Ἀχελῶον,

---

431. Apollod. II, 6, 3. Heyn. obss. p. 181. et Wesseling. ad Diod. IV, 31. p. 276, βιάζοντας pro singulari cd. B.

433. αὐτῶν pro αὐτοῦ cd. B.

436. Hic est verborum ordo in cd. B.; at in cd. A. μέμνηται ταύτης δέ.

437. Musaei carm. v. 148. sqq.

439. πιθήσας cd. B.

441. ἐκομίσσεν cd. B. Ibidem ut in cd. A. Ἰαρδανίῃ ποτε νύμφῃ. Vera lectio in codicis A. margine adiecta.

444. Cf. Homer. Iliad. V, 641. Apollod. II, 6, 4.

447. συνωθεῖ cd. B.

451. Iliad. V, 395. sqq.

Καὶ Δηϊάνειραν γαμεῖ τὴν κόρην τὴν Οἰνέως·
Ἐν δὲ τοῖς γάμοις ἀνελὼν Ἔννομον Ἀρχιτέλους,
Φεύγων ὡς πρὸς τὸν Κήϋκα περὶ τὴν Τραχινίαν,
Περὶ τὸν Εὔηνον αὐτόν, τοξεύει καὶ τὸν Νέσσον
Βιαίως Δηϊάνειραν θέλοντα καταισχῦναι.
Ὃς Νέσσος αἷμα δέδωκεν αὐτοῦ Δηϊανείρῃ,
Τὸν Ἡρακλέους ἐπειπὼν τούτῳ χιτῶνα χρῖσαι,
Ὅτε τινὸς ἐπαίσθοιτο τοῦτον ἐρῶντα κόρης.
Ὅπερ ὑστέρως δράσασα κτείνει τὸν Ἡρακλέα.
Τότε τὴν Δρυοπίαν δὲ ὁ Ἡρακλῆς ὁδεύων
Βοῦν σφάττει Θειοδάμαντος, καὶ τοῦτον κατεσθίει.
Τὴν χώραν τε πεπόρθηκε καὶ Λαογόραν κτείνει.
Καὶ Κύκνον τὸν τοῦ Ἄρεος παῖδα καὶ Πελοπίας
Ἀνεῖλε διερχόμενος τὴν Ἰτωνίαν χώραν.
Τὴν δὲ Τραχῖνα παρελθὼν στρατεύει κατ' Εὐρύτου.
Πορθήσας Οἰχαλίαν δέ, λαβὼν καὶ τὴν Ἰόλην,
Προσορμισθεὶς πρὸς Κήναιον τὸ τῆς Εὐβοίας ἄκρον
Βωμὸν Διὸς ἱδρύσατο. θύειν δ' ἐκεῖσε μέλλων
Τὸν Λίχαν τὸν θεράποντα πέμπει Δηϊανείρῃ,
Τὴν παρουσίαν τὴν αὐτοῦ καὶ νίκην καταγγεῖλαι.
Ἡ δὲ παρυποπτεύσασα τὸν πόθον τῆς Ἰόλης,
Ὡς ἀληθεῖς νομίσασα τοὺς λόγους τοὺς τοῦ Νέσσου,
Χιτῶνα χρίσασά τινα τῷ αἵματι τῷ τούτου
Μετὰ τοῦ Λίχα πέπομφεν ὡς πρὸς τὸν Ἡρακλέα.
Ὃν Ἡρακλῆς ἐνδεδυκὼς ἀπώλετο παγκάκως.
Τὸ Νέσσου τοῦ Κενταύρου γὰρ αἷμα συμμεμιγμένον
Ἐκ τῶν φαρμάκων τῶν βελῶν τῶν ἐξ ἰοῦ τῆς ὕδρας
Ἦν ἄφυκτον, θανάσιμον, τοῖς τούτῳ χρισαμένοις
Κνησμὸν ἐπάγον ἄμετρον καὶ δῆγμα, καὶ φλυκταίνας.

---

461. Scripsi *τούτῳ* pro *τοῦτο.*
462. *ἐπαίσθοιτο* uterque cod.
469. *εἰς δὲ Τρ.* cd. B.
475. *παρυποπτεύουσα* cd. B.
481. *ἐκ τῶν φαρμάκων* pro *ἐν τῷ φαρμάκῳ* cd. B. Recte dicitur *συμμίγνυσθαι ἐκ τινός.*
482. Cd. A. *τοῦτο* (ω superscr.).
483. *φλέκταινας* cd. B.

Ὅθεν ἀνεῖλε τὸν κλεινὸν ἐκεῖνον Ἡρακλέα
Τὸν γῆν πᾶσαν καὶ θάλατταν καθάραντα κακίας.
Τῆς δ' ἱστορίας ἅπαντες οἱ λόγοις τεθραμμένοι
Σχεδὸν ἀπεμνημόνευσαν τῶν ἔσω καὶ τῶν ἔξω.
Ὁ Κόϊντος δὲ γέγραφεν οἶμαι τοὺς ἄθλους τούτους
Συντετμημένως ἔπεσι, Κόϊντος ὁ Σμυρναῖος.
Οὕτω τὰ ἔπη δ' ἔχουσιν, ἅπερ ἰσχύσω φράσαι.
„Πρῶτα μὲν ἐν Νεμέᾳ βριαρὸν κατέπεφνε λέοντα.
„Δεύτερον δ' ἐν Λέρνῃ πολυαύχενον ἔκτανεν ὕδραν.
„Τὸ τρίτον αὖτ' ἐπὶ τοῖς Ἐρυμάνθιον ἔκτανε κάπρον.
„Ὑψίκερων δ' ἔλαφον μετὰ ταῦτ' ἤγρευσε τέταρτον.
„Πέμπτον δ' ὄρνιθας στυμφαλίδας ἐξεδίωξεν.
„Ἕκτον Ἀμαζονίδος κόμισε ζωστῆρα φαεινόν.
„Ἕβδομον Αὐγείου πολλὴν κόπρον ἐξεκάθηρεν.
„Ὄγδοον ἐκ Κρήτης δὲ πυρίπνοον ἤλασε ταῦρον.
„Εἴνατον ἐκ Θρήκης Διομήδεος ἤγαγεν ἵππους.
„Γηρυόνου δέκατον βόας ἤλασεν ἐξ Ἐρυθείης.
„Ἑνδέκατον κύνα Κέρβερον ἤγαγεν ἐξ Ἀΐδαο.
„Δωδέκατον δ' ἤνεγκεν ἐς Ἑλλάδα χρύσεα μῆλα.
„Θεστίεω θυγατρῶν τρισκαιδέκατος πέλεν ἆθλος.
Οὕτω μὲν γέγραφεν αὐτός, συντάξας ἐν τοῖς ἄθλοις
Τὸν ψευδοτρισκαιδέκατον ἆθλον οὐκ ὄντα τοῦτον.
Τοὺς ἄθλους ἔχεις γὰρ αὐτὸς πάντας ἐγγεγραμμένους
Καὶ τὰ τῶν ἄθλων πάρεργα. καὶ τί μηκύνω λόγους;

ΠΕΡΙ ΣΑΜΨΩΝ. λζ'.

Σαμψὼν υἱὸς ἦν Μανωέ, κριτὴς Ἰσραηλίτης,
Τεχθεὶς ἐν χρόνοις καὶ καιροῖς τοῖς τῆς αἰχμαλωσίας.

---

485. τὴν γῆν ed. B.
488. τούτους ed. B. pro τούτου.
489. De Herculis certaminibus v. Quinti Posthom. VI, 208. sqq. — Hos autem versus, non Quinti, qui extant in Anthologia Tom. III. p. 252. ed. Tauch., repetit Natalis Com. VII. p. 687. Conf. Iacobs. Animadvers. Vol. II. P. III. p. 333.
490. ἅπερ pro ἅνπερ uterque codex.

HIST. 37.

508. Γεδεὼν pro Μανωὲ ed. B. — Vid. Lib. Iudd. XIII, 24.
509. χρόνῳ ed. B.

[illegible] λαβεῖν Ἐνθάμναθα γυναῖκα.
[illegible] ποτε λαλῆσαι περὶ γάμου,
[illegible] ἀπέκτεινε λέοντα συναντήσας.
[illegible] ἐφεύρηκεν ἀπὸ κηρίου μέλι
[illegible] τοῦ λέοντος, ὅνπερ αὐτὸς ἀνεῖλεν.
[illegible] προέτεινεν αἴνιγμα πλέξας γάμοις,
[illegible]ατος ἐσθίοντος (λέγων) ἐξῆλθε βρῶσις.
[illegible] μὴ σθένοντες νοεῖν, ἔμαθον ἐκ τῆς νύμφης,
[illegible] ζημιοῦσι τὸν Σαμψὼν τὸν προβληματοπλόκον
[illegible] ὁμοῦ τριάκοντα, τριάκοντα σινδόνας.
[illegible] δὲ Σαμψὼν χολάναντος τῷ πράγματι μεγάλως,
[illegible] νύμφην ταύτης ὁ πατὴρ πρὸς γάμον οὐκ ἐδίδου.
Τριακοσίας δὲ λαβὼν ἀλώπεκας ἐκείνος
Καὶ τοῖς οὐραίοις ὄπισθε λαμπάδας ὑπανάψας,
Ἀφεὶς στάχυν ἐνέπρησε πάντα τῶν ἀλλοφύλων.
Οἱ δὲ τὸν οἶκον καίουσι τῆς νύμφης καὶ τοὺς ἔνδον.
Ὡς δὲ καὶ τούτοις ὁ Σαμψὼν πόλεμον συνεκρότει,
Πάντες παραταξάμενοι κατὰ τῶν Ἰουδαίων
Σαμψὼν ἐζήτουν. δήσαντες δὲ τοῦτον Ἰουδαῖοι
Τοῖς ἀλλοφύλοις ἔδωκαν. δεσμὰ δὲ διαῤῥήξας
Ἐν σιαγόνι ἔκτεινεν ὄνου χιλίους τούτων.
Ἐκεῖθεν πρὸς τὴν Γάζαν δὲ πόλιν πρὸς πόρνην ἦλθεν.
Ὡς δὲ περιεκύκλωσαν οἱ βάρβαροι τὸν ἄνδρα,
Μεσῇ νυκτὶ τῆς πόλεως ἄρας τὰς πύλας ὤμοις
Ἐξέδραμεν. ἠράσθη δὲ Δαμαλιλῆς ὑστέρως,
Καὶ ταύτην ἔσχε σύνευνον. βαρβάρων δ' οἱ σατράπαι
Χρυσοὺς χιλίους ἑκατὸν τῇ γυναικὶ δωροῦνται
Δρασάσῃ ξύρισμα Σαμψὼν βοστρύχων κοιμωμένου.

---

510. ἐνβαμανθὰ cd. B.
513. Cf. Aelian. V. H. XII, 45. 46. Herodot. VI, 114. ibique Wess.
514. ὅστις αὐτόν cd. B.
517. νοεῖν pro μαθεῖν cd. B.
528. Hoeger censet legendum esse ἐζήτουν. Horum verborum frequens est confusio. Ita etiam v. 421. in cd. B. ἐζήτει.
534. Δαμαλικῆς cd. B.
537. δρασούσῃ cd. B. Δρασάσῃ est in marg. cd. A. a recentiore manu, eademque videtur fuisse scriptura cd. A. antequam manus librarii corrigeret.

Ὁ γὰρ Σαμψὼν ὁ νῦν ῥηθεὶς, Πτερέλαος καὶ Νῖσος,
Κόμας χρυσᾶς ἐν κεφαλαῖς πρὸς μίαν κεκτημένοι,
Ἐν ταύταις εἶχον τὴν ἀλκήν. ταύτας δ' ἀποξυρέντες
Ἐκεῖνοι μὲν ἐκ θυγατρῶν, ὁ Νῖσος ἐκ τῆς Σκύλλας,
Ἐκ Κομαιθοῦς Πτερέλαος, οὗτος δ' ἐκ τῆς Μαινάδος,
Ἠσθενηκότες, παρ' ἐχθρῶν εὕραντο τιμωρίαν.
Ἀλλὰ τὰ Πτερελάου μὲν καὶ Νίσου παρατρέχω.
Τὸν δὲ Σαμψὼν τυφλώσαντες οὕτως ἠσθενηκότα
Κλείουσιν οἱ ἀλλόφυλοι δεινῷ δεσμωτηρίῳ.
Οἱ δ' εὐφροσύνας καὶ χοροὺς εἶχον τῷ πάθει τούτου.
Τέλος αὐτὸν ἐξάγουσιν ἐκ τοῦ δεσμωτηρίου,
Ἐμπαροινῆσαι χρήζοντες καὶ παρεμπαῖξαι τοῦτον.
Ὁ δὲ στενάξας βρύχιον ἐξ ἐμπαθοῦς καρδίας
Τοὺς κίονας κατέσεισε καὶ πᾶσαν τὴν οἰκίαν,
Καὶ σὺν αὐτῷ καὶ σύμπαντας ἀνεῖλε τοὺς βαρβάρους,
Πολλῷ πλείους τυγχάνοντας τῶν πρὶν ἀνῃρημένων,
Οὓς ζῶν αὐτὸς ἀνῄρηκε κράτους ἀκμάζων ῥώμῃ.

ΠΕΡΙ ΠΟΛΥΔΑΜΑΝΤΟΣ ΤΟΥ ΣΚΟΤΟΥΣΑΙΟΥ. λη'.

Ὁ Πολυδάμας οὗτος ἦν ἐκ πόλεως Σκοτούσης.
Γυμναῖς χερσὶ μὲν λέοντας ὡς ἄρνας διαφθείρων,
Πτεροῖς ποσὶ δ' ὑπερνικῶν ἅρματα ταχυδρόμα,
Τῇ δὲ χειρί τι σπήλαιον ἀντήρεισε συμπίπτον.
Ὁ Σίκελος Διόδωρος γράφει τὴν ἱστορίαν.

---

538. καὶ κέφαλος καὶ νῖσος, cd. B. idemque vs. 542. ὁ κέφαλος, οὗτος sine δέ, et vs. 543. ἀλλὰ τὰ τοῦ κεφάλου μὲν —.

547. In cd. B. videtur esse χαρὰς pro χορούς.

550. Videtur βρυχηδὸν legendum, nisi βρύχιον confudit cum βρυχηδόν Tzetzes ipse.

HIST. 38.

557. πεζοῖς pro πτεροῖς cd. B.

559. Diodori fragm. p. 640. Wessel. Paus. VI, 5.

ΠΕΡΙ ΜΙΛΩΝΟΣ ΤΟΥ ΠΑΛΑΙΣΤΟΥ. λθ'.

Ὁ Μίλων οὗτος ἀθλητὴς ἐκ Κρότωνος ὑπῆρχε,
Τῷ φιλοσόφῳ σύγχρονος ἐκείνῳ Πυθαγόρᾳ.
Ἑξάκις δὲ νενίκηκεν Ὀλύμπια παλαίων.
Κροτωνιάταις δέ ποτε πολέμου προεξάρχων
Καὶ προπηδῶν ὡς Ἡρακλῆς ἔμπροσθεν ἐστεμμένος,
Δέκα Κροτωνιάτιδας ἔχων μυριοστύας,
Συβαριτῶν ἀπέκτεινε μυρίας τριακάδας.
Διόδωρος καὶ ταύτην δὲ γράφει τὴν ἱστορίαν,
Ἡρόδοτος, καὶ ἕτεροι πολλοὶ τῶν συγγραφέων.

ΠΕΡΙ ΑΙΓΩΝΣ, ΙΔΟΥ, ΛΥΓΚΕΩΣ, ΗΡΑΚΛΕΟΣ ΚΑΙ ΛΥΤΙΕΡΤΟΥ. μ'.

Αἴγων Κροτωνιάτης ἦν, πανευσθενὴς πυγμάχος,
Τοῦ Ἴδου καὶ Λυγκέως μὲν οὐκ ἔλαττον ἐσθίων,
Ἐπίσης τῷ Βουθοίνᾳ δὲ καί γε τῷ Λυτιέρτῃ·
Μάζας γὰρ ὀγδοήκοντα νεοφυράτους ἄρτους
Ἐν Λακινίῳ βέβρωκεν Αἴγων αὐτὸς ὁ πύκτης.
Μὴ γὰρ τὸ παξαμάδιον μάζαν, ἀλλ' ἄζαν λέγε,
Τὸ μάζα γὰρ μὴ ἄζα τις, ἀλλ' ἁπαλὴ καὶ νέα.
Καὶ τρέχων οὗτος ὄρεσι ταύρους ποσὶν ἐνίκα
Καὶ τὰς χηλὰς τὰς τῶν ποδῶν ζώντων χερσὶν ἀνέσπα.
Τοὺς ταύρους δ' ἐχαρίζετο τοῖς ὤμοις φέρων τούτους
Φίλοις καὶ κόραις γυναιξίν, ὡς τῇ Ἀμαρυλλίδι,
Ὡς μέμνηται Θεόκριτος οὕτω τὰ ἔπη γράφων·

HIST. 39.

562. καὶ pro δὲ cd. B.

567. Conf. Diod. Sic. XII, 9. pag. 483. Wess. Paus. VI, 14. Herodot. III, 137.

HIST. 40.

571. Βουθοίνα pro Βουθοίνας quod est in cd. A., exhibet cd. B., idemque cum cd. A. Λιτυέρτῃ. Utroque modo, et Λιτυερ. et Λυτιερ. scriptum reperitur. Conf. Schol. Theocr. X, 41. et Geelii obss. p. 311.

574. παξαμάδιον, non παξαμάτιον, habet cd. B. significat *panem subcinericium.* Vide Du Fresne Gloss. s. v. *Paximatium.* In marg. cd. A. a manu recentiori παξημάλιον, in contextu παξαμάτιον.

577. τὰς ante τῶν ποδ. accessit e cd. B.

580. Theocrit. IV, 33. sqq.

„Καὶ τὸ ποτ' ἄῶον τὸ Λακίνιον, οὗπερ ὁ πύκτας
„Αἴγων ὀγδώκοντα μόνος κατεδαίσατο μάζας,
„Τηνεὶ καὶ τὸν ταῦρον ἀπ' ὤρεος ἆγε πιάξας
„Τᾶς ὁπλᾶς, κἤδωκ' Ἀμαρυλλίδι. ταὶ δὲ γυναῖκες
„Μακρὸν ἀνήϋσαν, χὠ βωκόλος ἐξεγέλαξε.
Τὰ δὲ τοῦ Ἴδου πρόδηλα τυγχάνει καὶ Λυγκέως
Καὶ τὰ τοῦ Ἡρακλέος δὲ τὰ τῇδε μοι λεχθέντα.
Ἕκαστος τούτων τέταρτον βοὸς γὰρ ἐβεβρώκει.
Μᾶλλον ἡμίτομον βοὸς ὁ Ἴδας ἐβεβρώκει.
Ὁ δ' Ἡρακλῆς ὁλόκληρον ἕνα μὲν ἐν τῇ Λίνδῳ,
Καὶ τὸν τοῦ Θειοδάμαντος ἐν χώρᾳ Δρυοπίᾳ.
Ὁ Λυτιέρτης δὲ υἱὸς νόθος ὑπάρχων Μίδου,
Οἴνου μὲν πίθον ἐξαντλῶν ὅλον ὑπῆρχε πίνων,
Ἄρτους δὲ τρώγων ἤσθιεν ὄνων τριῶν φορτίον,
Ὡς ἐν τῷ Δάφνιδί φησι Σωσίβιος ἰάμβοις·
„Οὗτος δ' ἐκείνου παῖς παράπλαστος νόθος.
„Μητρὸς δ' ὁποίας ἡ τεκοῦσ' ἐπίσταται.
„Ἔσθει μὲν ἄρτους τρεῖς ὅλους κανθηλίους.
„Τῆς δὲ βραχείας ἡμέρας πίνει θ' ἅμα
„Καλῶν μετρητὴν τὸν δεκάμφορον πίθον·
„Ἐργάζεται δ' ἐλαφρὰ πρὸς τὰ φορτία.

ΠΕΡΙ ΔΑΜΟΞΕΝΟΥ. μά.

Τοῦ Δαμοξένου παλαιστοῦ Λουκιανὸς ὁ Σύρος
Μέμνηται, λέγων ἄριστον ἐν παλαισταῖς τυγχάνειν,
Οὐδὲν ἧττον τοῦ Μίλωνος καὶ παλαιστῶν τῶν ἄλλων.

ΠΕΡΙ ΙΦΙΚΛΟΥ. μβ.

Ἴφικλος ἦν Φυλάκου παῖς, πατὴρ Πρωτεσιλάου.
Ὑπερτελῶν δὲ ὁ ἀνὴρ τῶν ὁμηλίκων τάχει

582. κατεδάσατο cd. B.
585. ἐγέλαζε cd. B.
595. Vid. Geelii obss. ad Schol. Theocr. X, 41.
601. Immo σιτία.

HIST. 41.

602. Lucian. D. M. I, 3.

[illegible] [illegible]γέγραπται σταχύων ἄνω τρέχειν,
[illegible] ἀθέρας δὲ κουφότητι τοῦ δρόμου.
[illegible] μέμνηται ταύτης Ὀρφεύς που λέγων·
[illegible] [illegible]κλοιο θοώτερος αὐδάζοιο,
[illegible] ἀνθερίκεσσιν ἐπέτρεχεν, οὐδ᾽ ἔτι καρπὸν
[illegible] [illegible]ρα γυῖα φέρων ἐπὶ λήϊον αὖον.

ΠΕΡΙ ΕΥΦΗΜΟΥ. μγ΄.

[illegible] παῖς τῆς Δώριδος ἦν καὶ τοῦ Ποσειδῶνος,
[illegible] Εὐρώπης Τιτυοῦ, εἴτε Μηκιονίκης
[illegible] θυγατρὸς Ὠρίωνος, εἴτε τῆς τοῦ Εὐρώτα,
[illegible] Ἡρακλέος ἀδελφὴν ἔχων τὴν Λαονόμην,
[illegible] ὑπάρχων τῆς Ἀργοῦς, Πίνδαρος ὥς που γράφει.
[illegible]ιάδης δέ φησι, τοῦτον ἐκ Ποσειδῶνος
[illegible] δῶρον, τὴν θάλασσαν ὁδεύειν ἄνευ βλάβης,
[illegible] καὶ τὸν Ὠρίωνα, ὥσπερ τις γῆν ὁδεύει.
[illegible] δ᾽ ἀλληγορικώτερον οὕτω σοι νοητέον.
[illegible] πρωρεῖς γεγόνασιν οὗτοι καὶ κυβερνῆται,
[illegible]ντας ὑπερνικήσαντες τοὺς πάλαι θρυλλουμένους,
Μηδέποτε βλαβέντες δὲ κλύδωσι θαλασσίοις.
[illegible] ἐνεμυθώθησαν τοιαύταις μυθουργίαις.

ΠΕΡΙ ΠΡΩΤΕΩΣ. μδ΄.

Πρωτεὺς Φοινίκης Φοίνικος παῖς καὶ τοῦ Ποσειδῶνος,
Περὶ τὴν Φάρον κατοικῶν τῆς νῦν Ἀλεξανδρείας,
Ὡς μαγικαῖς δυνάμεσι μετέβαλλεν εἰς πάντα,

HIST. 42.

[illegible] Conf. Orph. Argon. 140. [illegible] ibique not. In Orphei [illegible] hic locus est omissus.

[illegible] Pro αὐδάζοιο videtur legendum esse αἰ[illegible]οιο, nisi versus [illegible] est depravatum.

[illegible] [illegible] τι cd. B.

[illegible] Adiectivo ἀήσυρα superscriptum ἐλαφρὰ in cd. B. In [illegible] est [illegible].

HIST. 43.

615. Cf. scholia ad Lycophr. 886. p. 858. Müll. Ad proxima vid. Pind. Pyth. IV, 39. 79. sqq. ibique Scholia. V. 613. Δώριδος scripsi pro Ὤριδος.

620. καθάπερ καὶ cd. B.

625. ἐνεβυθώθησαν cd. B. vs. praecedente θαλαττίοις.

HIST. 44.

628. κατέβαλεν cd. B.

Εἰς πῦρ, ὕδωρ, εἰς δράκοντα, δένδρον, εἰς πᾶσαν φύσιν,
Ὡς Ὅμηρος ἐδήλωσεν ἐν Ὀδυσσείᾳ γράφων.
Λουκιανὸς δὲ ὀρχηστὴν εἶναι τὸν ἄνδρα λέγει
Μιμούμενον ὀρχήμασι πάντων ἁπλῶς τὰς φύσεις.
Ἐγὼ δὲ λεκανόμαντιν τοῦτον τὸν ἄνδρα λέγω,
Ἅπαντα προδεικνύοντα ταῖς λεκανομαντίαις,
Ὧν ἂν ἐθέλοι τις μαθεῖν καὶ περὶ ὧν τις χρῄζοι,
Δένδρων, ἀνθρώπων καὶ πυρός, ὑδάτων καὶ θηρίων,
Ἢ φυσικὸν φιλόσοφον, πάντων εἰπόντα φύσεις,
Ἢ ῥήτορα δεινότατον, πρεπόντως γεγραφότα
Λίθοις, θηρσὶ καὶ τοῖς λοιποῖς. μᾶλλον δ' ὡς ἔφην πλέον
Τὸν ἄνδρα λεκανόμαντιν ἐπίσταμαι καὶ μάγον.

ΠΕΡΙ ΠΕΡΙΚΛΥΜΕΝΟΥ. με΄.

Ὁ Περικλύμενος ὁ παῖς Νηλέως Πολυμήδης,
Ὢν ἀδελφὸς τοῦ Νέστορος ἐκείνου τοῦ Πυλίου,
Ἐκ Ποσειδῶνος ἔσχηκε τοῦ πάππου δῶρον τόδε,
Πρὸς πᾶσαν μετατρέπεσθαι μορφὴν ὧν θέλοι ζώων.
Ὑφ' Ἡρακλέους δέ ποτε τὴν Πύλον πολεμοῦντος
Δορὶ βληθεὶς ἀνῄρητο, μετατραπεὶς εἰς μυῖαν.
Τὸ δ' ἀλληγορικώτερον τοιουτοτρόπως ἔχει·
Ἐκ τοῦ θυμοῦ τοῦ πρέποντος, φημὶ τοῦ Ποσειδῶνος,
Ἐν τοῖς πολέμοις ἅπαντας τοὺς θῆρας ἐμιμεῖτο,
Παρδάλεων ὀξύτητα, λεόντων μέγα σθένος,
Μυίας τὸ δυσαπότρεπτον καὶ ποθεινὸν αἱμάτων.
Ὅθεν καὶ Ὅμηρός φησι τὸν ἄνδρα διαγράφων·
Νέστορά τε Χρόμιόν τε Περικλύμενόν τ' ἀγέρωχον.

---

630. Odyss. IV, 384. sqq. Add. I. H. Voss. ad Virg. Georg. p. 862. — Lucian. de saltat. 19.

640. καὶ e cd. B. accessit.

HIST. 45.

641. Pro Πολυμήδης potius καὶ Χλωρίδος; vid. Apollod. I, 9. s. 9, 1.; vel πολυμήτης.

645. τῇ Πύλῳ cd. B. Verum accusativus hic aptior. Vid. Wessel. ad Diod. Sic. IV, 61. et quos citat Bastius in epist. crit. p. 112.

648. Conf. Chil. II, 742. sqq.

653. Odyss. XI, 285.

ΠΕΡΙ ΘΕΤΙΔΟΣ. μϛ'.

Φασὶ τὴν Θέτιν φεύγουσαν Πηλέως συνουσίαν
Πρὸς πῦρ, πρὸς ὕδωρ τρέπεσθαι, πρὸς φύσιν τῶν θηρίων·
Πρὸς δὲ σηπίας πώποτε μορφὴν μεταβαλοῦσαν
Πηλεὺς αὐτὴν κατέσχηκε καὶ γάμῳ συνεζύγη.
Τὸ δ' ἀλληγορικώτερον· τοῦτον οὐκ ἀξιοῦσα
Κατὰ πυρὸς ἐτρέπετο πεσεῖν καὶ καθ' ὑδάτων,
Κἂν τοῖς δυσβάτοις ὄρεσι βορὰ θηρσὶ γενέσθαι.
Τέλος αὐτὴν κατέσχηκεν ἐν σκότῳ κρυπτομένην,
Ὥσπερ σηπίαν τῷ θολῷ τοῦ μέλανος κρυβεῖσαν,
Εἴτε καὶ παρὰ θάλασσαν ἐκφεύγουσαν ἐκεῖνον,
Ὡς Εὐριπίδης γέγραφεν ἐν Ἀνδρομάχῃ τοῦτο.

ΠΕΡΙ ΜΗΣΤΡΑΣ. μζ'.

Μήστρα τοῦ Ἐρυσίχθονος Αἴθωνος ἦν θυγάτηρ,
Ἀνθρώπου γένει Θετταλοῦ, λιμώττοντος ἀμέτρως,
Ἀνθ' οὗ τὸ ἄλσος ἔτεμε τῆς Δήμητρος ἀφρόνως.
Ἡ Μήστρα μεταβάλλουσα πρὸς πάντα δὲ τὰ ζῶα
Καὶ πᾶσαν φύσιν τὴν λοιπήν, καί γε πιπρασκομένη
Τροφὰς παρεῖχε τῷ πατρὶ λιμὸν ἐξαιρουμένη,
Ὥσπερ Λυκόφρων πού φησιν οὕτω μυθικωτάτως·
„Τῆς παντομόρφου Βασσάρας λαμπουρίδος,
„Τοκῆος, ἥτ' ἀλφαῖσι ταῖς καθ' ἡμέραν,
„Βούπειναν ἀλθαίνεσκεν ἐκμαίαν πατρὸς
„Αἴθωνος γατομοῦντος ὀθνεῖα πτερά.
Ταῦτα τὰ μυθικώτερα· τὸ δ' ἀλληγορητέον·
Ὁ Ἐρυσίχθων πεπρακὼς βέβρωκε τὰς ἀρούρας.
Πενίᾳ δὲ τρυχόμενος λιμῷ τε παλαμναίᾳ
Προαγωγεύων τὴν αὐτοῦ διέζη θυγατέρα,

HIST. 46.

664. Euripides initio Andromaches.

HIST. 47.

665. Cf. Lycophr. 1393. sqq. ibique schol. et not., item Palaephat. c. 24. et Fisch. p. 98.

670. *παρέσχε* cd. B.

678. *παλαμναίῳ* cd. B.

Τοῦ μὲν διδόντος χρήματα, τοῦ δὲ τυχὸν ἀρνίον,
Ἄλλου διδόντος λαγωούς, ὄρνιθας, χῆνας, κύκνους,
Καὶ τῶν λοιπῶν ἐκ τῶν λοιπῶν, ἵνα μὴ λόγους πλέκω.
Οἶμαι δὲ καὶ Παλαίφατος οὕτως αὐτὸ διδάσκει,
Τὴν ἐκτομὴν τῆς Δήμητρος οὐ λέγει δὲ τοῦ ἄλσους,
Ἥνπερ ἡμεῖς εἰρήκειμεν πρᾶσιν κτημάτων εἶναι.

ΠΕΡΙ ΚΑΣΤΟΡΟΣ ΚΑΙ ΠΟΛΥΔΕΥΚΟΥΣ. μή.

Κάστορα, Πολυδεύκην τε, Τυνδάρεω τοὺς παῖδας,
Ἔργῳ Διὸς τυγχάνοντας, μᾶλλον δὲ Πολυδεύκη,
Πρὸς Ἀφαρέως γράφουσι παῖδας, Λυγκέα, Ἴδαν,
Περὶ Λευκίππου θυγατρῶν, Φοίβης καὶ Ἰλαείρας,
Μάχην συνάψαι καρτεράν, τίνες αὐτὰς ἂν σχῶσι.
Περὶ δὲ τὸ Ταΰγετον γέγονε τὰ τῆς μάχης.
Λυγκεὺς δ' ὀξυωπέστατος πάντων τελῶν ἀνθρώπων,
Ἰδὼν κοιλάδι τῆς δρυὸς Κάστορα, Πολυδεύκη,
Κάστορα κτείνει τῷ δορί, καὶ τοῦτον Πολυδεύκης,
Τὸν Πολυδεύκην Ἴδας δέ, καὶ κεραυνὸς τὸν Ἴδαν.
Τοῦ Πολυδεύκους δ' ὁ πατὴρ ὁ Ζεὺς ὁ ἀστρολόγος
Τοῖς ἄστροις κατηστέρισε τοὺς παῖδας τεθνηκότας
Καὶ τοὺς Διδύμους κέκληκεν Κάστορα, Πολυδεύκην.
Ἦμαρ παρ' ἦμαρ δέ φασι ζῆν τούτους τε καὶ θνήσκειν.
Οὕτω γὰρ ἀνατέλλουσιν ἀστέρες τῶν Διδύμων.
Οἱ δὲ καὶ παρατρέπουσι μικρὸν τὴν ἱστορίαν,
Τὸν Πολυδεύκη λέγοντες μὴ τεθνηκέναι μάχῃ,
Ἐκ δὲ Διὸς ἐσύστερον τοῦτο ζητῆσαι δῶρον,
Συντεθνηκέναι τε καὶ ζῆν Κάστορι τῷ συναίμῳ,
Ὥς πού φησι καὶ Πίνδαρος. ἅπερ οὐκ οἶδα λέγειν.

684. οὐ pro ὃ cd. B., recte. In margine cd. A. scriptum est ὀλέκει.

HIST. 48.

698. Theocrit. Idyll. XXII, 137. sqq. Pindar. Nem. X, 103. sqq. Pyth. XI, 95. sq. Heyn.

692. ὀξυωπέστερος cd. B. Vid. Chil. I. v. 5.

705. καὶ e cd. B. Pro ἅπερ potius οὕπερ, nescio quo loco dicat.

Γράμματα γὰρ ἐπῶν εἰσί, καὶ φεύγει μου τὴν μνήμην·
Τὸ δ' ἀληθέστερον ἐστίν, ὡς ἤδη σοι προέφην.
Τῆς δ' ἱστορίας μέμνηται Λυκόφρων, Εὐριπίδης,
Πάντες ἁπλῶς οἱ ποιηταὶ σὺν τῷ Ἀπολλοδώρῳ.
Καί γε Στασῖνος σὺν αὐτοῖς οὕτω τὰ ἔπη γράφων,
Ἡρωικοῖς ἐν ἔπεσι λέγων· „αἶψα δὲ Λυγκεὺς
„Ταΰγετον προσέβαινε, ποσὶ ταχέεσι πεποιθώς·
„Ἀκρότατον δ' ἀναβὰς διεδέρκετο νῆσον ἅπασαν
„Τανταλίδου Πέλοπος. τάχα δ' εἴσιδεν ὄμβριμος ἥρως,
„Δεινοῖς ὀφθαλμοῖσιν ἔσω δρυὸς ἄμφω κοίλης,
„Κάστορα δ' ἱππόδαμον, καὶ ἀεθλοφόρον Πολυδεύκεα.

ΠΕΡΙ ΑΙΘΑΛΙΔΟΥ. μθ'.

Ὁ Αἰθαλίδης ὁ Ἑρμοῦ, ῥήτωρ δεινὸς ὑπάρχων,
Ἕνα μὲν λόγον πενθικὸν καὶ τῶν ἐπιταφίων,
Ἕνα τῶν χαρμοσύνων δὲ γράφων ἀεὶ ταῖς βίβλοις
Καὶ κατὰ τὸν Δημόκριτον αὐτὸν σὺν Ἡρακλείτῳ
Ἅμα δακρύων καὶ γελῶν τὸ ἄστατον τοῦ βίου,
Ἐλέχθη θνήσκειν τε καὶ ζῆν ἦμαρ ἀεὶ παρ' ἦμαρ.

ΠΕΡΙ ΑΡΙΣΤΕΑ. ν'.

Ὁ Ἀριστέας μὲν υἱὸς ἦν τοῦ Καϋστροβίου,
Τῷ γένει Προικοννήσιος τῶν εὐγενῶν καὶ πρώτων.
Οὗτος χαλκείῳ παρεισδὺς θνήσκει καὶ πίπτει νέκυς.
Κλείσας δ' εὐθέως ὁ χαλκεὺς ἐκεῖνο τὸ χαλκεῖον
Τοῖς συγγενέσι τὸ δεινὸν λέγει τοῦ Ἀριστέα.

---

707. ὡς additum e cd. B.

708. Vid. Lycophr. 447. 511. Euripid. Orest. 1651. Hel. 1515. (1495. Matth.) 1680. (1642.) Apollod. III, 11. s. 2. 5.

710. Vid. Mülleri Indicem scriptorum in Tzetzar. scholiis Lycophron. s. v. Στασῖνος.

714. ὄμβριμος pro ὄβριμος cd. B. In cd. A. superscriptum κύδιμος.

HIST. 49.

717. Vid. Apollon. I, 641. sqq. ibique scholia. Versus initio addidi ὁ articulum.

HIST. 50.

724. Nomen scribitur Προκόννησος, Προκόνησος, Προικόννησος, hic adeo Προικόνησος.

Οἱ δὲ δραμόντες ὀδυρμοῖς πάντες πρὸς τὸ χαλκεῖον,
Ἀνοίξαντες οὐδὲν εὗρον, οὐ νέκυν οὐδὲ ζῶντα.
Μετὰ δ' ἑπτὰ χρόνους φανεὶς πάλιν ὁ Ἀριστέας,
Ἔπη τὰ Ἀριμάσπεια λεγόμενα συγγράφει.
Καὶ πάλιν ἀφανίζεται τὸ δεύτερον καὶ θνήσκει.
Καὶ μετὰ διακόσια δὶς εἴκοσι τὰ ἔτη
Ἐφ' Ἡροδότου γέγονε, καὶ πάλιν ἀνεφάνη,
Ὥσπερ φησὶν Ἡρόδοτος· εἰ δ' ἀληθὲς οὐκ οἶδα.
Καὶ τίς αὐτὸν ἐγνώρισε, τίς ἔζησε τοσόνδε,
Ὥστε τοῖς ὕστερον εἰπεῖν· Ἡρόδοτε, σοῖς χρόνοις
Οὗτος ὁ Προικοννήσιός ἐστιν ὁ Ἀριστέας,
Ὃς ἔκπαλαι μὲν τέθνηκε, νῦν δ' ἀνεφάνη πάλιν;
Πλατύς μοι λῆρος φαίνεται καὶ ψυχρομυθουργία.

ΠΕΡΙ ΘΗΣΕΩΣ. να'.

Θησεὺς υἱὸς ἦν Ἀττικοῦ Αἰγέως καὶ τῆς Αἴθρας,
Ὡς δὲ ἀνδρεῖον, ἔφασαν παῖδα τοῦ Ποσειδῶνος·
Τοὺς θυμικοὺς γὰρ σύμπαντας καὶ πάντας τοὺς ἀνδρείους
Υἱοὺς καὶ φίλους, ἐραστάς φασι τοῦ Ποσειδῶνος.
Οὗτός ποτε συνέθετο τῷ φίλῳ Πειριθόῳ,
Ὅπως Διὸς ἁρπάξωσι, τουτέστι βασιλέως,
Κόρην τινὰ καὶ γήμωσι. καὶ δή ποτε μολόντες
Εἰς χώραν γῆς τῶν Μολοσσῶν, ὧν βασιλεὺς ἦν Ἅιδης,
Οὗπερ γυνὴ Δημήτηρ ἦν, θυγάτηρ κλῆσιν Κόρη,
(Τὰς γὰρ εὐμόρφους Μολοσσοὶ κόρας καλοῦσι πάσας)
Καὶ κύων δὲ τρικέρβερος, φρικώδης τῷ μεγέθει·
Νύκτωρ ἐπέθεντο λαβεῖν αὐτοῦ τὴν θυγατέρα.
Κατασχεθέντων δὲ αὐτῶν, Πειρίθους μὲν ἐβρώθη
Τῷ τρικερβέρῳ τῷ κυνί, Θησεὺς δ' εἱρκτῇ κρατεῖται.
Ὡς δ' Ἡρακλῆς ὡς πρὸς αὐτὸν ἦλθέ ποτε τὸν Ἅιδην

---

731. *ἔπη τὰ Ἀριμάσπεια* recte cd. B. pro *ἔπειτα Ἀριμάσπεια.*

735. Herod. IV, 13 — 15.

740. *γίνεται* cd. B.

HIST. 51.

743. *μυθικοὺς* cd. B.

750. *δὲ* pro *γὰρ* cd. B.

[illegible] προσ-αγεὶς ἀπαγαγεῖν τὸν κύνα,
[illegible] τῶν δεσμῶν ἀπέλυσεν εὐθέως·
[illegible] ἔφασαν ἀναδραμεῖν ἐξ Ἅιδου.

[illegible]ΕΡΙ ΠΡΩΤΕΣΙΛΑΟΥ. νβ'.

[illegible] ὁ Πρωτεσίλαος υἱὸς ἦν τοῦ Ἰφίκλου·
[illegible] δὲ Λαοδάμειαν σύζυγον, νύμφην νέαν,
[illegible] τοῖς λοιποῖς τοῖς Ἕλλησι στρατεύει κατὰ Τρώων.
[illegible] πάντων προπηδήσας δὲ πρῶτος ἁπάντων θνήσκει.
[illegible] μυθογράφοι δὲ φασίν, ὡραῖον ὄντα τοῦτον
Ἡ κόρη κατῳκτείρησεν ἰδοῦσα Περσεφόνη
[illegible]τέρησιν ὀδυρόμενον τὴν τῆς Λαοδαμείας.
Καὶ δέεται τοῦ Πλούτωνος, ζωοῖ δὲ τοῦτον πάλιν,
Καὶ τῇ συζύγῳ πέπομφε τὸν Ἅιδην πεφευγότα.
Ταῦτα μὲν μῦθοι φάσκουσι· τὰ δὲ τῆς ἱστορίας
Οὕτω πως λέγουσί τινες, ὡς ἀτρεκῆ καὶ μάλα,
Ὡς ἡ τοῦ Πρωτεσίλεω σύζυγος ἡ λεχθεῖσα
Τὴν συμφοράν, τὸν θάνατον, μαθοῦσα τοῦ συζύγου
Ξύλινον εἴδωλον ποιεῖ μορφῆς Πρωτεσιλάου,
Καὶ συνεκοίταζεν αὐτῇ τῷ πόθῳ τοῦ συζύγου,
Μηδόλως τούτου φέρουσα στέγειν τὴν ἀπουσίαν.
Ἄλλοι δὲ νύκτωρ εἴδωλον εἶπον ὁρᾶσθαι τούτου
Ἀεὶ συζύγῳ τῇ αὐτοῦ, ὅθεν ἐπλάσθη ταῦτα.
Ἐγὼ δ' αὐτὴν ἐπίσταμαι τὸν μόρον πυθομένην,
Τὸν νυμφικὸν τὸν στολισμὸν εὐθὺς ἐνδυσαμένην,
Φαιδρῷ προσώπῳ μάχαιραν πρὸς ἧπαρ ἐμβαλοῦσαν
Συντεθνηκέναι τῷ καλῷ συζύγῳ καὶ νυμφίῳ,
Ὥσπερ καὶ τὴν Εὐάδνην δὲ πρώην τοῦ Καπανέως
Αὑτὴν βαλοῦσαν εἰς πυρὰν τῷ πόθῳ τοῦ συζύγου.
Λουκιανός, Φιλόστρατος, γράφει τὴν ἱστορίαν,
Καί τινες ἄλλοι μέμνηνται καὶ ποιηταὶ καὶ νέοι.

HIST. 52.

774. στέγειν, *sustinere*, pro ἄγειν cd. B.

783. Lucian. Dial. Mort. 19. Philostrat. Prooem. 2.

ΠΕΡΙ ΑΛΚΗΣΤΙΔΟΣ. νγ'.

Ἄλκηστις ἡ Πελίου παῖς καὶ τῆς Ἀναξιβίας
Ἀδμήτῳ τῷ τοῦ Φέρητος καὶ τῆς Περικλυμένης
Εὔμηλόν τε γεγέννηκε καὶ Περιμήλαν γάμοις.
Ποτὲ δὲ θνήσκειν μέλλοντος Ἀδμήτου τοῦ συζύγου
Ἀπόλλων ἐξῃτήσατο χάριν ταῖς Μοίραις ταύτην,
Ὅπως ὁ Ἄδμητός τινα δοὺς ἀντὶ τούτου θνήσκειν
Αὐτὸς τοῖς ζῶσι συμπαρὼν συγχαίροι τοῖς φιλτάτοις.
Συννευσασῶν δὲ τῶν Μοιρῶν Ἄδμητος πάντας βλέπει,
Εἴ πως συγκατακεύσοι τις θανεῖν ὑπὲρ ἐκείνου.
Ὡς πάντες δ' ἀπηνήναντο, τοῦτον θανεῖν εἰπόντες,
Πατὴρ καὶ μήτηρ γεραιὰ καὶ πᾶς χορὸς τῶν φίλων,
Αὐτὴ προθύμως δι' αὐτὸν τὴν τελευτὴν ὑπέδυ
Καὶ θνήσκει καὶ συγκρύπτεται, κἂν ἐξανέστη πάλιν.
Πρὸς Διομήδους ἵππους γὰρ ὁ Ἡρακλῆς ἐκτρέχων
Ξενοδοχεῖται δώμασι πενθοῦντι τῷ Ἀδμήτῳ.
Ὁ δὲ μηδόλως κατειπὼν τὴν συμφορὰν τῷ φίλῳ
Ἐκεῖνον δώμασί τισιν εἱστία λαμπροτάτως.
Αὐτὸς δὲ πένθει καρτερῷ καὶ συμφοραῖς καὶ γόοις
Τὴν ἐκφορὰν τὴν τοῦ νεκροῦ τῆς γυναικὸς [illegible]τέλει.
Ὁ δ' Ἡρακλῆς παρά τινος ἅπαν μαθὼν οἰκέτου,
Ὑπερθαυμάσας περισσῶς τὴν τοῦ ἀνδρὸς φιλίαν
Καὶ κατοικτείρας γυναικὸς τοιαύτης στερηθέντα,
Τὸ γόνυ πλήξας καρτερῶς ἀπὸ καρδίας ἔφη·
„Ὦ πολλὰ τλᾶσα καρδία καὶ χεὶρ ἐμή,
„Νῦν δεῖξον, οἷον παῖδά σ' ἡ Τιρυνθία
„Ἠλεκτρύωνος γείνατ' Ἀλκμήνη Διΐ.
„Δεῖ γάρ με σῶσαι τὴν θανοῦσαν ἀρτίως."
Εἰπὼν τοιαῦτα πρὸς αὐτὸν κρύφα χωρεῖ τῷ τάφῳ,

HIST. 53.

790. Conf. ad Chil. III. 86.

791. συγχαίροι cd. B. pro συγχαίρει.

793. συγκατανεύσοι cd. B. pro indicativo, qui item recte ponitur.

802. κρατερῷ cd. B.

807. ἔφη pro ὤφθη cd. B.

808. Eurip. Alcest. 853. sqq.

ΠΕΡΙ ΜΙΛΩΝΟΣ ΤΟΥ ΠΑΛΑΙΣΤΟΥ. λθ'.

Ὁ Μίλων οὗτος ἀθλητὴς ἐκ Κρότωνος ὑπῆρχε,
Τῷ φιλοσόφῳ σύγχρονος ἐκείνῳ Πυθαγόρᾳ.
Ἑξάκις δὲ νενίκηκεν Ὀλύμπια παλαίων.
Κροτωνιάταις δέ ποτε πολέμου προεξάρχων
Καὶ προπηδῶν ὡς Ἡρακλῆς ἔμπροσθεν ἐστεμμένος,
Δέκα Κροτωνιάτιδας ἔχων μυριοστύας,
Συβαριτῶν ἀπέκτεινε μυρίας τριακάδας.
Διόδωρος καὶ ταύτην δὲ γράφει τὴν ἱστορίαν,
Ἡρόδοτος, καὶ ἕτεροι πολλοὶ τῶν συγγραφέων.

ΠΕΡΙ ΑΙΓΩΝΣ, ΙΔΟΥ, ΛΥΓΚΕΩΣ, ΗΡΑΚΛΕΟΣ ΚΑΙ ΛΥΤΙΕΡΤΟΥ. μ'.

Αἴγων Κροτωνιάτης ἦν, πανευσθενὴς πυγμάχος,
Τοῦ Ἴδου καὶ Λυγκέως μὲν οὐκ ἔλαττον ἐσθίων,
Ἐπίσης τῷ Βουθοίνᾳ δὲ καί γε τῷ Λυτιέρτῃ·
Μάζας γὰρ ὀγδοήκοντα νεοφυράτους ἄρτους
Ἐν Λακινίῳ βέβρωκεν Αἴγων αὐτὸς ὁ πύκτης.
Μὴ γὰρ τὸ παξαμάδιον μάζαν, ἀλλ' ἄζαν λέγε,
Τὸ μάζα γὰρ μὴ ἄζα τις, ἀλλ' ἁπαλὴ καὶ νέα.
Καὶ τρέχων οὗτος ὄρεσι ταύρους ποσὶν ἐνίκα
Καὶ τὰς χηλὰς τὰς τῶν ποδῶν ζώντων χερσὶν ἀνέσπα.
Τοὺς ταύρους δ' ἐχαρίζετο τοῖς ὤμοις φέρων τούτους
Φίλοις καὶ κόραις γυναιξίν, ὡς τῇ Ἀμαρυλλίδι,
Ὡς μέμνηται Θεόκριτος οὕτω τὰ ἔπη γράφων·

HIST. 39.

562. *καὶ* pro *δὲ* cd. B.

567. Conf. Diod. Sic. XII, 9. pag. 483. Wess. Paus. VI, 14. Herodot. III, 137.

HIST. 40.

571. *Βουθοίνα* pro *Βουθοίνας* quod est in cd. A., exhibet cd. B., idemque cum cd. A. *Λιτυέρτῃ.* Utroque modo, et *Λιτυερ.* et *Λυτιερ.* scriptum reperitur. Conf. Schol. Theocr. X, 41. et Geelii obss. p. 311.

574. *παξαμάδιον*, non *παξαμάτιον*, habet cd. B. significat *panem subcinericium.* Vide Du Fresne Gloss. s. v. *Paximatium.* In marg. cd. A. a manu recentiori *παξημάλιον*, in contextu *παξαμάτιον.*

577. *τὰς* ante *τῶν ποδ.* accessit e cd. B.

580. Theocrit. IV, 33. sqq.

„Καὶ τὸ ποτ᾽ ᾆσον τὸ Λακίνιον, οὗπερ ὁ πύκτας
„Αἴγων ὀγδώκοντα μόνος κατεδαίσατο μάζας,
„Τηνεὶ καὶ τὸν ταῦρον ἀπ᾽ ὤρεος ἆγε πιάξας
„Τᾶς ὁπλᾶς, κἤδωκ᾽ Ἀμαρυλλίδι. ταὶ δὲ γυναῖκες
„Μακρὸν ἀνήϋσαν, χὠ βωκόλος ἐξεγέλαξε.
Τὰ δὲ τοῦ Ἴδου πρόδηλα τυγχάνει καὶ Λυγκέως
Καὶ τὰ τοῦ Ἡρακλέος δὲ τὰ τῇδέ μοι λεχθέντα.
Ἕκαστος τούτων τέταρτον βοὸς γὰρ ἐβεβρώκει.
Μᾶλλον ἡμίτομον βοὸς ὁ Ἴδας ἐβεβρώκει.
Ὁ δ᾽ Ἡρακλῆς ὁλόκληρον ἕνα μὲν ἐν τῇ Λίνδῳ,
Καὶ τὸν τοῦ Θειοδάμαντος ἐν χώρᾳ Δρυοπίᾳ.
Ὁ Λυτιέρτης δὲ υἱὸς νόθος ὑπάρχων Μίδου,
Οἴνου μὲν πίθον ἐξαντλῶν ὅλον ὑπῆρχε πίνων,
Ἄρτους δὲ τρώγων ἤσθιεν ὄνων τριῶν φορτίον,
Ὡς ἐν τῷ Δάφνιδί φησι Σωσίβιος ἰάμβοις·
„Οὗτος δ᾽ ἐκείνου παῖς παράπλαστος νόθος.
„Μητρὸς δ᾽ ὁποίας ἡ τεκοῦσ᾽ ἐπίσταται.
„Ἔσθει μὲν ἄρτους τρεῖς ὅλους κανθηλίους.
„Τῆς δὲ βραχείας ἡμέρας πίνει θ᾽ ἅμα
„Καλῶν μετρητὴν τὸν δεκάμφορον πίθον·
„Ἐργάζεται δ᾽ ἐλαφρὰ πρὸς τὰ φορτία.

ΠΕΡΙ ΔΑΜΟΞΕΝΟΥ. μά.

Τοῦ Δαμοξένου παλαιστοῦ Λουκιανὸς ὁ Σύρος
Μέμνηται, λέγων ἄριστον ἐν παλαισταῖς τυγχάνειν,
Οὐδὲν ἧττον τοῦ Μίλωνος καὶ παλαιστῶν τῶν ἄλλων.

ΠΕΡΙ ΙΦΙΚΛΟΥ. μβ΄.

Ἴφικλος ἦν Φυλάκου παῖς, πατὴρ Πρωτεσιλάου.
Ὑπερτελῶν δὲ ὁ ἀνὴρ τῶν ὁμηλίκων τάχει

---

582. κατεδάσατο cd. B.
585. ἐγέλαζε cd. B.
595. Vid. Geelii obs. ad Schol. Theocr. X, 41.
601. Immo σιτία.

HIST. 41.

602. Lucian. D. M. I, 3.

Τοῖς μύθοις παρεγγέγραπται σταχύων ἄνω τρέχειν,
Μὴ καταχλᾶν ἀθέρας δὲ κουφότητι τοῦ δρόμου.
Τῆς ἱστορίας μέμνηται ταύτης Ὀρφεύς που λέγων·
„Οὐδ' ἦν Ἰφίκλοιο θοώτερος αὐδάζοιο,
„Ὅς τε καὶ ἀνθερίκεσσιν ἐπέτρεχεν, οὐδ' ἔτι καρπὸν
„Σίνετ' ἀήσυρα γυῖα φέρων ἐπὶ λήϊον αὖον.

ΠΕΡΙ ΕΥΦΗΜΟΥ. μγʹ.

Εὔφημος παῖς τῆς Δώριδος ἦν καὶ τοῦ Ποσειδῶνος,
Εἴτ' οὖν Εὐρώπης Τιτυοῦ, εἴτε Μηκιονίκης
Τῆς θυγατρὸς Ὠρίωνος, εἴτε τῆς τοῦ Εὐρώτα,
Τὴν Ἡρακλέος ἀδελφὴν ἔχων τὴν Λαονόμην,
Πρωρεὺς ὑπάρχων τῆς Ἀργοῦς, Πίνδαρος ὥς που γράφει.
Ἀσκληπιάδης δέ φησι, τοῦτον ἐκ Ποσειδῶνος
Ἔχειν δῶρον, τὴν θάλασσαν ὁδεύειν ἄνευ βλάβης,
Καθὰ καὶ τὸν Ὠρίωνα, ὥσπερ τις γῆν ὁδεύει.
Τὸ δ' ἀλληγορικώτερον οὕτω σοι νοητέον.
Ἄμφω πρωρεῖς γεγόνασιν οὗτοι καὶ κυβερνῆται,
Πάντας ὑπερνικήσαντες τοὺς πάλαι θρυλλουμένους,
Μηδέποτε βλαβέντες δὲ κλύδωσι θαλασσίοις.
Ὅθεν ἐνεμυθώθησαν τοιαύταις μυθουργίαις.

ΠΕΡΙ ΠΡΩΤΕΩΣ. μδʹ.

Πρωτεὺς Φοινίκης Φοίνικος παῖς καὶ τοῦ Ποσειδῶνος,
Περὶ τὴν Φάρον κατοικῶν τῆς νῦν Ἀλεξανδρείας,
Ὃς μαγικαῖς δυνάμεσι μετέβαλλεν εἰς πάντα,

HIST. 42.

609. Conf. Orph. Argon. 140. Herm. ibique not. In Orphei fragmentis hic locus est omissus.

610. Pro αὐδάζοιο videtur legendum esse αἰζηοῖο, nisi versus initium est depravatum.

611. οὐδέ τι cd. B.

612. Adiectivo ἀήσυρα superscriptum ἐλαφρὰ in cd. B. In eod. est αὖον.

HIST. 43.

615. Cf. scholia ad Lycophr. 886. p. 858. Müll. Ad proxima vid. Pind. Pyth. IV, 39. 79. sqq. ibique Scholia. V. 613. Δώριδος scripsi pro Ὤριδος.

620. καθάπερ καὶ cd. B.

625. ἐνεβυθώθησαν cd. B. vs. praecedente θαλαττίοις.

HIST. 44.

628. κατέβαλεν cd. B.

Εἰς πῦρ, ὕδωρ, εἰς δράκοντα, δένδρον, εἰς πᾶσαν φύσιν,
Ὡς Ὅμηρος ἐδήλωσεν ἐν Ὀδυσσείᾳ γράφων.
Λουκιανὸς δὲ ὀρχηστὴν εἶναι τὸν ἄνδρα λέγει
Μιμούμενον ὀρχήμασι πάντων ἁπλῶς τὰς φύσεις.
Ἐγὼ δὲ λεκανόμαντιν τοῦτον τὸν ἄνδρα λέγω,
Ἅπαντα προδεικνύοντα ταῖς λεκανομαντίαις,
Ὧν ἂν ἐθέλοι τις μαθεῖν καὶ περὶ ὧν τις χρήζοι,
Δένδρων, ἀνθρώπων καὶ πυρός, ὑδάτων καὶ θηρίων,
Ἢ φυσικὸν φιλόσοφον, πάντων εἰπόντα φύσεις,
Ἢ ῥήτορα δεινότατον, πρεπόντως γεγραφότα
Λίθοις, θηρσὶ καὶ τοῖς λοιποῖς. μᾶλλον δ' ὡς ἔφην πλέον
Τὸν ἄνδρα λεκανόμαντιν ἐπίσταμαι καὶ μάγον.

ΠΕΡΙ ΠΕΡΙΚΛΥΜΕΝΟΥ. με΄.

Ὁ Περικλύμενος ὁ παῖς Νηλέως Πολυμήδης,
Ὢν ἀδελφὸς τοῦ Νέστορος ἐκείνου τοῦ Πυλίου,
Ἐκ Ποσειδῶνος ἔσχηκε τοῦ πάππου δῶρον τόδε,
Πρὸς πᾶσαν μετατρέπεσθαι μορφὴν ὧν θέλοι ζώων.
Ὑφ' Ἡρακλέους δέ ποτε τὴν Πύλον πολεμοῦντος
Δορὶ βληθεὶς ἀνήρητο, μετατραπεὶς εἰς μυῖαν.
Τὸ δ' ἀλληγορικώτερον τοιουτοτρόπως ἔχει·
Ἐκ τοῦ θυμοῦ τοῦ πρέποντος, φημὶ τοῦ Ποσειδῶνος,
Ἐν τοῖς πολέμοις ἅπαντας τοὺς θῆρας ἐμιμεῖτο,
Παρδάλεων ὀξύτητα, λεόντων μέγα σθένος,
Μυίας τὸ δυσαπότρεπτον καὶ ποθεινὸν αἱμάτων.
Ὅθεν καὶ Ὅμηρός φησι τὸν ἄνδρα διαγράφων·
Νέστορά τε Χρόμιόν τε Περικλύμενόν τ' ἀγέρωχον.

---

630. Odyss. IV, 384. sqq. Add. I. H. Voss. ad Virg. Georg. p. 862. — Lucian. de saltat. 19.
640. καὶ e cd. B. accessit.

HIST. 45.

641. Pro Πολυμήδης potius καὶ Χλωρίδος; vid. Apollod. I, 9. s. 9, 1.; vel πολυμήτης.
645. τῇ Πύλῳ cd. B. Verum accusativus hic aptior. Vid. Wessel. ad Diod. Sic. IV, 61. et quos citat Bastius in epist. crit. p. 112.
648. Conf. Chil. II, 742. sqq.
653. Odyss. XI, 285.

ΠΕΡΙ ΘΕΤΙΔΟΣ. μϛʹ.

Φασὶ τὴν Θέτιν φεύγουσαν Πηλέως συνουσίαν
Πρὸς πῦρ, πρὸς ὕδωρ τρέπεσθαι, πρὸς φύσιν τῶν θηρίων.
Πρὸς δὲ σηπίας πώποτε μορφὴν μεταβαλοῦσαν
Πηλεὺς αὐτὴν κατέσχηκε καὶ γάμῳ συνεζύγη.
Τὸ δ' ἀλληγορικώτερον· τοῦτον οὐκ ἀξιοῦσα
Κατὰ πυρὸς ἐτρέπετο πεσεῖν καὶ καθ' ὑδάτων,
Κἂν τοῖς δυσβάτοις ὄρεσι βορὰ θηρσὶ γενέσθαι.
Τέλος αὐτὴν κατέσχηκεν ἐν σκότῳ κρυπτομένην,
Ὥσπερ σηπίαν τῷ θολῷ τοῦ μέλανος κρυβεῖσαν,
Εἴτε καὶ παρὰ θάλασσαν ἐκφεύγουσαν ἐκεῖνον,
Ὡς Εὐριπίδης γέγραφεν ἐν Ἀνδρομάχῃ τοῦτο.

ΠΕΡΙ ΜΗΣΤΡΑΣ. μζʹ.

Μήστρα τοῦ Ἐρυσίχθονος Αἴθωνος ἦν θυγάτηρ,
Ἀνθρώπου γένει Θετταλοῦ, λιμώττοντος ἀμέτρως,
Ἀνθ' οὗ τὸ ἄλσος ἔτεμε τῆς Δήμητρος ἀφρόνως.
Ἡ Μήστρα μεταβάλλουσα πρὸς πάντα δὲ τὰ ζῶα
Καὶ πᾶσαν φύσιν τὴν λοιπήν, καί γε πιπρασκομένη
Τροφὰς παρεῖχε τῷ πατρὶ λιμὸν ἐξαιρουμένη,
Ὥσπερ Λυκόφρων πού φησιν οὕτω μυθικωτάτως·
„Τῆς παντομόρφου Βασσάρας λαμπουρίδος,
„Τοκῆος, ἥτ' ἀλφαῖσι ταῖς καθ' ἡμέραν,
„Βούπειναν ἀλθαίνεσκεν ἐκμαίαν πατρὸς
„Αἴθωνος γατομοῦντος ὀθνεῖα πτερά.
Ταῦτα τὰ μυθικώτερα· τὸ δ' ἀλληγορητέον·
Ὁ Ἐρυσίχθων πεπρακὼς βέβρωκε τὰς ἀρούρας.
Πενίᾳ δὲ τρυχόμενος λιμῷ τε παλαμναίῳ
Προαγωγεύων τὴν αὐτοῦ διέζη θυγατέρα,

HIST. 46.

664. Euripides initio Andromaches.

HIST. 47.

665. Cf. Lycophr. 1393. sqq. ibique schol. et not., item Palaephat. c. 24. et Fisch. p. 98.

670. παρέσχε cd. B.

678. παλαμναίῳ cd. B.

Τοῦ μὲν διδόντος χρήματα, τοῦ δὲ τυχὸν ἀρνίον,
Ἄλλου διδόντος λαγωούς, ὄρνιθας, χῆνας, κύκνους,
Καὶ τῶν λοιπῶν ἐκ τῶν λοιπῶν, ἵνα μὴ λόγους πλέκω.
Οἶμαι δὲ καὶ Παλαίφατος οὕτως αὐτὸ διδάσκει,
Τὴν ἐκτομὴν τῆς Δήμητρος οὐ λέγει δὲ τοῦ ἄλσους,
Ἥνπερ ἡμεῖς εἰρήκειμεν πρᾶσιν κτημάτων εἶναι.

ΠΕΡΙ ΚΑΣΤΟΡΟΣ ΚΑΙ ΠΟΛΥΔΕΥΚΟΥΣ. μή.

Κάστορα, Πολυδεύκην τε, Τυνδάρεω τοὺς παῖδας,
Ἔργῳ Διὸς τυγχάνοντας, μᾶλλον δὲ Πολυδεύκη,
Πρὸς Ἀφαρέως γράφουσι παῖδας, Λυγκέα, Ἴδαν,
Περὶ Λευκίππου θυγατρῶν, Φοίβης καὶ Ἱλαείρας,
Μάχην συνάψαι καρτεράν, τίνες αὐτὰς ἂν σχῶσι.
Περὶ δὲ τὸ Ταΰγετον γέγονε τὰ τῆς μάχης·
Λυγκεὺς δ' ὀξυωπέστατος πάντων τελῶν ἀνθρώπων,
Ἰδὼν κοιλάδι τῆς δρυὸς Κάστορα, Πολυδεύκη,
Κάστορα κτείνει τῷ δορί, καὶ τοῦτον Πολυδεύκης,
Τὸν Πολυδεύκην Ἴδας δέ, καὶ κεραυνὸς τὸν Ἴδαν.
Τοῦ Πολυδεύκους δ' ὁ πατὴρ ὁ Ζεὺς ὁ ἀστρολόγος
Τοῖς ἄστροις κατηστέρισε τοὺς παῖδας τεθνηκότας
Καὶ τοὺς Διδύμους κέκληκεν Κάστορα, Πολυδεύκην.
Ἦμαρ παρ' ἦμαρ δέ φασι ζῆν τούτους τε καὶ θνήσκειν.
Οὕτω γὰρ ἀνατέλλουσιν ἀστέρες τῶν Διδύμων.
Οἱ δὲ καὶ παρατρέπουσι μικρὸν τὴν ἱστορίαν,
Τὸν Πολυδεύκη λέγοντες μὴ τεθνηκέναι μάχῃ,
Ἐκ δὲ Διὸς ἐσύστερον τοῦτο ζητῆσαι δῶρον,
Συντεθνηκέναι τε καὶ ζῆν Κάστορι τῷ συναίμῳ,
Ὥς πού φησι καὶ Πίνδαρος. ὅπερ οὐκ οἶδα λέγειν.

684. *οὐ* pro *ὁ* cd. B., recte. In margine cd. A. scriptum est *ἀλέκει*.

HIST. 48.

698. Theocrit. Idyll. XXII, 137. sqq. Pindar. Nem. X, 103. sqq. Pyth. XI, 95. sq. Heyn.

692. *ὀξυωπέστερος* cd. B. Vid. Chil. I. v. 5.

705. *καὶ* e cd. B. Pro *ἅπερ* potius *οὗπερ*, *nescio quo loco dicat.*

Τμήματα γὰρ ἐπῶν εἰσί, καὶ φεύγει μου τὴν μνήμην.
Τὸ δ' ἀληθέστερον ἐστίν, ὡς ἤδη σοι προέφην.
Τῆς δ' ἱστορίας μέμνηται Λυκόφρων, Εὐριπίδης,
Πάντες ἁπλῶς οἱ ποιηταὶ σὺν τῷ Ἀπολλοδώρῳ.
Καί γε Στασῖνος σὺν αὐτοῖς οὕτω τὰ ἔπη γράφων,
Ἡρωικοῖς ἐν ἔπεσι λέγων· „αἶψα δὲ Λυγκεὺς
„Τηΰγετον προσέβαινε, ποσὶ ταχέεσσι πεποιθώς·
„Ἀκρότατον δ' ἀναβὰς διεδέρκετο νῆσον ἅπασαν
„Τανταλίδου Πέλοπος. τάχα δ' εἴσιδεν ὄμβριμος ἥρως,
„Δεινοῖς ὀφθαλμοῖσιν ἔσω δρυὸς ἄμφω κοίλης,
„Κάστορα δ' ἱππόδαμον, καὶ ἀεθλοφόρον Πολυδεύκεα.

ΠΕΡΙ ΑΙΘΑΛΙΔΟΥ. μθ'.

Ὁ Αἰθαλίδης ὁ Ἑρμοῦ, ῥήτωρ δεινὸς ὑπάρχων,
Ἕνα μὲν λόγον πενθικὸν καὶ τῶν ἐπιταφίων,
Ἕνα τῶν χαρμοσύνων δὲ γράφων ἀεὶ ταῖς βίβλοις
Καὶ κατὰ τὸν Δημόκριτον αὐτὸν σὺν Ἡρακλείτῳ
Ἅμα δακρύων καὶ γελῶν τὸ ἄστατον τοῦ βίου,
Ἐλέχθη θνήσκειν τε καὶ ζῆν ἦμαρ ἀεὶ παρ' ἦμαρ.

ΠΕΡΙ ΑΡΙΣΤΕΑ. ν'.

Ὁ Ἀριστέας μὲν υἱὸς ἦν τοῦ Καϋστροβίου,
Τῷ γένει Προικοννήσιος τῶν εὐγενῶν καὶ πρώτων.
Οὗτος χαλκείῳ παρεισδὺς θνήσκει καὶ πίπτει νέκυς.
Κλείσας δ' εὐθέως ὁ χαλκεὺς ἐκεῖνο τὸ χαλκεῖον
Τοῖς συγγενέσι τὸ δεινὸν λέγει τοῦ Ἀριστέα.

---

707. ὡς additum e cd. B.

708. Vid. Lycophr. 447. 511. Euripid. Orest. 1651. Hel. 1515. (1495. Matth.) 1680. (1642.) Apollod. III, 11. s. 2. 5.

710. Vid. Mülleri Indicem scriptorum in Tzetzar. scholiis Lycophron. s. v. Στασῖνος.

714. ὄμβριμος pro ὄβριμος cd. B. In cd. A. superscriptum κύδιμος.

HIST. 49.

717. Vid. Apollon. I, 641. sqq. ibique scholia. Versus initio addidi ὁ articulum.

HIST. 50.

724. Nomen scribitur Προκόννησος, Προκόνησος, Προικόννησος, hic adeo Προικόνησος.

Οἱ δὲ δραμόντες ὀδυρμοῖς πάντες πρὸς τὸ χαλκεῖον,
Ἀνοίξαντες οὐδὲν εὗρον, οὐ νέκυν οὐδὲ ζῶντα.
Μετὰ δ' ἑπτὰ χρόνους φανεὶς πάλιν ὁ Ἀριστέας,
Ἔπη τὰ Ἀριμάσπεια λεγόμενα συγγράφει.
Καὶ πάλιν ἀφανίζεται τὸ δεύτερον καὶ θνήσκει.
Καὶ μετὰ διακόσια δὶς εἴκοσι τὰ ἔτη
Ἐφ' Ἡροδότου γέγονε, καὶ πάλιν ἀνεφάνη,
Ὥσπερ φησὶν Ἡρόδοτος· εἰ δ' ἀληθὲς οὐκ οἶδα.
Καὶ τίς αὐτὸν ἐγνώρισε, τίς ἔζησε τοσόνδε,
Ὥστε τοῖς ὕστερον εἰπεῖν· Ἡρόδοτε, σοῖς χρόνοις
Οὗτος ὁ Προικοννήσιός ἐστιν ὁ Ἀριστέας,
Ὃς ἔκπαλαι μὲν τέθνηκε, νῦν δ' ἀνεφάνη πάλιν;
Πλατύς μοι λῆρος φαίνεται καὶ ψυχρομυθουργία.

ΠΕΡΙ ΘΗΣΕΩΣ. να.

Θησεὺς υἱὸς ἦν Ἀττικοῦ Αἰγέως καὶ τῆς Αἴθρας,
Ὡς δὲ ἀνδρεῖον, ἔφασαν παῖδα τοῦ Ποσειδῶνος·
Τοὺς θυμικοὺς γὰρ σύμπαντας καὶ πάντας τοὺς ἀνδρείους
Υἱοὺς καὶ φίλους, ἐραστάς φασι τοῦ Ποσειδῶνος.
Οὗτός ποτε συνέθετο τῷ φίλῳ Πειριθόῳ,
Ὅπως Διὸς ἁρπάξωσι, τουτέστι βασιλέως,
Κόρην τινὰ καὶ γήμωσι. καὶ δή ποτε μολόντες
Εἰς χώραν γῆς τῶν Μολοσσῶν, ὧν βασιλεὺς ἦν Ἅιδης,
Οὗπερ γυνὴ Δημήτηρ ἦν, θυγάτηρ κλῆσιν Κόρη,
(Τὰς γὰρ εὐμόρφους Μολοσσοὶ κόρας καλοῦσι πάσας)
Καὶ κύων δὲ τρικέρβερος, φρικώδης τῷ μεγέθει·
Νύκτωρ ἐπέθεντο λαβεῖν αὐτοῦ τὴν θυγατέρα.
Κατασχεθέντων δὲ αὐτῶν, Πειρίθους μὲν ἐβρώθη
Τῷ τρικερβέρῳ τῷ κυνί, Θησεὺς δ' εἱρκτῇ κρατεῖται.
Ὡς δ' Ἡρακλῆς ὡς πρὸς αὐτὸν ἦλθέ ποτε τὸν Ἅιδην

---

731. ἔπη τὰ Ἀριμάσπεια recte cd. B. pro ἔπειτα Ἀριμάσπεια.

735. Herod. IV, 13 — 15.

740. γίνεται cd. B.

HIST. 51.

743. μυθικοὺς cd. B.

750. δὲ pro γὰρ cd. B.

Ὑπ' Εὐρυσθέως προσταγεὶς ἀπαγαγεῖν τὸν κύνα,
Καὶ τὸν Θησέα τῶν δεσμῶν ἀπέλυσεν εὐθέως·
Ὅθεν ἐκεῖνον ἔφασαν ἀναδραμεῖν ἐξ Ἅιδου.

ΠΕΡΙ ΠΡΩΤΕΣΙΛΑΟΥ. νβ'.

Οὗτος ὁ Πρωτεσίλαος υἱὸς ἦν τοῦ Ἰφίκλου·
Λιπὼν δὲ Λαοδάμειαν σύζυγον, νύμφην νέαν,
Σὺν τοῖς λοιποῖς τοῖς Ἕλλησι στρατεύει κατὰ Τρώων.
Πρὸ πάντων προπηδήσας δὲ πρῶτος ἁπάντων θνήσκει.
Οἱ μυθογράφοι δὲ φασίν, ὡραῖον ὄντα τοῦτον
Ἡ κόρη κατῳκτείρησεν ἰδοῦσα Περσεφόνη
Στέρησιν ὀδυρόμενον τὴν τῆς Λαοδαμείας.
Καὶ δέεται τοῦ Πλούτωνος, ζωοῖ δὲ τοῦτον πάλιν,
Καὶ τῇ συζύγῳ πέπομφε τὸν Ἅιδην πεφευγότα.
Ταῦτα μὲν μῦθοι φάσκουσι· τὰ δὲ τῆς ἱστορίας
Οὕτω πως λέγουσί τινες, ὡς ἀτρεκῆ καὶ μάλα,
Ὡς ἡ τοῦ Πρωτεσίλεω σύζυγος ἡ λεχθεῖσα
Τὴν συμφοράν, τὸν θάνατον, μαθοῦσα τοῦ συζύγου
Ξύλινον εἴδωλον ποιεῖ μορφῆς Πρωτεσιλάου,
Καὶ συνεκοίταζεν αὐτῇ τῷ πόθῳ τοῦ συζύγου,
Μηδόλως τούτου φέρουσα στέγειν τὴν ἀπουσίαν.
Ἄλλοι δὲ νύκτωρ εἴδωλον εἶπον ὁρᾶσθαι τούτου
Ἀεὶ συζύγῳ τῇ αὐτοῦ, ὅθεν ἐπλάσθη ταῦτα.
Ἐγὼ δ' αὐτὴν ἐπίσταμαι τὸν μόρον πυθομένην,
Τὸν νυμφικὸν τὸν στολισμὸν εὐθὺς ἐνδυσαμένην,
Φαιδρῷ προσώπῳ μάχαιραν πρὸς ἧπαρ ἐμβαλοῦσαν
Συντεθνηκέναι τῷ καλῷ συζύγῳ καὶ νυμφίῳ,
Ὥσπερ καὶ τὴν Εὐάδνην δὲ πρώην τοῦ Καπανέως
Αὑτὴν βαλοῦσαν εἰς πυρὰν τῷ πόθῳ τοῦ συζύγου.
Λουκιανός, Φιλόστρατος, γράφει τὴν ἱστορίαν,
Καί τινες ἄλλοι μέμνηνται καὶ ποιηταὶ καὶ νέοι.

HIST. 52.

774. στέγειν, *sustinere*, pro ἄγειν cd. B.

783. Lucian. Dial. Mort. 19. Philostrat. Prooem. 2.

ΠΕΡΙ ΑΛΚΗΣΤΙΔΟΣ. νγ'.

Ἄλκηστις ἡ Πελίου παῖς καὶ τῆς Ἀναξιβίας
Ἀδμήτῳ τῷ τοῦ Φέρητος καὶ τῆς Περικλυμένης
Εὔμηλόν τε γεγέννηκε καὶ Περιμήλαν γάμοις.
Ποτὲ δὲ θνήσκειν μέλλοντος Ἀδμήτου τοῦ συζύγου
Ἀπόλλων ἐξῃτήσατο χάριν ταῖς Μοίραις ταύτην,
Ὅπως ὁ Ἄδμητός τινα δοὺς ἀντὶ τούτου θνήσκειν
Αὐτὸς τοῖς ζῶσι συμπαρὼν συγχαίροι τοῖς φιλτάτοις.
Συννευσασῶν δὲ τῶν Μοιρῶν Ἄδμητος πάντας βλέπει,
Εἴ πως συγκατανεύσοι τις θανεῖν ὑπὲρ ἐκείνου.
Ὡς πάντες δ' ἀπηρνήναντο, τοῦτον θανεῖν εἰπόντες,
Πατὴρ καὶ μήτηρ γεραιὰ καὶ πᾶς χορὸς τῶν φίλων,
Αὐτὴ προθύμως δι' αὐτὸν τὴν τελευτὴν ὑπέδυ
Καὶ θνήσκει καὶ συγκρύπτεται, κἂν ἐξανέστη πάλιν.
Πρὸς Διομήδους ἵππους γὰρ ὁ Ἡρακλῆς ἐκτρέχων
Ξενοδοχεῖται δώμασι πενθοῦντι τῷ Ἀδμήτῳ.
Ὁ δὲ μηδόλως κατειπὼν τὴν συμφορὰν τῷ φίλῳ
Ἐκεῖνον δώμασί τισιν εἱστία λαμπροτάτως.
Αὐτὸς δὲ πένθει καρτερῷ καὶ συμφοραῖς καὶ γόοις
Τὴν ἐκφορὰν τὴν τοῦ νεκροῦ τῆς γυναικὸς ἐτέλει.
Ὁ δ' Ἡρακλῆς παρά τινος ἅπαν μαθὼν οἰκέτου,
Ὑπερθαυμάσας περισσῶς τὴν τοῦ ἀνδρὸς φιλίαν
Καὶ κατοικτείρας γυναικὸς τοιαύτης στερηθέντα,
Τὸ γόνυ πλήξας καρτερῶς ἀπὸ καρδίας ἔφη·
„Ὦ πολλὰ τλᾶσα καρδία καὶ χεὶρ ἐμή,
„Νῦν δεῖξον, οἷον παῖδά σ' ἡ Τιρυνθία
„Ἠλεκτρύωνος γείνατ' Ἀλκμήνη Διΐ.
„Δεῖ γάρ με σῶσαι τὴν θανοῦσαν ἀρτίως.“
Εἰπὼν τοιαῦτα πρὸς αὐτὸν κρύφα χωρεῖ τῷ τάφῳ,

HIST. 53.
790. Conf. ad Chil. III. 86.
791. συγχαίροι cd. B. pro συγχαίρει.
793. συγκατανεύσοι cd. B. pro indicativo, qui item recte ponitur.
802. κρατερῷ cd. B.
807. ἔφη pro ὤφθη cd. B.
808. Eurip. Alcest. 853. sqq.

Καὶ κατασχὼν μολήσαντα τοῖς αἵμασι τὸν Ἅιδην,
Ἕως αὐτῷ τὴν Ἄλκηστιν παρέσχεν, οὐκ ἀνῆκεν.
Ἣν καὶ λαβὼν ὑπόστροφος ἦλθεν Ἀδμήτῳ πάλιν.
Ἐκείνου δὲ δακρύοντος, θρηνοῦντος, κοπτομένου,
Ταύτην αὐτὸς παρέστησε πέπλοις ἐγκεκρυμμένην,
Ἄδμητε (λέγων) φύλασσε τήνδε μοι τὴν γυναῖκα·
Ἆθλον γὰρ νικητήριον ἀγῶνος ταύτην ἔσχον.
Θρηνοῦντος μᾶλλον δὲ τἀνδρὸς καὶ μὴ ἀνεχομένου,
Ἀποκαλύψας δείκνυσι. καὶ μόλις γνοὺς ἐκεῖνος,
Οἵα θεὸν ἐγέραιρε τὸν ἥρωα θυσίαις.
Ταῦτα μὲν μυθικώτερον· τὸ δ' ἀλληγορητέον.
Σὺν ἀδελφαῖς ἡ Ἄλκηστις ἄκουσα τὸν πατέρα
Μηδείας δόλοις κτείνασα προσφεύγει τῷ Ἀδμήτῳ.
Ὧι καὶ νομίμοις ζεύγνυται γάμοις, ὡς ἀπὸ γένους.
Ἄκαστος ταύτην δ' ἀδελφὸς ἐζήτει τῷ Ἀδμήτῳ,
Ὡς τιμωρίαν λάβοιε τοῦ φόνου τοῦ πατρῴου.
Ἀδμήτου μὴ διδόντος δὲ τοῦτον αὐτὸν κατέσχε
Σὺν παμπληθεῖ τῇ στρατιᾷ κατὰ Φερῶν στρατεύσας.
Ἀναιρεθῆναι δ' ὑπ' αὐτοῦ μέλλοντος τοῦ Ἀδμήτου
Ἄλκηστις δέδωκεν αὐτήν, Ἄδμητος δ' ἀπελύθη.
Καὶ συμφορὰν τῆς γυναικὸς ἐθρήνει καὶ τὸ πάθος.
Ἀλλ' Ἡρακλῆς ἐπιφανεὶς πάλιν αὐτῷ κομίζει,
Ἐκ τοῦ θανάτου σεσωκὼς καὶ τῶν χειρῶν Ἀκάστου.
Τοῦτο τὸ ἀλληγόρημα, τέκνον ἐμόν, μοι δοκεῖ,
Οἶμαι τοῦ Παλαιφάτου δὲ τοῦ Στωϊκοῦ τυγχάνει,
Κάλλιστον ὄν, οὐχὶ σαθρόν, οἷα τὰ πλείω γράφει.
Ἄλλου γοῦν δοκεῖ, μὴ ἐμὸν τοῦτο τυγχάνειν τέως.
Οὐδὲ γὰρ σφετερίζεσθαι πόνους τοὺς ξένους χρῄζω,

---

820. ἀνασχομένου cd. B.
826. καὶ pro ὡς cd. B.
827. δ' e cd. B. adiectum. Höger coniicit ἐξήτει.
828. λάβοιε est in cd. A. et edit. Basil. In cd. B. est λάθοι (α superscr.). Ut hic λάβοιε, ita Chil. III, 807. est φέροιε.
830. στρατεύσας cd. B. et margo cd. A. pro στρατεύων, quod habet edit. Basil. cum cd. A.
837. Palaephat. 42.

Οὐδ' ἐναβρύνεσθαι πτεροῖς, οἶσπερ ὁ μῦθος γράφει
Τὸν ξενοποικιλόπτερον τὸν κολοιὸν ἐκεῖνον.

ΠΕΡΙ ΕΥΡΥΔΙΚΗΣ. νδ'.

Ἡ Εὐρυδίκη σύζυγος ὑπῆρχε τοῦ Ὀρφέως.
Ταύτην ὑπ' ὄφεως φασὶ δηχθεῖσαν τεθνηκέναι,
Ἀνενεχθῆναι δὲ πρὸς φῶς πάλιν ἐκ τῶν νερτέρων,
Ὀρφέως Ἅιδην θέλξαντος καὶ Κόρην μουσουργίαις.
Τὸ δ' ἀλληγορικώτερον· ἢ λύπῃ βεβλημένην,
Λειποψυχοῦσαν νόσῳ τε δεινῇ, περικαρδίῳ,
Ἅπερ καὶ χείρω δήγματος τυγχάνουσι δρακόντων,
Τέρψας Ὀρφεὺς ἐξήλασε τῇ μουσικῇ τὸ πάθος·
Ἢ ὑπὸ ὄφεως αὐτὴν τῷ ὄντι δεδηγμένην
Καὶ κινδυνεύουσαν θανεῖν ταῖς ἐπῳδαῖς αἷς οἶδε,
Καὶ ἀγχινοίᾳ, μούσῃ τε καὶ τῇ πολυμαθείᾳ,
Ὡς πρὶν Δαβὶδ τὸ τοῦ Σαοὺλ δαιμόνιον ἐκεῖνο,
Αὐτὴν ἐζωοποίησεν· ὅθεν ἐλέχθη τάδε.
Ὅτι δ' Ὀρφεὺς ἠδύνατο τοιαῦτα θεραπεύειν,
Αὐτός φησιν ἐν Λιθικοῖς οὕτω τὰ ἔπη γράφων·
„Ὃν δέ κεν ἀνθρώπων πεπνυμένον ἦτορ ἀνώγῃ,
(Ἵνα τὰ πλεῖστα παρεικῶς εἴπω τὰ τελευταῖα,)
„Ἴδμεναι αἴκε θέλῃσι, δαήσεται ὅσσα τε φῶτες
„Κρυπτάδια σφετέρῃσιν ἐνὶ φρεσὶ μηχανόωνται,
„Ὅσσα τε κεκλήγασι μετὰ σφίσιν ἠεροφοῖται,
„Ἀνθρώποις ἄφραστον ἰακχάζοντες ἀοιδήν,
„Οἰωνοί, μεγάλοιο Διὸς κραιπνοὶ ὑποφῆται.
„Ῥοῖζόν τε στῆσαι χαμαὶ ἐρχομένοιο δράκοντος
„Εἴσεται, ἠδ' ὄφεων ἰὸν σβέσαι ἑρπυστήρων.
Οὕτως Ὀρφεὺς ἠπίστατο σύμπασαν θεραπείαν.

---

842. Fab. Aesop. 217. ed. C. E. Chr. Schneider.

HIST. 54.
857. Orph. Λιθ. v. 17. 43. sqq.

ΠΕΡΙ ΘΑΛΟΥ, ΠΥΘΑΓΟΡΟΥ, ΑΝΑΞΑΓΟΡΟΥ ΚΑΙ ΕΜΠΕΔΟΚΛΕΟΥΣ.

ἀπὸ νέ ἄχρι καὶ ὅλης νή.

Δέχου τὸ τετραΐστορον ὡς μίαν ἱστορίαν.
Θαλῆς σοφὸς Μιλήσιος, εἷς τῆς σοφῶν ἑπτάδος,
Τοῦ Ἀσσυρίου μαθητὴς ὑπάρχων Φερεκύδους,
Ἐκλείψεις περιόδους τε σελήνης εὗρε πρῶτος,
Ἐν χρόνοις ὢν τοῖς τοῦ Λυδοῦ Κροίσου τοῦ πολυχρύσου,
Ὧι καὶ προεῖπεν ἔκλειψιν γενέσθαι σεληναίαν.
Οὗ γεγονότος, ἅπαντας τότε πρὸς θάμβος ἦξεν·
Ἀσύνηθες εἰσέτι γὰρ ἔκλειψις ἦν σελήνης.
Τινὲς μὲν τοῦτον ἔφασαν ἐφευρετὴν ὧν ἔφην·
Οἱ δὲ τῷ Ἐνδυμίωνι προσάπτουσιν ἐκεῖνα·
Ὅθεν Σελήνην τοῦ ἀνδρὸς ἔφασαν ἐρασθῆναι.
Ἄλλοι πρὸ Ἐνδυμίωνος λέγουσι τοὺς Ἀρκάδας,
Ὅθεν ἐκάλεσαν αὐτούς τινες καὶ προσελήνους.
Τινὲς δ' αὐτοὺς ὡς ὑβριστὰς ἔφασαν προσελήνους.
Τὸ γὰρ ὑβρίζειν προσελεῖν καλεῖται παρ' ἑτέροις.
Τέως οἱ πλείους τῷ Θαλῇ προσάπτουσιν ἐκεῖνα,
Ὡς Παυσανίου Μέτωνι τὰς δωδεκετηρίδας,
Ἐννεακαιδεκάδας τε πάσας τὰς τῆς σελήνης,
Καὶ Πτολεμαίῳ μετ' αὐτὸν καί τισιν ἄλλοις πόσοις,
Καί τοι πρὸ πάντων γράψαντος Ὀρφέως πάντα ταῦτα.
Ὁ Πυθαγόρας δὲ υἱὸς Μνησάρχου τοῦ Σαμίου
Οὐ μόνον προεγίνωσκε καλῶς αὐτὸς τὰ πάντα,
Ἀλλά γε καὶ τοῖς χρήζουσι τὰ μέλλοντα γινώσκειν
Προγνωστικὰ κατέλειψε διάφορα βιβλία.

HIST. 55 — 58.
[illegible] *ἔχω* pro *δέχου* cd. B. [illegible] vers. seq. *τῶν σοφῶν με-*[illegible]
[illegible] *Φερεκύδου* pro *Φερεκύ-*[illegible] cd. B.
[illegible] Herod. I, 74.

882. Scripsi *προσελεῖν* pro *προσελοῦν*, ut IV, 814.
884. Vid. Aelian. Var. Hist. X, 7. ibique interpr. I[illegible] Ideler, histor. Untersuch. [illegible]b. d. astron. Beobachtg. d. Alten, p. 194.

Ὁ δέ γε Κλαζομένιος πάλιν Ἀναξαγόρας
Ἐξ οὐρανοῦ προέφησε λίθους κατενεχθῆναι·
Ἐν ποταμοῖς τοῖς τῆς Αἰγὸς (Θράκης δὲ τοῦτο πόλις)
Καὶ γέγονεν ἐσύστερον, μὴ ψευσαμένου τούτου.
Καὶ ὄμβρους δὲ κατέπαυσεν ἀνέμων τε τὰς βίας,
Ὥσπερ καὶ πᾶς ἐκ τῶν σοφῶν, ὧνπερ τανῦν εἰρήκειν.
Ἐμπεδοκλῆς δὲ μάλιστα πλέον τῶν ἄλλων πάντων,
Ὅθεν αὐτὸν τεθείκασι κλῆσιν κωλυσανέμαν,
Ὡς ἤδη παύσαντά ποτε σφοδρὰν πνοὴν ἀνέμου.
Ἦν δ' οὗτος παῖς Μελίτωνος, γένους Ἀκραγαντίνων,
Τοῦ Πυθαγόρου μαθητὴς καὶ Τηλαυγοῦς ὑστέρως,
Ὁ Τηλαυγὴς δὲ Θεανοῦς υἱὸς καὶ Πυθαγόρου.
Ὅτι δὲ δρᾶν Ἐμπεδοκλῆς ἦν ἱκανὸς τοιάδε,
Ἀκούων τούτου τῶν ἐπῶν μάνθανε σαφεστέρως.
„Φάρμακα ὅσσα γεγᾶσι, κακῶν καὶ γήραος ἄλκαρ
„Πεύσῃ, ἐπεὶ μούνῳ σοι ἐγὼ κρανέω τάδε πάντα.
„Παύσεις δ' ἀκαμάτων ἀνέμων μένος, οἵτ' ἐπὶ γαῖαν
„Ὀρνύμενοι πνοιαῖσι καταφθινύθουσιν ἀρούρας,
„Καὶ πάλιν, ἤν κ' ἐθέλησθα, παλίντιτα πνεύματ' ἐπάξεις,
„Στήσεις δ' ἐξ ὄμβροιο κελαινοῦ καίριον αὐχμὸν
„Ἀνθρώποις, στήσεις δὲ καὶ ἐξ αὐχμοῖο θερείου
„Ῥεύματα δενδρεόθρεπτα, τά τ' αἰθέρινα θήσονται.
„Ἄξεις δ' ἐξ Ἀΐδαο καταφθιμένου μένος ἀνδρός.
Καὶ ταῦτα μὲν εἰρήκειμεν περὶ Ἐμπεδοκλέους.
Ἐπεὶ δ' ἄνωθεν ἔφημεν περὶ σοφῶν ἑπτάδος,
Ἅπας ὁ χρῄζων ἐκμαθεῖν, τούτους ἐκμανθανέτω·

---

893. Cf. Diog. Laert. II, 10. In marg. cd. A. adnotatum προείρηκε.

899. Ἀλεξανέμας dictus est. Vid. Iamblich. de Vit. Pythag. §. 136.

906. Ex reliquiis τῶν καθαρμῶν v. 399. sqq. ed. Sturz. p. 531. Obss. p. 660. sqq. — In cd. B. est γεγῶσι.

907. μένῳ pro μούνῳ cd. B.

910. τί το πνεῦμα τ' ἐπάξεις cd. B.

913. In Sturz. edit. haec sic se habent: ῥεύματα δενδρεόθρεπτα, τά τ' ἐν θέρει ἀτμίζοντα. In cd. B. est ἤσονται pro θήσονται.

917. μανθάνειν cd. B.

Σόλων, Θαλῆς, Περίανδρος καὶ Πιττακὸς καὶ Χίλων
Καὶ Βίας καὶ Κλεόβουλος, ἑπτὰς ἡ σοφωτάτη.

ΠΕΡΙ ΛΑΪΟΥ. νθ'.

Λάϊός τις φιλόσοφος ἐν χρόνοις Ἀντιόχου
Καὶ τελεστὴς καὶ μυστικὸς καὶ τερατοεργάτης,
Λοιμοῦ τὴν Ἀντιόχειαν μεγάλου κατασχόντος,
Ξέσας ἐν πέτρᾳ πρόσωπον Χάρωνος θείς τε πόλει,
Τὴν νόσον ἐξωστράκισε μακρὰν Ἀντιοχέων.

ΠΕΡΙ ΑΠΟΛΛΩΝΙΟΥ ΤΟΥ ΤΥΑΝΕΩΣ. ξ'.

Ὁ Ἀπολλώνιος αὐτὸς Νέρωνος ὢν ἐν χρόνοις,
Ὁ Τυανεύς, ὁ πάνσοφος, ὁ προειδὼς τὰ πάντα,
Ἀντιοχείᾳ μὲν ποιεῖ, ναὶ μὴν καὶ Βυζαντίῳ,
Μὴ παρεισδύνειν κώνωπας ἕτερά τε τοιαῦτα.
Καὶ πελαργοὺς ἐγγλύψας δὲ πώποτε μαρμαρίνους
Ἐκ Βυζαντίου πελαργοὺς ἐξήλασε μακρόθεν,
Ὄφεις νεκροὺς δεξαμεναῖς ῥιπτοῦντας Βυζαντίων,
Καὶ τῷ φαρμάκῳ κτείνοντας τοὺς πίνοντας ἀθρόως.
Ποτὲ γὰρ ἔθνος βάρβαρον ἐλαύνει Βυζαντίοις,
Ἀποδημοῦντος ἄνακτος τότε τοῦ Βυζαντίων,
Οἱ βάρβαροι τῇ πόλει δὲ προσέβαλον ἀθρόως.

---

919. ἦν ἡ cd. B.

HIST. 59.

920. *Λάϊος* ex cd. B. In cd. A. vocatur *Λαΐιος*.

922. λοιμοῦ pro λιμοῦ cd. B.

HIST. 60.

925. Hoc caput repetiit Olearius in sua Philostratorum operum edit. p. 372.

926. Conf. vitam Apollonii a Philostrato concinnatam libr. VII. c. 14. adde libr. I. c. 19. et Euseb. adv. Hierocl. cap. 7. *Olear.*

928. Conf. ea de re Ioann. Malalam Chronogr. pag. 342. et Cedren. Chron. pag. 194. 246. *Olear.*

929. Ea de re quoque egere scriptores citati. *Olear.* In cd. B. ἐκλείψας pro ἐγγλύψας.

932. καὶ τοὺς φαρμ. κτείναντας cd. B.

934. Frustra eam rem alibi expositam quaeras, perinde ac nomen Principis illius eiusque coniugis. Manifestum est acta haec fuisse, priusquam Romanis Principibus pareret Byzantium. *Olear.* In cd. B. τῶν pro τοῦ.

Ἡ τοῦ κρατοῦντος δὲ γυνὴ τῶν ἐχεφρόνων οὖσα,
Ἐν ὀστρακίνοις σκεύεσιν ὄφεις πως βαλοῦσα,
Πᾶσι πολίταις δέδωκε τοῖς ἑαυτῆς πατρίδος
Ἀπὸ τοῦ τείχους σφενδονᾶν πρὸς στρατιὰν βαρβάρων.
Οὗ γεγονότος, ὄλεθρος ἐμπίπτει τοῖς βαρβάροις,
Ὡς κατ᾽ αὐτῶν τῶν ὄφεων τότε στρατευομένων.
Εἰς τὰς πατρίδας τολοιπὸν στραφέντων τῶν βαρβάρων
Οἱ ὄφεις ἐπεστράτευσαν κατὰ τῶν Βυζαντίων,
Πολλοὺς αὐτῶν ἐνδήγμασι κτείνοντες ἰοβόλοις.
Εἶτα στρατός τις πελαργῶν τοὺς ὄφεις ἀναλίσκει.
Ὡς δὲ τοὺς ὄφεις πρὸς αὐτὰς δεξαμενὰς ἐῤῥίπτουν,
Καὶ πλείονα τὸν ὄλεθρον ἔδρων τοῖς Βυζαντίοις,
Τοὺς μαρμαρίνους πελαργοὺς οὓς ἔφην στοιχειώσας,
Ὁ Ἀπολλώνιος αὐτὸς τοὺς ἀληθεῖς ἐλαύνει.
Οὗτος προεῖπε καὶ σεισμὸν Ἀντιοχείας πόλει,
Καὶ περὶ Νέρωνος αὐτοῦ προεῖπε τοῦ τυράννου.
Μετὰ μικρὸν δὴ γίνεται μέγα τι καὶ οὐ μέγα.
Καὶ δή ποτε τοῦ Νέρωνος πίνοντος ἐν τραπέζῃ,
Σκηπτὸς χεθεὶς ἐξήρπασεν ἐκ τῆς χειρὸς τὸ σκύφος,
Βλάβη δ᾽ οὐδόλως γέγονεν ἐκείνῳ τῷ τυράννῳ.
Καί ποτε πάλιν κρατηθεὶς σὺν ἄλλοις ἀστρολόγοις
Πρὸς Δομετιανὸν εἶπεν, εἰπόντα τοῦτον κτεῖναι·
„Οὐ μέν με κτενέεις, ἐπεὶ οὔ τοι μόρσιμός εἰμι.“
Καὶ δὴ καρεὶς μὲν τὴν μακρὰν ἣν εἶχε γενειάδα,
Παρενεβλήθη τῇ εἱρκτῇ μέλλων ἀναιρεθῆναι,
Μιᾷ ῥοπῇ ἐφάνη δὲ τόποις Δικαιαρχείας.

---

938. τῆς pro τοῖς cd. B.
944. ἐνδήγμασι, recte cd. B.
750. Conf. Philostr. lib. VI. c. 38. et ad eum locum a nobis observata. *Olear.*
951. Vid. Philostr. lib. IV. c. 45. *Id.*
953. καὶ δὴ τότε cd. B.
954. ἐξήρπαξεν τὸν σκύφον cd. B. ut etiam margo cd. A.
957. Consulendus Philostrat. libr. VIII. cap. 6. et 9. *Olear.* Iliad. XXII, 13.
958. Vid. Philostr. lib. VIII. c. 34. *Olear.*
961. Nempe paulo ante meridiem causam Romae apud Domitianum qui dixisset, ipsa meridie Puteolos venit, quod superat ordinarias naturae vires,

Εἶτα πρὸς Ἔφεσον ἑστὼς τῆς Ἰωνίας πόλιν,
Ἐν Ῥώμῃ τοῦ τυράννου δὲ τῷ τότε κτεινομένου,
Ὥσπερ ἐκεῖσε παρεστὼς καὶ βλέπων πάντα ταῦτα,
Παῖε τὸν ἀλιτήριον, παῖε, συχνῶς ἐβόα.
Ὡς δὲ συνέβη πρὸς μικρὸν τὸν τύραννον ἐνστῆναι
Καὶ τὸν ἐχθρὸν καταβαλεῖν, ὠχρία πάλιν οὗτος,
Ἕως ἐλθών τις δεύτερος συναρηγὼν Στεφάνου
Τὸν Στέφανον ἀνήγειρε, καὶ κτείνουσιν ἐκεῖνον.
Οἶδα μυρία τοῦ ἀνδρὸς Ἀπολλωνίου τούτου,
Προῤῥήσεις καὶ τεράστια, μακρὸν δὲ λέγειν πάντα·
Ὅθεν τὸν λόγον ἐνθαδὶ τὸν περὶ τούτου παύω.
Γράφουσι ταῦτα πάτρια καὶ χρονικῶν τι πλῆθος,
Φιλόστρατος καὶ Μάξιμος ὁμοῦ καὶ Μοιραγένης,
Καὶ πλῆθος ἄλλο πάμπλειστον, οὕσπερ οὐ σθένω λέγειν.

---

quae tantillo spatio id itineris conficere humano corpori negat. Hocque est quod tanquam singulare hic observat Tzetzes. Conf. Philostr. lib. VIII. c. 12. *Olear.* *Puteoli* Graecis dicuntur *Δικαιάρχεια*. Vid. Cellarii Notit. O. A. T. I. p. 839. sq.

962. Sequentem historiam habes apud eundem lib. cit. c. 25. 26. et Dion. Cassium sub fin. libr. LXVII. (pag. 1116. Reim.) *Olear.* Pro *τυχὼν* cd. B. cum marg. cd. A. offert *ἑστώς*, quod reposui.

966. *ἐκστῆσαι* pro *ἐνστῆναι* cd. B., male.

973. *Πάτρια*, nempe Tyanis, quae patria Apollonio, templum viri et sacra fuere, in quo templo asservata haud pauca, quae ad memoriam eius pertinent, fuisse, pariter ac in ipsis urbis *ἀρχείοις*, quis dubitet? Sic enim Philostr. ex urbibus, h. e. publicis urbium monimentis et templis se plura collegisse ait ad Apollonium spectantia lib. I. c. 2. Illa igitur quae Tyanis reperiebantur, sunt quae *πάτρια* hic Tzetzae dicuntur. *Olear.*

Χρονικῶν τι πλῆθος. An intelligit annales in urbibus asservatos, ex quibus Philostratus profecit? an recentiorum Chronographorum scripta, qualia hodie quoque supersunt, in quibus Apollonii mentio, Cedreni, Malalae, Codini? *Olear.*

974. *Μάξιμος.* Multi Maximi. Aegiensis nullam invenio mentionem praeterquam ap. Tzetz. Chil. II, 60. 61. nec video cur doctiss. Vossius eum intelligi neget ap. eundem chil. IX. hist. 291. Certe de Aegiensium rebus ibi agitur. Laudavit hunc Maximum etiam Hierocles in *λόγου φιλαλήθους πρὸς Χριστιανοὺς* fragmento, quod conservavit Eusebius in lib. adv. Hieroclem c. 11. *Olear.* ad Philostr. lib. I. c. 3. p. 5. — *Moeragenes*, obscurus auctor; meminit tamen praeter Tzetz. chil. II. hist. 61. Origen. l. VI. contra Celsum p. 302. *Olear.* l. c.

975. *πλῆθος ἄλλο παμπλ.*, in

Καὶ σοῦ δὲ τὸ περίεργον, ἄκαιρόν ἐστι, τέκνον,
Ἀναζητεῖν καὶ τὰ σαφῆ τίσι βιβλίοις κεῖται,
Καὶ τοὺς ἐμοὺς καινοτομεῖν οὕτω ματαίως χάρτας.

ΠΕΡΙ ΔΗΜΟΚΡΙΤΟΥ. ξά.

Ὁ Ἀβδηροδημόκριτος, ὁ παῖς Ἡγησιστράτου,
Τοῦ δὲ Λευκίππου μαθητής, τοῦ μαθητοῦ Μελίσσου,
Ὡς ἀληθῶς φιλόσοφος πάντα καλῶς γιγνώσκων,
Ἀεὶ τὴν ματαιότητα τοῦ βίου διεγέλα.
Οἱ δ' Ἀβδηρῖται δόξαντες μελαγχολᾶν τὸν ἄνδρα,
Δεκαταλάντους δωρεὰς πέμψαντες Ἱπποκράτει,
Ἱκέτευον ἰάσασθαι τῷ ἰατρῷ τῷ Κῴῳ.
Ὁ δ' ἰατρὸς ἐκπεπλευκώς, καὶ δίχα τῶν χρημάτων,
Ἰδὼν Δημόκριτον αὐτὸν πάλιν ἀνθυπεστράφη
Πλέον αὐτὸς θεραπευθεὶς ἢ θεραπεύσας τοῦτον,
Ὁμολογῶν τε χάριτας πᾶσι τοῖς Ἀβδηρίταις,
Ὅτι τοιοῦτον δι' αὐτοὺς ἄνδρα σοφὸν ἐγνώκει.
Τοῦτον οὖν τὸν Δημόκριτον, πάνσοφον ὑπηργμένον,
Ἄλλα μυρία λέγουσι δρᾶσαι τῶν τεραστίων,
Καί γε τὸν Ἅιδην κατασχεῖν τρεῖς ὅλας ἐφ' ἡμέρας
Ἄρτων θερμοῖς ἐν ἄσθμασι τοῦτον ξενοδοχοῦντα.
Πολλοί φασι τὰ τοῦ ἀνδρὸς καὶ Κῷος Ἱπποκράτης.
Ἐπιγραμματογράφος τέ τις γράφει τὸ τοῦ Ἅιδου·
„Καί τις ἔφυ σοφὸς ὧδε; τίς ἔργον ἔρεξε τοσοῦτον,
„Ὅσσον ὁ παντοδαὴς μήνυσε Δημόκριτος;
„Ὃς θάνατον παρεόντα τρί' ἤματα δώμασιν ἔσχε,
„Καὶ θερμοῖς ἄρτων ἄσθμασιν ἐξένισεν.“

---

quibus Damis in primis, Lucianus, Dio Cassius, Eunapius, Hierocles, Eusebius, Lactantius, Aeneas Gazaeus, ex paulo antiquioribus nominandi. Suidam et Byzantinos scriptores atque alios qui res Apollonii attigerunt, nunc taceo. *Olear.*

HIST. 61.

996. Est Diogenis Laert. lib. IX. p. 657. ed. Casaub. Antholog. Tom. I. p. 237. ed. Tauchn. In marg. cd. A. appositum est nomen ὁ Διογενιανός.

ΠΕΡΙ ΤΡΙΤΑΙΧΜΟΥ ΤΟΥ ΑΡΤΑΒΑΖΟΥ ΥΙΟΥ. ξβ΄.

CHILIAS III.
Τὴν τοῦ Τριταίχμου σύμπασαν εἰς πλάτος ἱστορίαν
Ἔχεις κειμένην ἀκριβῶς ἐν τῷ ἐπιστολίῳ·
„Ἧπερ ὁ Βαβυλώνιος υἱὸς τοῦ Ἀρταβάζου
„Τριταίχμης ὁ ἀγέρωχος ἐκεῖνος ἐγαυρία
„Κτηνοτροφίᾳ περισσῇ, προσόδῳ τε χρημάτων.
„Τούτῳ φορβάδες ἵπποι γὰρ χωρὶς τῶν ἄλλων πάντων
„Μυριοστὺς καὶ χιλιὰς ἑξάκις μετρουμένη,
„Κήλωνες ὀκτακόσιοι χωρὶς τῶν ἐν πολέμοις,
„Κύνες μόλις τρεφόμενοι ἐν τέτρασι χωρίοις,
„Ἡμερησία πρόσοδος ἐκ τῶν λοιπῶν χωρίων
„Ἀρτάβη πλήρης, γέμουσα χρυσείων νομισμάτων.

ΠΕΡΙ ΕΡΙΧΘΟΝΙΟΥ. ξγ΄.

Τὸν Ἐριχθόνιον αὐτὸν Ὅμηρος νῦν λεγέτω·
„Δάρδανον αὖ πρῶτον τέκετο νεφεληγερέτα Ζεύς·
„Κτίσσε δὲ Δαρδανίην, ἐπεὶ οὔπω Ἴλιος ἱρὴ
„Ἐν πεδίῳ πεπόλιστο, πόλις μερόπων ἀνθρώπων
„Ἀλλ' ἔθ' ὑπωρείας ᾤκεον πολυπίδακος Ἴδης.
„Δάρδανος αὖ τέκεθ' υἱόν, Ἐριχθόνιον βασιλῆα·
„Τοῦ τρισχίλιαι ἵπποι ἕλος κάτα βουκολέοντο,
„Πᾶσαι θήλειαι, πολλῇσι δὲ πῶλοι ὑπῆσαν.
„Τάων καὶ Βορέης ἠράσσατο βοσκομενάων.

HIST. 62.

1. Apud Herodot. I, 182. vocatur Τριτανταίχμης. Vide ibi Wessel.

2. Chil. IV, 532. sqq. ἐπιστολιμαίῳ cd. B.

3. ἧπερ scripsi pro ἥπερ, ut vs. 31.

6. γὰρ pro τε cd. B.

HIST. 63.

13. Iliad. XX, 215. sqq.

14. κτίσε cd. B.

16. In cd. A. utraque forma πολυπίδακος et πολυπιδάκου est coniuncta.

ΠΕΡΙ ΙΩΒ. ξδ'.

Ἰὼβ Αὐσίτης ἦν ἀνὴρ καὶ προφητῶν δὲ πρῶτος,
Θεοσεβής, ἀληθινός, δίκαιος, μώμου δίχα,
Ἀγροὺς μεγάλους καὶ πολλὴν ἔχων ὑπηρεσίαν,
Καμήλους τε καὶ πρόβατα, βόας ὁμοῦ καὶ ὄνους,
Πεντακοσίας μόνας μὲν θῆλυς νομάδας ὄνους,
Καὶ πεντακόσια βοῶν τῶν ἀροτήρων ζεύγη,
Ἑπτὰ χιλιοστύας δὲ προβάτων τῆς ἀγέλης.
Καὶ τρισχιλίαν κάμηλον, ἄλλα πολλὰ σὺν τούτοις,
Ὡς βίβλος τούτου τοῦ Ἰὼβ πάντα ταυτὶ διδάσκει.

ΠΕΡΙ ΠΥΘΙΟΥ ΤΟΥ ΛΥΔΟΥ. ξε'.

Ἔχεις καὶ τὴν τοῦ Πυθίου σύμπασαν ἱστορίαν
Ἐν τῷ ἐπιστολίῳ μου στενῶς πεπλατυσμένος
Τοῦτο παρῆκα πρὶν εἰπεῖν, ἀλλ' εἶπον ἐν ἑτέροις.
Ἡ ἡμερήσιος τροφὴ στρατῷ παντὶ τῷ Ξέρξου
Τάλαντα τετρακόσια λιτῶς ἦν τρεφομένοις.
Πανστρατιᾷ δὲ Πύθιος τοῦτον ξενίσας τότε
Λαμπρῶς πάντας εἱστίασε τραπέζαις ἁβροτάταις.
Τὰ δ' ἃ Δαρείῳ δέδωκεν, ὕστερον δὲ τῷ Ξέρξῃ,
Ἔχει τὸ ἐπιστόλιον εἰς πλάτος γεγραμμένα.

ΠΕΡΙ ΗΡΑΚΛΕΙΟΥ. ξς'.

Χοσρόης ἄναξ ἦν Περσῶν ἐν χρόνοις Ἡρακλείου
Τοῖς ἀνακτόροις τοῖς αὐτοῦ τοῖς περὶ τὴν Περσίδα
Ἐν τοῖς ὀρόφοις οὐρανὸν ἔχων τεχνιτευθέντα,
Ἐξ οὗ βρονταὶ καὶ κεραυνοὶ μηχανητοὶ καὶ ὄμβροι,
Ἑστιωμένων πρέσβεων, ἐῤῥήγνυντο πρὸς θάμβος.

HIST. 65.

30. Herod. VII, 27. sqq.

31. Si corruptum *πεπλατυσμένος* mutes in *πεπλατυσμένην*, non convenit *στενῶς*.

HIST. 66.

39. Heraclius ab anno 610. ad 641. a Chr. nat. regnavit, et cum Chosroe, cuius sedes regia fuit Artemita (Dastagerd), iterum ab anno 622. sex annos continuos bellum gessit. Conf. Cedren. p. 408. sq. p. 412. sqq. Zonarae Annal. XIV, 16. p. 84.

Ἑπτὰ δὲ χρόνοις πολεμῶν Ἡράκλειος τοῖς Πέρσαις,
Σκάπτων Περσίδα σύμπασαν καὶ πυρπολῶν καὶ καίων,
Καὶ τὸν πυρφόρον οὐρανὸν κατέκαυσεν ἐκεῖνον
Σὺν τοῖς Χοσρόου σύμπασιν οἷς εἶπον ἀνακτόροις,
Καὶ πῦρ Περσῶν κατέσβεσεν, ὅπερ εἰς σέβας εἶχον,
Ἐκ κεραυνοῦ μὲν ἀναφθὲν ὑπὸ Περσέως πάλαι,
Λυχνοκαΐας δὲ πυρσοῖς τοῖς ἀειδιαδόχοις
Καὶ συνεχέσι δὲ πυῤῥαῖς, μεγάλαις, λαβροτάταις,
Ἐπιμελῶς τηρούμενον μέχρι τοῦ τότε χρόνου,
Ὑφ' Ἡρακλείου δὲ σβεσθέν, μέγα πένθος Περσίδι.
Οἱ χρονικοὶ ταῦτά φασι, καὶ σὺν αὐτοῖς Πισίδης.
Ἐμνήσθην δέ που καὶ αὐτὸς τοῦ οὐρανοῦ ἐκείνου,
Ἰάμβους γράψας εἰς ναόν, ὧν τοὺς πολλοὺς ἐάσω.
Τοὺς δὲ ἐντεῦθεν λέξαιμι, κλέμμα σοι γεγονέναι.
„Καὶ τί πρὸς αὐτὸν οὐρανὸν τοῦ Χοσρόου
„Μηχανοτευχεῖς ἐξ ἐπομβρῶν τὰς δρόσους,
„Γέρον Συρακούσιε νῦν γεωμέτρα,
„Ὁ γῆν ἀνασπῶν μηχανῇ τῇ τρισπάστῳ,
„Βοῶν, ὅπα βῶ καὶ σαλεύσω τὴν χθόνα;
„Ἔα παρασπᾶν τοὺς ἀσαλεύτους ὅρους,
„Ἡττῶ γυναικὸς μηχαναῖς εὐμηχάνοις.

ΠΕΡΙ ΠΤΟΛΕΜΑΙΟΥ. ξζ΄.

Ὁ Χῖος ὁ Θεόκριτος γράφει τὸν Πτολεμαῖον,
Τὸν Πτολεμαίου Λαγωοῦ υἱὸν καὶ Βερενίκης,
Τρισχιλιοτρισμυρίων τετρακοσίων ἅμα,
Δεκαοκτώ τε πόλεων τυγχάνειν βασιλέα.
Καὶ δὴ λοιπὸν κατὰ ῥητὸν μάνθανε καὶ τὰ ἔπη·
„Πολλᾶς δὲ κρατέει γαίας, πολλᾶς δὲ θαλάσσας.

---

53. De Georgio Pisida vid. Vossius de histor. gr. p. 277. sq.

55. Pro δέ που cd. B. δεσπότου. Idem ἐμνήσθη. Indidem inserui τοῦ.

58. τί pro τίς recte cd. B. Pro οὐρανὸν erat οὐρανός.

62. Ὅπα recte cd. B. Conf. Chil. II, 130.

HIST. 67.

65. Theocrit. XVII, 76. sqq.

„Μυρίαι ἤπειροί τε καὶ ἔθνεα μυρία φωτῶν.
„Τρεῖς μέν' οἱ πτολίων ἑκατοντάδες ἐνδέδμηνται,
„Τρεῖς δ' ἄρα χιλιάδες τρισσαῖς ἐπὶ μυριάδεσσι,
„Δοιαὶ δὲ τριάδες, μετὰ δέ σφισιν ἐνδεκάδες τρεῖς.
„Τῶν πάντων Πτολεμαῖος ἀγάνωρ ἐμβασιλεύει.

ΠΕΡΙ ΓΑΪΟΥ ΙΟΥΛΙΟΥ ΚΑΙΣΑΡΟΣ. ξή.

Ὁ Γαΐος Ἰούλιος ὁ Καῖσαρ ὁ Ῥωμαῖος
Εἴκοσι χρόνων πεφυκὼς ἀκμῇ τῆς ἡλικίας
Τοὺς Ῥώμης ὅρους ηὔξησεν καὶ σκῆπτρα τὰ Ῥωμαίων
Μέχρι καὶ νήσων Βρετανῶν δουλώσας τοὺς βαρβάρους.
Ὅθεν θεὸς Ἰούλιος ἐκλήθη τοῖς Ῥωμαίοις,
Ταύτην καλὴν ἐκ πράξεων εὑρὼν ἐπωνυμίαν.
Διόδωροι καὶ Δίωνές καὶ πλείους φασὶν ἄλλοι.

ΠΕΡΙ ΣΕΣΩΣΤΡΙΔΟΣ. ξθ'.

Ὁ Ἀσσυρίων βασιλεὺς ὁ Σέσωστρις ἐκεῖνος,
Κατὰ δὲ τὸν Διόδωρον Σεσόωσις τὴν κλῆσιν,
Τῶν Ἀσσυρίων μοναρχῶν, ἦρχε τῆς γῆς ἁπάσης,
Ζευγνύων ἐν τῷ ἅρματι τούτου τοὺς βασιλέας,
Καὶ ὑπ' αὐτῶν συρόμενος, ὥσπερ ὑφ' ἵππων ἄλλοι,
Καὶ κοσμοκράτωρ καὶ θεὸς ἐκέκλητο τοῖς τότε.
Τούτου ποτέ τις βασιλεὺς κατέστειλε τὸν τῦφον,
Τῆς τύχης τὸ ἀσύστατον δι' αἰνιγμῶν προδείξας.
Ἕλκων τὸ ἅρμα γὰρ αὐτὸς τὰς τροχιὰς ἑώρα.

---

74. Quod in cd. A. et edit. Basil., fortasse etiam in cd. B., legitur ἐννέα καὶ pro ἐνδεκάδες, videtur merum sphalma scribendi esse.

HIST. 68.

77. De aetate somniavit Tzetzes.

78. τῆς pro τοὺς et τῶν pro τὰ cd. B.

79. Βρεττανῶν cd. B. Vid. Cellar. Geogr. antiq. I. p. 401.

81. ἐπάξιον cd. B.

82. Vid. Diod. Sic. III, 38. p. 205. Wess.

HIST. 69.

83. τῶν Ἀσσ. cd. B.

84. Diod. Sic. I, 53. ubi v. Steph. et Wess.

86. Eundem hic pronominis demonstrativi pro reflexivo usum perquam mirum animadvertas, quem Chil. II, 790.

Βραδεῖαν δὲ τὴν βάδισιν οὕτως ὁρῶν ἐποίει.
Ὡς δὲ πρὸς τοῦτον ἔλεξεν ὁ Σέσωστρις ἐκεῖνος,
Τί καταργεῖς πρὸς τὴν ὁδόν, ἄνθρωπε; τάχει λέγε·
Ὁ δέ, τροχῶν τὰς συστροφὰς βλέπων, φησίν, οὐ τρέχω.
Γνοὺς τοιγαροῦν ὁ Σέσωστρις, ὅπερ αὐτὸς ἐδήλου,
Συστέλλει τὸ ἀγέρωχον, ἀποζευγνύει τούτους.
Καὶ τοῦ λοιποῦ τοῖς σύμπασιν ἦν πρᾷός τε καὶ σώφρων.
Κτησίας καὶ Ἡρόδοτος, Διόδωρος καὶ Δίων,
Καὶ Καλλισθένης σὺν αὐτοῖς, Σιμόκατος καὶ ἄλλοι
Τῆς ἱστορίας μέμνηνται στενῶς, οἱ δὲ πλατέως.

ΠΕΡΙ ΤΟΥ ΚΑΤΩΝΟΣ. ό.

Ἐξ Ἰταλῶν Αἰνεαδῶν Ῥωμαίων τῶν Αὐσόνων
Ὁ Κάτων οὗτος ὁ κλεινὸς ἕλκων τὴν ῥιζουχίαν
Ὕπατος ἦν ἀριπρεπὴς καὶ στρατηγὸς Ῥωμαίων,
Θριάμβους τε καὶ τρόπαια καταγαγὼν μυρία.
Οὗτος τὸν ἴδιον υἱὸν πᾶσι καλῶς παιδεύει,
Αὐτὸς διδάσκων ἀκριβῶς καὶ νουθετῶν τὰ πάντα,
Ὅσα συνοίσει πρὸς ψυχήν, ὅσα πρὸς πολιτείαν,
Ὅσα πρὸς ῥώμην, πρὸς ἀλκήν, πρὸς πᾶσαν εὐρυθμίαν.
Αὐτὸς αὐτῷ διδάσκαλος γίνεται τῶν πραγμάτων
Ἑλληνικῶν, Ῥωμαϊκῶν, πάσης ἁπλῶς παιδείας,
Καίπερ καὶ δούλους γραμματεῖς μυρίους κεκτημένος,
Σὺν τούτοις καὶ Σαλώνιον ἄνδρα κλεινὸν ἐν λόγοις.
Οὐ γὰρ ἠξίου τὸν υἱὸν ὑβρίζεσθαι τοῖς δούλοις,
Ὡς τούτοις διδασκόμενον καὶ παίεσθαι πολλάκις.
Οὔτ᾽ οὖν ἐκείνοις χρεωστεῖν ἤθελε μέγα χρέος·
Μέγα καὶ γὰρ ὡς ἀληθῶς τὸ δίδαγμα τῶν λόγων·
Αὐτὸς δ᾽ ὡς ἔφην γίνεται διδάσκαλος τῶν λόγων,

---

93. ἤλεγξεν cd. B.
99. Diodor. Sic. I, 58. Ctesiae fragm. ed. Lion. p. 94. sqq.
HIST. 70.
106. Cf. Plut. Caton. m. c. 20.
113. Apud Plut. c. 24. dicitur Σαλωνῖνος.
116. εἴτ᾽ οὖν cd. B.

Δρόμου, παλαίστρας καὶ πυγμῆς καὶ δίσκου καὶ διαύλου,
Τῶν γυμνασίων, ἱππικῆς, πάσης ὁπλομαχίας.
Αὐτὸς αὐτὸν ἐδίδασκε καῦμα καὶ ψῦχος φέρειν,
Καὶ περαιοῦσθαι ποταμοὺς μεγάλους ῥευματώδεις,
Πάντων καλῶν ἀντέχεσθαι, πάντα μισεῖν τὰ φαῦλα,
Φρουρὸς ὑπάρχων τοῦ παιδὸς ἄχρι καὶ τῶν ῥημάτων.
Οὕτως αὐτὸν ἐφρούρει γάρ, ὡς ἱερὰν παρθένον,
Σεμνότιμον ἱέρειαν, παρθένον Ἑστιάδα,
Ὡς μήτε ῥῆμα πώποτε φαῦλον εἰπεῖν τὸν παῖδα,
Μήτε τινὰ τῶν Κάτωνος ἐλευθέρων ἢ δούλων,
Παρόντος τούτου τοῦ παιδός, αἰσχρόν τι ῥῆμα φάναι.
Οὕτως αὐτὸν ἐν ἅπασιν ἐπαίδευε κοσμίως,
Ὡς ὕστερον θαυμάσαντα τὸν στρατηγὸν τὸν Παῦλον
Ἐπὶ Τερτίᾳ θυγατρὶ γαμβρὸν αὐτὸν ποιῆσαι.
Τοῦ γὰρ Ῥωμαίων σύμπαντος στρατεύματος τραπέντος,
Ὁ παῖς ἐκξιφισάμενος, ἔτεμνε τοὺς βαρβάρους.
Ἐκ συνεχῶν δὲ ξιφισμῶν τῆς σπάθης πεπτωκυίας,
Οὐχ ἡρετίσατο φυγεῖν σὺν τοῖς λοιποῖς Ῥωμαίων,
Ἀλλὰ τῶν φίλων πεφθακώς τινας ἐξελιπάρει,
Ὅπως στραφέντων σὺν αὐτῷ τὸ ξίφος ἐφευρήσει.
Καὶ δὴ σὺν τούτοις ἀκρατῶς ἐλάσας πρὸς βαρβάρους,
Τὴν νίκην μὲν ἐποίησεν ἑτεραλκῆ Ῥωμαίοις·
Αὐτὸς δ' οὐ πρὶν ἀπέπαυσεν ἀνερευνῶν τὴν σπάθην,
Ἕως αὐτὴν ἐφεύρηκε, μέσον νεκρῶν μυρίων.
Ὅθεν καὶ γέγονε γαμβρός, ὡς ἔφημεν, τοῦ Παύλου.
Οὗτος ὁ παῖς τοῦ Κάτωνος. Κάτωνες δ' ἦσαν δύο,
Ἀμφότεροι φιλόσοφοι καὶ στρατηγοὶ Ῥωμαίων.
Ἀλλ' οὗτος ἦν ὁ πρότερος ἐν χρόνοις Ἀντιόχου,

---

124. ῥημάτων cd. B. recte pro ῥυμάτων.
128. ἐλεύθερον ἢ δοῦλον cd. B.
130. ἐπαίδευσε cd. B.
131. Cf. Plut. Aemil. Paul. c. 10. c. 21.
132. Appellabatur Τερτία, sicque cd. B. pro corrupto Πορτίᾳ, quod est in cd. A. et edit. Basil.
137. De πεφθακὼς conf. ad Chil. II, 420.
138. ἐφευρήσοι in marg. cd. B.
142. μέσον pro μέσων cd. B. Conf. vs. 319.

Τοῦ μετὰ τὸν Ἀλέξανδρον σχόντος τὴν βασιλείαν.
Ὁ δ' ἄλλος ὁ νεώτερος, ὃς ἑαυτὸν ἀνεῖλεν,
Ὁ τὴν γυναῖκα τὴν αὐτοῦ δοὺς Ὁρτησίῳ φίλῳ,
Ὁ ἀδελφὸς Καπίτωνος καὶ φίλος Πομπαιδίου,
Ὁ καὶ φιλοσοφώτερος τοῦ Κάτωνος τοῦ πρώτου,
Ἐν χρόνοις ἦν τοῦ Καίσαρος καὶ Σύλλα τοῦ τυράννου,
Ἔχων υἱὸν καὶ οὗτος μέν, ἀλλ' οὐ παιδεύων οὕτω.
Πλούταρχος, Διονύσιος, Διόδωρος καὶ Δίων
Τὰ τῶν Κατώνων γράφουσι καὶ τὰ τῶν Σκηπιώνων.
Οὕτω κατὰ τὸν Κάτωνα τὸν πρότερον ἐκεῖνον
Κἀμοὶ πάντων διδάσκαλος πατὴρ ἐμὸς ὑπῆρξε,
Μικροῖς ἐν διαλείμμασι στέλλων με διδασκάλοις.
Μιᾶς δ' ἡμέρας πατρικῆς ἀγὼν ὁ περὶ λόγους
Τοῦ μηνιαίου χρόνου με τῶν διδασκάλων πλέον
Ἀνῆγε, προεβίβαζεν· ἀλλ' ἀσυγκρίτῳ τρόπῳ
Ποιῶν ἐν λόγοις αὔξεσθαι, κατὰ τοὺς Ἀλοείδας,
Πῦρ ζῶν, ἐπιτειχίζων με, πυργῶν πρὸς ἀντιπάλους,
Ποιῶν Βελλεροφόντην με, πτεροΐππον ἱππότην,
Εἴτε Περσέα πτερωτόν, Γοργόνων ἀναιρέτην,
Τῶν ὑλικῶν ἐλεύθερον καὶ τῶν ἀπογαιούντων,
Ἀρχῶν καὶ δόξης καὶ τιμῆς καὶ φιλοχρηματίας,
Ἅπερ συνέχει σύμπαντας τοὺς ἐξ ἀνελευθέρων.
Οὕτω παιδεύει με πατήρ, ὡς τὸν υἱὸν ὁ Κάτων·
Εἰ δέ τις καὶ τὸν Κάτωνα χρήζει μανθάνειν οἷος,
Ἐμὲ βλεπέτω, Κάτωνος ἔμψυχον ζωγραφίαν
Καὶ Παλαμήδους τοῦ σοφοῦ, τοῦ παιδὸς τοῦ Ναυπλίου.
Ἄμφω καὶ γὰρ εὐήλικες ἦσαν πρὸς ἡλικίαν,
Λεπτοί, γλαυκοί, λευκόχροες, πυῤῥότριχες καὶ οὖλοι,
Ὥσπερ ἐγὼ τοῖς σύμπασιν. ἀλλ' ὁ μὲν Παλαμήδης
Μηδέποτε θυμούμενος, ὡς λόγοι παριστῶσι·

---

150. An *Πομπηΐου* pro *Πομπαιδίου?* Hoc item nomen in margine interpretationis latinae positum.

161. *ἐνῆγε, προσεβίβαζεν* cd. B. Tzetzes affirmat, se unius diei paterna exercitatione plus profecisse quam menstrua magistrorum doctrina.

175. *τὴν σύμπασαν* cd. B.

Τοῦτο καὶ μόνον πρὸς ἡμᾶς διάφορον ἐσχήκει,
Σωματικοῖς καὶ ψυχικοῖς ὅμοιος ὤν μοι πᾶσιν,
Ὡς καὶ τὴν κόμην αὐχμηρὰν ἴσην ἡμῖν κεκτῆσθαι.
Ἐξ ἀλουσίας δὲ ἀμφοῖν τοῦτο συνδεδραμήκει·
Ἡμεῖς εὐχαῖται φύσει γὰρ καὶ τῶν ἁβροβοστρύχων,
Ὁ Κάτων δὲ διέφερεν ἡμῶν τῷ μὴ θυμοῦσθαι,
Εἰ τέως οὐχὶ ψεύδονται τῶν συγγραφέων λόγοι.
Αἱ κράσεις αἱ τοιαῦται γὰρ θερμαί τε καὶ θυμώδεις.
Ἡμῶν γοῦν, ὥσπερ ἔφημεν, διέφερεν ἐν τούτῳ,
Καὶ τῷ φιλοκερδέστατος καὶ φειδωλὸς ὑπάρχειν·
Τοῖς δ' ἄλλοις πᾶσιν ἐμφερεῖς τυγχάνομεν ἀλλήλοις,
Σωματικοῖς, ὡς ἔδειξα, καὶ τοῖς ψυχικωτάτοις.
Ἐμοὶ δὲ πλέον τοῦ ἀνδρὸς τοῦ Κάτωνος ὑπάρχει,
Τὸ μὴ κρατεῖσθαι χρήμασι, θυμὸς ἐπὶ δικαίοις
Πῦρ πνέων, ὥσπερ Κάτωνι δευτέρῳ παρυπῆρχε.
Καὶ γὰρ συνήθης γεγονὼς ὁ δεύτερος ὁ Κάτων
Σύλλᾳ τυράννῳ, πρὸς αὐτοῦ τὸν οἶκον ἀφιγμένος
Σὺν Σαρπηδόνι τῷ αὐτοῦ παιδαγωγῷ πανσόφῳ,
Ἀνδρῶν ὡς εἶδε κεφαλὰς κλεινῶν ἐκφερομένας,
Θρηνοῦντας ἠρεμαίως δὲ τοὺς φέροντας ἐκείνας,
Πρὸς τὸν παιδαγωγὸν ἔφη· πῶς τοῦτόν τις οὐ κτείνει;
Ὡς δ' ὁ παιδαγωγὸς εἶπε, πτοοῦνται πάντες τοῦτον,
Ὁ Κάτων ἔφη· τοιγαροῦν ξίφος ἐμοί τις δότω,
Κἀγὼ τυράννων ἀπηνῶν ῥύσομαι τὴν πατρίδα.
Κἀμοὶ θυμὸς τοιοῦτός τις ἐστὶν ἐπὶ δικαίοις,
Καὶ ζῆλος μέγας Ἠλιοῦ πιμπρῶν μου τὴν καρδίαν,
Ὡς ἱερεῖς ἂν ἔκτεινα κἀγὼ νῦν τῆς αἰσχύνης,
Εἴπερ ἐξῆν μοι, βλέποντι τοιαύτας ἀτοπίας,
Ἀρχιερεῖς τοῖς ἄρχουσι δουλεύοντας ἑκόντας,
Καὶ ζῶντας ὡς ἀνδράποδα τρόποις φιλοκερδέσι,
Καὶ κοσμικὰς τυραννικῶς ἀνύοντας δουλείας,

178. *ὤν μοι* cd. B. pro *ἐν*, recte.
195. In margine edit. Basil. *ἐκφερομένας* explicatur *pro rostris exposita*.
197. *φησὶ* cd. B. pro *ἔφη*.

Καὶ ἱερεῖς πάλιν αἰσχρούς, εἴτ' οὖν καὶ διακόνους,
Συμφθειρομένους ταῖς αἰσχραῖς, ὥσπερ τῇ γαγγραίνῃ,
Τὸ βδέλυγμα τὸ Κρητικόν, οὗπερ μοχλῷ σαρκίνῳ
Τοῦ οἴκου πᾶσαν μάρμαρον αὐτῆς ἐδαφιαίαν
Ἄρδην ἐξαναςπάσασα, δίδωσι τῷ γενναίῳ
Καὶ πᾶν ἄλλό τι κάλλιστον καὶ χρήματα μυρία,
Ὅπως τῶν πόνων ἀμοιβὴν τῶν τῆς νυκτομαχίας
Τούτοις ἀποξενώσηται τὴν ἀρχιερωσύνην
Ὁ βέβηλος, ὁ μυσαρός, ἡ παναισχραμορφία.
Τούτοις παραμεσάζοντος τοῦ Γότθου τῆς Γοτθίας,
Τοῦ δυσοσμίας γέμοντος, τοῦ τριακονταφύλλου,
Τοῦ μονοφθάλμου Κύκλωπος, ἢ πλέον ἀνοφθάλμου,
Ὃς ὢν τυφλὸς ὡς ὁ Ἀμὰν ἀποτυφλοῖ τὰ πάντα.
Ἐκτυφλουμένης δίκης γὰρ τὰ πάντα συντυφλοῦνται.
Καὶ πῶς ὀρθῶς ἂν φέροιντο τὰ πράγματα πρὸς πόλιν,
Ὅπου βλεπόντων ὁ τυφλὸς ὑπάρχει ποδηγέτης;
Ὡς ὁ τριακοντάφυλλος ἁπάσης τῆς συνόδου,
Ἕλκων αὐτὴν καὶ ποδηγῶν καὶ σύρων ὅπῃ θέλει,
Ὡς πρὶν τὸν Κηδαλίωνα τυφλὸς ὢν ὁ Ὠρίων.
Ἀλλ' ὦ τὰ πάντα βλέπουσα δύναμις ὑπερτάτη,
Πέμψον ἀργῆτας κεραυνούς, κάταιθε καὶ πυρφόρει,
Καὶ μὴ παρόψει μηδαμοῦ ὑβρίζεσθαι τὰ θεῖα,
Ὠνίους ἱερὰς ἀρχὰς γίνεσθαι τοῖς βεβήλοις,
Ὡς τῶν βεβήλων συνεργῶν τούτοις συνυπηργμένων.

---

209. Cd. A. in contextu *γαραραίνῃ*, in marg. *γαγγραίνῃ*, plane ut edit. Basil. Deest versui syllaba.

210. Videntur significari flagitia abominanda, quibus Cretenses sunt infames. Subiectum autem orationis inde a verbis *οὗπερ μοχλῷ* est *ἡ παναισχραμορφία*. Singula tamen obscura.

213. *μέγιστον* cd. B. pro *κάλλιστον*.

217. *τῆς* pro *τοῦ* cd. B.

218. An *τριακοντάφυλλον* intelligit quendam, qui non plus quam triginta folia vel legerit vel scripserit vel possideat?

221. *τε* pro *γὰρ* cd. B.

222. *ἀμφέροιντο τοῖς* cd. B. Hoeger confert Sophocl. Aiac. 1062. Lob.

226. In Eratosth. Catast. XXXII. vocatur *Ἰνδαλίων*,

ΠΕΡΙ ΚΑΤΩΝΟΣ, ΣΟΛΩΝΟΣ ΚΑΙ ΘΕΟΔΩΡΟΥ. οά. οβ΄. ογ΄.

Ὁ Κάτων ὅπως τὸν υἱὸν ἐπαίδευσε, νῦν εἶπον.
Ὁ Σόλων, κατ' ἀρχὰς εἶπον, ἔφη τῷ Κροίσῳ τάδε·
Μὴ πλούτῳ καὶ τοῖς χρήμασι καὶ τοῖς λοιποῖς ἁβρύνου,
Ἔτι τὸ τέλος ἄδηλον, ὃ βίους διακρίνει.
Ὁ δ' ἰατρὸς Θεόδωρος, σταλεὶς ἐκ Μαυρικίου,
Χαγάνον ἐφιλίωσε τῷ γένει τῶν Ῥωμαίων,
Εἰπὼν τὴν τοῦ Σεσώστριδος, ἣν ἔφην, ἱστορίαν
Καὶ δι' αὐτῆς τὸ ἄδηλον καὶ τὸ στρεπτὸν τῆς τύχης
Πανσόφως αἰνιξάμενος καὶ τοῦτον καταπείσας
Καὶ πρὸς φιλίαν καὶ σπονδὰς εὐθέως μετατρέψας.

ΠΕΡΙ ΕΚΑΒΗΣ. οδ΄.

Ἡ τῆς Ἑκάβης πρόδηλος σύμπασιν ἱστορία,
Ὡς Τρώων οὖσα βασιλὶς, σύζυγος δὲ Πριάμου,
Γίνεται δορυάλωτος τοῖς Ἕλλησι καὶ δούλη,
Πολλὰς ἰδοῦσα συμφορὰς καὶ μετ' αἰχμαλωσίαν,
Καὶ τέλος θνήσκει λιθοβλὴς, μόρον κυνῶν λυσσώντων,
Ἀνθ' ὧν τοῖς Ἕλλησιν ἀρὰς ἠρᾶτο παλαμναίας·
Ὅθεν περ ἐνεμύθωσαν, ὡς κύων ἐγεγόνει.

ΠΕΡΙ ΠΟΛΥΜΗΣΤΟΡΟΣ. οέ.

Ὁ Πολυμήστωρ βασιλεὺς Θρᾳκῶν ἦν τῶν ἁπάντων,
Οὗσπερ ἐντὸς Ἑλλήσποντος ἀγάῤῥοος εἴργει.
Δύσνους δὲ φίλος γεγονὼς, τῆς Τροίας πορθηθείσης
Ἀπέκτεινε Πολύδωρον υἱὸν τὸν τῆς Ἑκάβης.
Ἐπεὶ δὲ κατὰ Πίνδαρον ἔρδων οὐδεὶς λανθάνει,
Ὁ μέγας Δίκης ὀφθαλμὸς μὴ παριδὼν τὸ μῦσος,

HIST. 71 — 73.
241. μεταστρέψας cd. B.
HIST. 74.
245. ξυμφορὰς cd. B.

HIST. 75.
251. πεφηνὼς cd. B.
253. Pindar. Olymp. I, 103. sq. Heyn.

Ἑκάβη τὸ σκαιούργημα δεικνύει δι' ὀνείρων.
Ἡ δ' ἀντισκαιωρήσασα τοῦτον μετακαλεῖται
Σὺν τέκνοις τούτου τοῖς λοιποῖς, ἃ κτείνει σὺν Τρῳάσι,
Τοῦτον τυφλοῖ, κερκίσι δὲ στερίσκει τῶν ὀμμάτων.
Ὁ Εὐριπίδης τραγικῶς ἀμφότερα συγγράφει.

ΠΕΡΙ ΑΙΑΝΤΟΣ ΤΟΥ ΤΕΛΑΜΩΝΙΟΥ. οϛ'.

Αἴας ὁ Τελαμώνιος, ὁ παῖς τῆς Ἐριβοίας,
Ὁ Λυσιδίκης σύζυγος, πατὴρ δὲ τοῦ Φιλίου,
Τοῦ Εὐρυσάκους τε πατὴρ ἐκ τῆς δοριαλώτου
Τεκμήσσης, τῆς τοῦ Τεύθραντος, ὁ πύργος τῶν Ἑλλήνων,
Ὁ νουνεχής, ὁ συνετός, ὁ τῶν εὐκαταστάτων,
Ὁ θέᾳ μόνῃ σύμπαντας ῥυθμίζων, συνετίζων,
Τῶν Ἀχιλλείων στερηθεὶς ὅπλων ἀδίκῳ κρίσει,
Ἐξυπερζέσας τῷ θυμῷ φρενῶν ἀπεστερήθη,
Ἑλληνικά τε θρέμματα δόξας ἀνθρώπους σφάττει.
Τέλος ῥαΐσας τι μικρὸν καὶ γνοὺς τὰ τῆς μανίας
Αὐτὸς αὐτόχειρ ἑαυτοῦ γίνεται τούτου χάριν.
Ὁ τοῦ Σοφίλου Σοφοκλῆς γράφει τὰ περὶ τούτου.

---

257. τούτοις τοῖς διπλοῖς cd. B.

HIST. 76.

262. Vid. Tzetz. schol. ad Lycophr. 452. et Mülleri not. 5. Adde tamen Pindar. Isthm. VI, 65. Sophocl. Aiac. 570. ibique Lobeck.

261. Inaudita hic Tzetzes refert. Lysidice, Pelopis filia, Mestoris uxor, e Neptuno peperit Taphium. Vid. Apollod. II, 4, 4.

262. δορυαλωτου cd. B.

264. Scripsi νουνεχής pro νουνεχός.

265. σύμπαντα pro σύμπαντας cd. B.

ΠΕΡΙ ΑΓΑΜΕΜΝΟΝΟΣ, ΔΙΟΜΗΔΟΥΣ, ΙΔΟΜΕΝΕΩ, ΑΜΦΙΑΡΑΟΥ, ΠΗΛΕΩΣ, ΘΗΣΕΩΣ, ΠΑΙΔΩΝ ΚΛΕΟΠΑΤΡΑΣ, ΠΕΡΙ ΥΙΟΥ ΠΕΡΣΕΩΣ ΤΟΥ ΜΑΚΕΔΟΝΟΣ, ΠΕΡΙ ΤΩΝ ΣΥΜΦΟΡΩΝ ΤΟΥ ΜΑΥΡΙΚΙΟΥ, ΠΕΡΙ ΦΩΚΑ ΤΟΥ ΚΑΛΛΙΣΤΟΥ ΒΑΣΙΛΕΩΣ, ΠΕΡΙ ΓΕΛΙΜΕΡ ΤΟΥ ΜΑΥΡΟΥΣΙΟΥ ΚΑΙ ΠΕΡΙ ΒΕΛΙΣΑΡΙΟΥ ΤΟΥ ΣΤΡΑΤΗΓΟΥ.

οζ´ μέχρι καὶ πή.

Ἡ τῶν κείνων ἀνώνυμος, ἀνίστωρ ἱστορία,
Μᾶλλον καὶ πολυώνυμός ἐστι καὶ πολυΐστωρ,
Κατὰ κοινοῦ ῥηθεῖσα δὲ δοκεῖ τῶν ἀνωνύμων.
Μετὰ γὰρ Πολυμήστορα σὺν Αἴαντι, Ἑκάβῃ,
Ἄλλους μυρίους εὕροις ἂν μεταπεσόντας βίῳ,
Ὧν τοὺς πολλοὺς ἐάσαντες θῶμεν ὀλίγους πάνυ.
Ὁ Ἀγαμέμνων βασιλεὺς πάντων τελῶν Ἑλλήνων,
Μετὰ τὰ Τροίας τρόπαια στραφεὶς ἐν τῇ πατρίδι,
Ὡς μοιχωμένης τῆς αὐτοῦ συζύγου Κλυταιμνήστρας,
Περὶ τραπέζας κτείνεται σὺν πόσοις τῶν ἀρίστων,
Αἰγίσθου μηχανήμασι καὶ δολερᾶς συζύγου,
Κἂν παῖς Ὀρέστης ὕστερον τούτους ἀνεῖλε τούτου,
Χρόνοις ἑπτὰ κρατήσαντας πατρῴων τούτου σκήπτρων.
Καὶ Διομήδης πέπωκε πόμα λαθροκοιτίας·
Μετὰ γὰρ Τροίας τρόπαια καὶ τὰς ἀνδραγαθίας
Αἰγιαλείᾳ γυναικὶ καὶ τῷ μοιχῷ Κομήτῃ
Μέλλων τὸν βίον ἐκπερᾶν, φεύγει πρὸς τὴν Δαυνίαν.
Κἀκεῖ πολλὰ τὰ τρόπαια δράσας ἡρώῳ τρόπῳ
Ξένης ταφῆς ἠϋμοίρησε ξένος ἰδίας πάτρας.

HIST. 77 — 88.

272. Pro κείνων cd. A. in marg. habet κοινῶν. In cd. B. pro ἡ τῶν κείνων legitur τῶ δοξ. Illud κείνων aperte falsum. Oppositus est locus versui 349.

273. καὶ μᾶλλον cd. B.

275. Πολυμήστορα pro genitivo cd. B. praebuit.

284. κρατήσαντος cd. B.

288. τὸν Δαυλίαν cd. B.

Ὁ τῶν Κρητῶν δὲ βασιλεὺς Ἰδομενεὺς ἐκεῖνος,
Ἀπὸ τῆς Τροίας καὶ αὐτὸς ὑποστραφεὶς ἐν Κρήτῃ,
Πολλὰς εὑρὼν τὰς συμφορὰς ἐν οἴκῳ τῷ οἰκείῳ,
Μήδαν αὐτοῦ τὴν σύζυγον καὶ παῖδα Κλεισιθήραν
Ἀπεσφαγμένας ἐν ναῷ χερσὶ τοῦ ἀναθρέπτρυ
Λεύκου, παιδὸς τοῦ Τάλωος, Λεύκου τοῦ μιαιφόνου,
Φεύγει μακράν που καὶ αὐτός, φεύγει τὴν Κρήτην νῆσον.
Τούτῳ τῷ Λεύκῳ διωχθεὶς μεγάλα δυνηθέντι.
Σιγῶ τὸν Ἀμφιάραον, τὸν γέροντα Πηλέα,
Χρυσομανίαις γυναικὸς Θήβαις τὸν μὲν θανόντα,
Χρυσομανίαις γυναικὸς οἰκείας Ἐριφύλης·
Πηλέα δὲ τὸν σώφρονα, τὸν μέγαν πρὶν τροπαίοις,
Πικροῖς τοῖς δυσκληρήμασιν ὑστέρως πεπτωκότα.
Ἐν τρομερῷ τῷ γήρᾳ γὰρ τὸν ἔξοχον ἡρώων
Τὸν Ἀχιλλέα, τὸν κλεινὸν παῖδα, πολλὰ πενθήσας
Ἀνῃρημένον δολερῶς τῷ Πάριδι τῇ Τροίᾳ,
Μετὰ μικρὸν ἐθρήνησεν αὐτοπροσώπῳ Θέᾳ
Καὶ σκύμνον τὸν Ἀχίλλειον εἰς μέλη τετμημένον
Χερσὶ καὶ ξίφεσι Δελφῶν καὶ δόλοις τοῖς Ὀρέστου.
Ἐῶ τὸν πρὶν εὐδαίμονα Θησέα τὸν Αἰγέως,
Ὕστερον πάνυ δυστυχῆ, παιδὸς ἀνῃρημένου·
Πάντας ἐῶ τοὺς τραγικῶν πυκτίσι γεγραμμένους.

ΠΕΡΙ ΑΙΧΜΑΛΩΣΙΑΣ ΤΩΝ ΠΑΙΔΩΝ ΚΛΕΟΠΑΤΡΑΣ ΚΑΙ ΤΟΥ ΠΕΡΣΕΩΣ ΥΙΟΥ.

πγ' καὶ πδ'.

Ἐῶ τῆς Κλεοπάτρας τε τοὺς παῖδας διαγράφειν,
Καὶ τοῦ Περσέως τὸν υἱόν, τοῦ Μακεδόνος λέγω,
Πῶς ἐκτραφέντες εὐγενῶς καὶ σκήπτροις καὶ πορφύρᾳ
Ἐν αἰχμαλώτων βλέπουσι τὴν Ῥώμην δυσκληρίᾳ.

---

294. *Μήδαν αὐτὴν* cd. B.
295. *ἐπεσφαγμένας* cd. B.
296. De Talo v. Heyn. obss. ad Apollod. p. 89. Eius filium Leucum non reperio ab aliis memoratum.
297. *φεύγει πρὸς Κρ.* cd. B.
298. *μεγάλως* cd. B.
310. *σιγῶ* pro *ἐῶ* cd. B. Eadem huius codicis diversitas est vss. 313. et 320.

ΠΕΡΙ ΑΝΑΙΡΕΣΕΩΣ ΜΑΥΡΙΚΙΟΥ ΚΑΙ ΤΩΝ ΦΙΛΤΑΤΩΝ. πέ.

Τὰς συμφορὰς ἐκτραγῳδεῖν ἐῶ τοῦ Μαυρικίου,
Πῶς σὺν συζύγῳ καὶ παισὶ Φωκᾷ τῷ τυραννοῦντι
Ἐξεθαμνίσθη πρόῤῥιζος μέσον ἱπποδρομίας.
Ἐῶ τὸν μέγαν τὸν Φωκᾶν πῶς ἀνῃρέθη λέγειν,
Καὶ πάντας ὅσοι χρονικοὶ καὶ τραγικοὶ βοῶσιν.
Γελίμερ ἦν τις βασιλεὺς ἐθνῶν τῶν Μαυρουσίων,
Ὃς κατὰ κράτος ἡττηθεὶς ὑπὸ Βελισαρίου
Ἐφ' ἱκανὰς ἡμέρας μὲν σὺν γαμετῇ καὶ τέκνοις
Ἐκρύπτετο τοῖς ὄρεσι, θηρῶν τὴν σωτηρίαν.
Ὡς δ' ὁ λιμὸς ἐπίεζεν οὐκ ἀνεκτῶς ἐκείνους,
Κρήνης δὲ δίκην ὀφθαλμῶν ἐξαπεχεῖτο δάκρυ,
Γράμμα πρὸς Βελισάριον περιπαθές τι γράφει·
Κινύραν, Βελισάριε, στεῖλόν μοι, σπόγγον, ἄρτον,
Τὴν μέν, ὡς τραγῳδήσαιμι τὸ βαρὺ σύμφορόν μου,
Σπόγγον δ' ὡς ἀπομόργνυμι δακρύων τὰς πλημμύρας,
Ἄρτον δ' ὡς ἂν κατίδοιμι κἂν μόνην τούτου θέαν·
Πολὺς γὰρ ἤδη μοι καιρὸς ἀσίτῳ παρεῤῥύη.
Ἐς τοῦτο γὰρ συνήλασεν ἄτρακτος ὁ Μοιρῶν με,
Ὑπερνικῆσαι σύμπαντας βαρυσυμφορωτάτους.
Οὗτος αἰχμάλωτος ἀχθεὶς τῇ Κωνσταντίνου πόλει
Καὶ στὰς εἰς τὸν ἱππόδρομον σὺν τοῖς δοριαλώτοις,
Τὸ ματαιότης ἔλεξε ματαιοτήτων πάντα.

HIST. 85.

317. Cf. Cedren. p. 403. Zonar. Annal. lib. XIV. p. 79. Procop. de bello Vandal. lib. II. p. 250. sqq.

321. *τραγικοὶ καὶ χρονικοὶ* cd. B.

322. *Γελλίβερ — στρατηγὸς* cd. B.

325. *σωτηρίαν* pro *σωτηρίου* cd. B. Est illud appositionis genus, cuius aliquot exempla commemorat Matthiae in gram. gr. min. §. 432. 4. In marg. cd. A. *τῇ σωτηρίᾳ.*

328. *Βελλισάριον* et hic et alibi cd. B. Idem vs. prox. *κιννύραν.*

Ὁ τῶν Κ
Ἀπὸ τῆς Τ
Πολλὰς ευ
Μῆδαν α
Ἀπεσφα
Λεύκοι
Φεύγ
Του

ΤΟΥ ΣΤΡΑΤΗΓΟΥ. πή.

...τηγὸς ὁ μέγας,
...οις στρατηλάτης,
... γῆς ἐφαπλώσας νίκας,
...είς, ὦ τύχης τῆς ἀστάτου,
..., ἐβόα τῷ μιλίῳ,
...σε τῷ στρατηλάτῃ,
..., ἀποτυφλοῖ δ' ὁ φθόνος.
...ῶν, μὴ τυφλωθῆναι τοῦτον,
...μον ἐσχάτως γεγονέναι,
...ληψιν δόξης ἐλθεῖν προτέρας.

...ΙΟΥ ΟΝ ΗΤΤΗΣΕΝ ΑΛΕΞΑΝ-
...ΡΙ ΡΗΓΟΥΛΟΥ ΤΟΥ ΡΩΜΑΙΟΥ,
...Ξ ΑΝΘΙΠΠΟΥ ΣΠΑΡΤΙΑΤΟΥ.
ἀπὸ πθ' μέχρι ϟά.

...ῶν ἀνώνυμος τοιάδε ἱστορία.
... ὁ ὕστερος Περσίδος βασιλεύσας,
... Ἀλέξανδρος ὁ Μακεδὼν ὁ μέγας,
... ...σου τέθνηκε καὶ Ἀριοβαρζάνου,
... Περσῶν, οὓς ἔκτεινεν ὁ Μακεδὼν σταυρώσας.
... τὸ τέλος γίνεται Δαρείῳ μὲν τῷ Πέρσῃ,
... τῆς πρότερον, ἀντὶ τῆς βασιλείας.
...γούλῳ τῷ Ῥωμαίῳ δὲ Μάρκῳ τῷ στρατηλάτῃ
...θέντι Σικελοῖς μάθε τὸ τέλος οἷον.
... τὼν ὀφθαλμῶν μαχαίρᾳ συντεμόντες
...ένους εἴασαν τοὺς ὀφθαλμοὺς ἐκείνου.
... δὲ τοῦτον εἴρξαντες καλύβῃ στενωτάτῃ,

... et 87. non sunt ...

HIST. 89 — 91.

... est *stadium*. Non ... ad Suidam s. h.

v. *Μίλιον* intelligit e populo Constant. aliquem.

349. *τῶν παλ.* cd. B.

353. *ὃν — εὑρήσας* cd. B. pro *οὓς σταυρώσας*.

354. *γέγονε* cd. B. aeque bene.

Ἄγριον ἐξοιστρήσαντες ἐλέφαντα θηρίον,
Ἐκίνουν τοῦτον καθ᾽ αὐτοῦ συγκατασπᾶν καὶ ξέειν.
Οὕτω ποινηλατούμενος ὁ στρατηγὸς ὁ μέγας,
Τὸν βίον ἐξαπέπνευσεν ἠθλιωμένῳ τέλει.

Τοῖς Σικελοῖς καὶ Ξάνθιππος ὁ Σπαρτιάτης θνήσκει.
Περὶ γὰρ τὸ Λιλύβαιον τῶν Σικελῶν τὴν πόλιν
Ῥωμαίοις τε καὶ Σικελοῖς πόλεμος ἐκροτεῖτο,
Πρὸς εἴκοσι καὶ τέσσαρας τοὺς χρόνους ἐξαρκέσας.
Οἱ Σικελοὶ ταῖς μάχαις δὲ πολλάκις ἡττημένοι
Ῥωμαίοις, ἐνεχείριζον τὴν πόλιν εἰς δουλείαν.
Τῶν δὲ Ῥωμαίων μηδαμῶς μηδ᾽ οὕτω πειθομένων,
Ἀλλὰ γυμνοὺς τοὺς Σικελοὺς λεγόντων ἐξιέναι,
Ὁ Σπαρτιάτης Ξάνθιππος ἐλθὼν ἀπὸ τῆς Σπάρτης,
Σὺν στρατιώταις ἑκατόν, ἢ μόνος καθ᾽ ἑτέρους,
Κατ᾽ ἄλλους δὲ πεντήκοντα τοὺς στρατιώτας ἔχων,
Καὶ προσβαλὼν τοῖς Σικελοῖς, οὖσιν ἐγκεκλεισμένοις,
Δι᾽ ἑρμηνέως τε αὐτοῖς πολλὰ συνομιλήσας,
Τέλος θαῤῥύνει κατ᾽ ἐχθρῶν. καὶ συναράξας μάχῃ,
Ἅπαν Ῥωμαίων στράτευμα σὺν τούτοις κατακόπτει.
Τοῖς εὐηργετημένοις δὲ τὴν ἀμοιβὴν λαμβάνει
Ἀξίαν καὶ κατάλληλον τῆς τούτων δυστροπίας.
Πλοίῳ σαθρῷ τὸν ἄνδρα γὰρ οἱ μιαροὶ βαλόντες,
Ὑπὸ στροφαῖς βυθίζουσι πελάγει τοῦ Ἀδρίου,
Βασκήναντες τὸν ἥρωα καὶ τούτου τὸ γενναῖον.
Τῆς ἱστορίας μέμνηται τῆσδε καὶ τῆς Ῥηγούλου
Ὁ Σικελὸς Διόδωρος· τὴν δὲ Δαρείου γράφει
Ὁ Καλλισθένης συγγραφεὺς σὺν οὐκ ὀλίγοις ἄλλοις.

---

370. ἐνεχείριζον pro ἀνεχείρ. cd. B.
371. μηδαμοῦ cd. B.
378. συναῤῥάξας cd. B.
382. μυσαροὶ cd. B. non minus recte.
383. ὑποστροφαῖς — ἀδρίου cd. B.
386. Diod. Ecl. XXIII, 13. p. 504. Wess.

ΠΕΡΙ ΤΟΥ ΞΥΛΙΝΟΥ ΝΕΚΡΟΥ. ϟβʹ.

Ὁ συγγραφεὺς Ἡρόδοτος, ὁ παῖς ὁ τοῦ Ὀξύλου,
Τοῖς Αἰγυπτίων ἱστορεῖ δείπνοις τελεῖσθαι τόδε.
Οἰκέτης ξύλινον νεκρὸν τοῖς δείπνοις περιφέρων
Ἀνακειμένους σύμπαντας οὕτω πως σωφρονίζει,
Βοῶν, πρὸς τοῦτον βλέποντας καὶ τρώγειν χρὴ καὶ πίνειν.

ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΛΑΚΩΝΙΚΩΝ ΟΙΚΕΤΩΝ ΜΕΘΗΣ. ϟγʹ.

Οἱ Λάκωνες μεθύσκοντές τοὺς ἑαυτῶν οἰκέτας
Καὶ τέκνοις παρεισφέροντες ἐκείνους τοῖς ἰδίοις
Καταγελάστως ἔχοντας ἀκράτῳ καὶ τῇ μέθῃ,
Παντὸς ἐκείνους ἀπρεποῦς ἐξέτρεπον καὶ φαύλου.
Τῆς δ' ἱστορίας ἀκριβῶς τὸν συγγραφέα λέγειν,
Ἡρόδοτος, ὁ Πλούταρχος, εἴτ' ἄλλος οὐ γινώσκω.

ΠΕΡΙ ΔΑΡΕΙΟΥ ΤΟΥ ΠΑΤΡΟΣ ΞΕΡΞΟΥ. ϟδʹ.

Τὴν τοῦ Δαρείου σύμπασαν εἰς πλάτος ἱστορίαν
Ἐπιστολῆς τὸ κείμενον τρανῶς σοι διαγράφει
Περὶ Δαρείου τοῦ πατρὸς Ξέρξου ταυτὶ σοι λέγον·
„Δαρεῖος γὰρ ὁ βάρβαρος ἐλθὼν εἰς Βαβυλῶνα,
„Ὑπασπιστής, οὐ βασιλεὺς ὢν ἐν τοῖς τότε χρόνοις,
„Ἐκ Συλοσῶντος δὲ λαβὼν δῶρον, πυῤῥὰν χλανίδα,
(Ὁ Συλοσῶν δ' ἦν ἀδελφὸς Σαμίου Πολυκράτους,)
„Ὡς ἐγκρατὴς μετέπειτα γέγονε βασιλείας,
„Τῆς δωρεᾶς οὐ γέγονεν ὁ βάρβαρος ἀμνήμων.
„Ἀνερευνήσας δὲ ποιεῖ τῆς Σάμου βασιλέα,

HIST. 92.

388. Herodot. II, 78. ubi Wessel. emendat ὁ τοῦ Λύξεω. Vid. epigr. in scholiis ad Aristoph. Nub. 331.

HIST. 93.

393. μεθύσκοντες e cd. B. recepi pro corrupto μέθυσκον.

398. Plutarch. Lycurg. c. 28.

HIST. 94.

389. πρὸς πλάτος cd. B.

404. χλανίδα pro χλαμύδα e cd. B.

„Φήσας, Δαρεῖος οὐδαμῶς ἀμνημονεῖ χαρίτων.
Ὁ συγγραφεὺς Ἡρόδοτος γράφει τὴν ἱστορίαν.

ΠΕΡΙ ΒΕΛΕΣΥΟΣ ΤΟΥ ΒΑΒΥΛΩΝΙΟΥ ΚΑΙ ΑΡΣΑΚΟΥ ΤΟΥ ΜΗΔΟΥ ΚΑΙ ΤΗΣ ΚΑΘΑΙΡΕΣΕΩΣ ΣΑΡΔΑΝΑΠΑΛΟΥ ΤΟΥ ΑΣΣΥΡΙΟΥ. ϙέ.

Τῷ γένει Βαβυλώνιος ὁ Βελεσὺς ὑπῆρχεν,
Ἀνὴρ σοφὸς καὶ συνετός, ὀξὺς τὸ δέον κρῖναι.
Οὗτος τὸν Σαρδανάπαλον ὁρῶν τὸν γυναικίαν,
Ὑπερηφάνως ἀμελῶς ῥαθύμως τεθρυμμένον,
Τῶν Ἀσσυρίων τὴν ἀρχὴν ἰθύνοντα παγκάκως·
(Τῶν ἀνακτόρων ἔνδοθι καὶ γὰρ ἐγκεκλεισμένος
Εὐνούχοις μόνοις θεατὸς καὶ παλλακαῖς ὑπῆρχεν,
Ἐριουργῶν, ξυρόμενος καὶ πεφυκιωμένος,
Φωνὴν ὑπολεπτύνων τε μιμήσει γυναικείᾳ,
Στολήν τε περικείμενος τὴν ἥνπερ καὶ γυναῖκες,
Πλὴν τῆς ἀνδρώας φύσεως ὅλος γυνὴ τυγχάνων,
Ἅπαξ τοῦ ἔτους ἄνωθεν οἷα θεὸς τοῖς πᾶσιν
Ἀφ᾽ ὑψηλοῦ προέτεινε τοῦ πύργου τὴν χειρίδα,
Ἣν προσεκύνουν βασιλεῖς καὶ μεγιστᾶνες πάντες,
Τὰ δ᾽ ἄλλα πάντα τοῖς λοιποῖς καιροῖς ἐκυβερνᾶτο
Εὐνούχων τοῖς κελεύσμασι κἂν πόλεμος κἂν ἄλλο·)
Τοιαῦτα βλέπων Βελεσύς, οὐκ ἐνεγκὼν τὴν ὕβριν,
Χρησμῶν συμπλάσας λόγια καὶ θεοπροσπείας
Πρὸς ἀνταρσίας ἤγειρε τὸν Μῆδον τὸν Ἀρσάκην.
Καὶ προσβολῇ τῇ πρώτῃ μὲν ἡττήθησαν εὐθέως·
Τῇ δὲ δευτέρᾳ προσβολῇ τὸν Νεῖλον πλημμυροῦντα
Μαθὼν ὁ Σαρδανάπαλος (τοῦτο γὰρ ἦν σημεῖον)
Τοῖς ἀνακτόροις προσφυγὼν καὶ πυρπολήσας ταῦτα
Αὐτὸν ὁμοῦ καὶ παλλακὰς καὶ θησαυροὺς συγκαίει.

---

410. Herodot. III, 139. sq.
HIST. 95.
412. Pro τὸ δέον in cd. B. δὲ εἰς τὸ, quod praefero.
431. Imo *Euphratem*. Vid. Diod. Sic. II, 27.

Ἀρσάκης εἰσελάσας δὲ μετὰ τοῦ Βελεσύος
Τὴν βασιλείαν ἔσχηκε μετὰ λαμπρᾶς τῆς νίκης·
Ὅθεν εἰς Μήδους πέπτωκε τὸ κράτος Ἀσσυρίων.
Καὶ Βελεσύϊ δωρεὰν τῷ συνεργῷ δωρεῖται,
Ἥνπερ καὶ ἐζητήσατο, πάντων καυθέντων τέφραν.
Ταύτην λαβὼν ὁ Βελεσὺς Ἀρσάκῃ πενομένῳ,
(Γυμνὴν γὰρ μόνην ἔσχηκε, γυμνὴν τὴν βασιλείαν)
Κατά τινας μὲν λέγεται μόνον προσαγγελθῆναι,
Ὡς πάντα χρήματα λαβὼν δολιοτρόπῳ γνώμῃ
Ἐκείνῳ δίδωσιν οὐδέν, χρημάτων ἀμοιροῦντι·
Κατὰ δ' ἑτέρους λέγεται καὶ ἐπιθέσθαι τούτῳ.
Νενικηκὼς Ἀρσάκης δὲ τοῦτον ἀφῆκε, φήσας,
Πλειόνως ἐπωφέλησεν, ὥνπερ ἐλύπησέ με.
Ὁ Σικελὸς Διόδωρος γράφει τὴν ἱστορίαν
Καὶ σὺν αὐτῷ καὶ ἕτεροι τῶν ἱστοριογράφων.
Γράφει καὶ τὸ ἐπίγραμμα τὸ τοῦ Σαρδαναπάλου,
Ὃ γεγραμμένον πέφυκε γράμμασιν Ἀσσυρίοις,
Κἂν ἐξελληνιζόμενον ταῦτα δηλοῖ τὰ ἔπη·
„Εὖ εἰδὼς ὅτι θνητὸς ἔφυς, σὸν θυμὸν ἄεξε,
„Τερπόμενος θαλίησι, θανόντι σοι οὔτις ὄνησις.
„Καὶ γὰρ ἐγὼ σποδός εἰμι, Νίνου μεγάλης βασιλεύσας
„Ταῦτ' ἔχω, ὅσσ' ἔφαγον καὶ ἐφύβρισα καὶ μετ' ἔρωτο
„Τέρπν' ἔπαθον. τὰ δὲ πολλὰ καὶ ὄλβια κεῖνα λέλειπτα

ΠΕΡΙ ΙΣΤΙΑΙΟΥ ΤΟΥ ΜΙΛΗΣΙΟΥ. ϟϛ'.

Οὗτος ὁ Ἱστιαῖος ἦν Μιλήσιος τῷ γένει.
Δαρείῳ δ' ἐπελαύνοντι κατὰ Σκυθῶν τῷ Πέρσῃ
Σὺν ἑβδομήκοντα στρατοῦ μαχίμοις μυριάσιν
Ἑξακοσίαις τε ναυσὶ καὶ πᾶσι κατ' ἀξίαν,

---

438. ποιεῖται cd. B. pro δωρεῖται.

439. ἐζητήσατο cd. B.

447. ἐλύπησε pro ὠφέλησε cd. B. verissime.

452. Cf. Naekium ad Choerili fragm. p. 196. sqq.

454. ὀνήσει quod antea pro ὄνησις legebatur, merum erat sphalma librarii.

Ὁπότε καὶ τὸν Βόσπορον διέβη γεφυρώσας
Τοῦ Μανδροκλέους ταῖς χερσὶ τέκτονος τοῦ Σαμίου,
Ἐπεὶ πάντες ὑπέκειντο Περσῶν τῇ βασιλείᾳ,
Ἦσαν συνεκστρατεύοντες Δαρείῳ τῷ ῥηθέντι
Οὗτος ὁ Ἱστιαῖός τε καὶ Κώης Ὀρεξάνδρου,
Ἀνὴρ πᾶσι πιστότατος, γένος ἐκ Μιτυλήνης,
Καὶ Μιλτιάδης Ἀττικός, δεινὸς ἀνὴρ ἐν λόγοις,
Ἀρίστων τε Βυζάντιος, οὐχ ἥττων Μιλτιάδου·
Ὡς οὖν Δαρεῖος πέφθακεν ἤδη καὶ πρὸς τὸν Ἴστρον,
Καὶ τοῦτον διεπέρασε γεφύρᾳ πρὸς τοὺς Σκύθας,
Λύειν εὐθὺς ἐκέλευσε τὴν γέφυραν ἐκείνην.
Κώης ὁ Ὀρεξάνδρου δὲ τοῦτον οὐκ εἴα, λέγων,
Ὅρα, Δαρεῖε βασιλεῦ, καὶ τύχας ἀπαισίους,
Μή πως ἡμῖν ἀνέλπιστος πέσῃ φυγὴ τοῖς Σκύθαις,
Καὶ Περσικῶν ἐμπλήσωμεν τὸν Ἴστρον σκηνωμάτων.
Ταῦτα τοῦ Κώου λέξαντος, τὴν γέφυραν ἐάσας
Δαρεῖος, τούτῳ δωρεὰς τῆς γνώμης ὑπισχνεῖται,
Ἐπάνπερ ἀναζεύξωσιν αὖθις εἰς τὴν Περσίδα·
Αὐτὸς δ' εἰς Σκύθας ἐμβαλὼν ἡττᾶται κατὰ κράτος.
Οἱ Σκύθαι τὸν Δαρεῖον δὲ μέσον Σκυθῶν λιπόντες,
Ἐλάσαντες εἰς γέφυραν, ἦλθον τὴν παριστρίαν,
Ἣν Ἕλληνες ἐφύλαττον ἄνδρες οἱ λελεγμένοι,
Οἷς ἔφαν Σκύθαι γέφυραν λύσαντας ἀποτρέχειν·
Οὐδὲν γὰρ μάχης αἴτιον Ἕλλησι καὶ τοῖς Σκύθαις,
Ἐᾶσαι τὸν Δαρεῖον δὲ δοῦναι τοῖς Σκύθαις δίκην.

HIST. 96.

462. Postquam pontem aedificari iussisset.

465. συνεκστρατεύοντες reposui ex cd. B. pro aoristo.

466. Herodot. IV, 97. Κώης ὁ Ἐρξάνδρου. Ita in Tzetza scribi iubet Wessel. Vide tamen lectionis varietatem in Herodoti loco.

469. ἧττον cd. B.

472. ἐκέλευσε cd. B. pro imperfecto.

474. ἀπαισίους pro ἀπαισίας cd. B. recte.

475. πέσῃ pro optat. cd. B.

479. πατρίδα cd. B. pro Περσίδα.

481. μέσον pro μέσῳ cd. B. — Cf. Herodot. IV, 136. sqq.

484. λύσασιν cd. B. non minus recte. Idem in marg. cd. A. est annotatum.

Ὧν Μιλτιάδης ἔλεγε τοῖς Σκύθαις πεπεισμένος,
Λύειν καλὸν τὴν γέφυραν, ἐᾶσαι δὲ τοὺς Πέρσας
Ὑπὸ Σκυθῶν ἐν τῇ Σκυθῶν ἄρδην ἐκθαμνισθῆναι.
Ὁ Ἱστιαῖος δὲ τηρῶν σχέσιν Περσῶν τῷ γένει,
Ἀφεστηκὼς ἐτύγχανε τῆς γνώμης Μιλτιάδου.
Πλὴν ἐφεστώτων τῶν Σκυθῶν ἄρχεται λύειν ταύτην.
Ἀφιππευσάντων δ' ἀπ' αὐτῶν μῆκος ὁδοῦ βραχύ τι,
Τὴν γέφυραν ἐτήρησεν ἐκπεραιοῦν τοὺς Πέρσας.
Νυκτὶ δὲ μέσῃ πεφευγὼς Δαρεῖος ἡττημένος
Ἤλασε πρὸς τὴν γέφυραν, καὶ Ἀρταχαίῳ λέγει,
Ἀνδρὶ μὲν πενταπήχεϊ, φωνὴν δὲ στεντορείῳ,
Καὶ ὃς βοήσας μέγιστον ἐκ τῆς περαίας Ἴστρου
Τὸν Ἱστιαῖον κέκραγε, καὶ περαιοῦνται πάντες.
Ὅθεν Δαρεῖος δωρεὰς δίδωσι τοῖς ἀνδράσι,
Τὸν Κώην μὲν τῆς συμβουλῆς ἕνεκα τῆς προτέρας
Ἐξ ἰδιώτου τύραννον ποιήσας Μιτυλήνης·
Τῷ Ἱστιαίῳ δίδωσι κτίζειν δὲ τὴν Μυρκῖνον.
Ταῦτα καὶ γὰρ ᾐτήσαντο λαβεῖν παρὰ Δαρείου.
Ὁ Πέρσης δὲ Μεγάβυζος, στραφεὶς ἐκ Παιονίας,
Ἐν Σάρδεσιν ἐφεύρηκε καὶ πείθει τὸν Δαρεῖον,
Τὸν Ἱστιαῖον ἐπισχεῖν κτίσαι Μυρκῖνον πόλιν,
Ἥ τις Μυρκῖνος Ἡδωνὸς πρότερον ἐκαλεῖτο.
Μετακαλεῖται δὲ λοιπὸν Δαρεῖος Ἱστιαῖον,
Καὶ συναπάγει σὺν αὐτῷ πρὸς χώραν τὴν Σουσίδα.
Ὁ Ἱστιαῖος δὲ ποθῶν τὴν ἑαυτοῦ πατρίδα,
Λαβὼν οἰκέτην τῶν πιστῶν, οὗ κεφαλὴν ἐγξύρας
Καὶ γράψας γράμματα στικτά, ἐάσας τε κομάσαι,
Πέμπει πρὸς Μίλητον αὐτὸν πρὸς τὸν Ἀρισταγόραν,

---

497. Herodot. IV, 141.
498. *φωνήσας* cd. B.
501. *καὶ τὸν Κ.* cd. B. Conf. Herodot. V, 11.
502. *Μυτιλήνης* cd. B. De hoc nomine vide varietatem lectionis in Horat. Od. I, 7, 1.
503. *τὸν* pro *τὴν* cd. B.
505. *Μεγάβυζος* pro *Μεγάβυζις* cd. B. In cd. A. primo scriptum fuit *Μεγαβάζος*.
506. Herodot. V, 23.
508. Cf. Wessel. ad Herodot. l. c. Eodem quo hic modo loquitur Tzetzes Chil. IX, 221. In cd. B. est *ὀδωνός*.

Ὃς ἦν γαμβρὸς ἀνεψιός τε ὁμοῦ Ἱστιαίου.
Ὅνπερ οἰκέτην καὶ αὐτὸς ξύρας Ἀρισταγόρας,
Καὶ ἀναγνοὺς τὰ γράμματα, τὰς Ἑλληνίδας πόλεις
Κατὰ τὴν τούτων δύναμιν, ἤχθραινε τῷ Δαρείῳ.
Τέλος τὰς Σάρδεις ἔπεισε τοὺς Ἀττικοὺς πορθῆσαι.
Ὅπερ Δαρεῖος ἐκμαθὼν μεγάλως ἐδυσφόρει.
Σατράπης δέ τις τῶν Περσῶν οὕτω Δαρείῳ λέγει·
Ἔῤῥαψε μὲν ὑπόδημα ὁ Ἱστιαῖος τοῦτο,
Ῥαφὲν δὲ ὑπεδήσατο αὐτὸ Ἀρισταγόρας·
Τουτέστι, τὴν ὑπόθεσιν ἔδωκεν Ἱστιαῖος,
Εἰς τέλος δ' ἐξεπέρανε ταύτην Ἀρισταγόρας.
Συγκεχυμένων τοιγαροῦν οὕτω λοιπῶν τῶν πάντων,
Ὁ Ἱστιαῖος στέλλεται αὐτὸς παρὰ Δαρεῖον
Πρὸς σύμβασιν τῶν πόλεων τῶν συντεταραγμένων.
Οὕτω καὶ γὰρ ἠπάτησεν ἐκεῖνος τὸν Δαρεῖον.
Οὗτος ταράξας πλέον δὲ τὰς ἀστατούσας πόλεις,
Καὶ τὴν Περσίδα παρεικὼς ἔῤῥειν καὶ γῆν τὴν Σούσων,
Ἐν τῇ πατρίδι τολοιπὸν τοῖς φίλοις διῃτᾶτο.
Μετὰ μικρὸν ἐν τῷ Μυσῶν πεδίῳ τοῦ Καΐκου
Τοῦτον ζωγρήσας Ἅρπαγος ἄγει πρὸς Ἀρταφέρνην,
Τὸν τοῦ Δαρείου ἀδελφόν, Σάρδεσιν ὑπαρχοῦντα.
Ἐκεῖ δὲ τοῦτον τολοιπὸν ἀνασταυροῦσιν οὗτοι·
Τὴν κεφαλὴν δὲ πέμπουσιν ἐς Σοῦσα τῷ Δαρείῳ.
Ἣν ὁ Δαρεῖος κατιδὼν ἐδάκρυσεν ἀμέτρως,
Ἐξυπερζέσας τῇ ὀργῇ κατὰ τῶν σταυρωσάντων.
Τέλος δακρύσας περισσὰ τὴν κεφαλὴν ἐκείνην
Τοῖς Πέρσαις λέγει λούσαντας ἐντίμως καταθάψαι,
Ὡς εὐεργέτου τῶν Περσῶν μεγάλως ὑπηργμένου.
Ὀξύλου παῖς Ἡρόδοτος γράφει τὴν ἱστορίαν.

---

515. *τε ὁμοῦ* pro *ὁμοῦ τε* cd. B.

521. Herodot. VI, 1. ubi Valcken. Tzetzae errorem notat, quasi satrapa Dario dixerit, quod Histiaeo dixit.

531. *γῆν τὴν* cd. B. pro *τὴν τῶν*.

533. Herodot. VI, 28.

537. *Σοῦσαν* cd. B.

543. Vers. 540 — 543. citat Valck. ad Herodot. VI, 30. Vid. ad vs. 388.

Ὁ τῶν Κρητῶν δὲ βασιλεὺς Ἰδομενεὺς ἐκεῖνος,
Ἀπὸ τῆς Τροίας καὶ αὐτὸς ὑποστραφεὶς ἐν Κρήτῃ,
Πολλὰς εὑρὼν τὰς συμφορὰς ἐν οἴκῳ τῷ οἰκείῳ,
Μήδαν αὐτοῦ τὴν σύζυγον καὶ παῖδα Κλεισιθήραν
Ἀπεσφαγμένας ἐν ναῷ χερσὶ τοῦ ἀναθρέπτρυ
Λεύκου, παιδὸς τοῦ Τάλωος, Λεύκου τοῦ μιαιφόνου,
Φεύγει μακράν που καὶ αὐτὸς, φεύγει τὴν Κρήτην νῆσον.
Τούτῳ τῷ Λεύκῳ διωχθεὶς μεγάλα δυνηθέντι.
Σιγῶ τὸν Ἀμφιάραον, τὸν γέροντα Πηλέα,
Χρυσομανίαις γυναικὸς Θήβαις τὸν μὲν θανόντα,
Χρυσομανίαις γυναικὸς οἰκείας Ἐριφύλης·
Πηλέα δὲ τὸν σώφρονα, τὸν μέγαν πρὶν τροπαίοις,
Πικροῖς τοῖς δυσκληρήμασιν ὑστέρως πεπτωκότα.
Ἐν τρομερῷ τῷ γήρᾳ γὰρ τὸν ἔξοχον ἡρώων
Τὸν Ἀχιλλέα, τὸν κλεινὸν παῖδα, πολλὰ πενθήσας
Ἀνῃρημένον δολερῶς τῷ Πάριδι τῇ Τροίᾳ,
Μετὰ μικρὸν ἐθρήνησεν αὐτοπροσώπῳ θέᾳ
Καὶ σκύμνον τὸν Ἀχίλλειον εἰς μέλη τετμημένον
Χερσὶ καὶ ξίφεσι Δελφῶν καὶ δόλοις τοῖς Ὀρέστου.
Ἐῶ τὸν πρὶν εὐδαίμονα Θησέα τὸν Αἰγέως,
Ὕστερον πάνυ δυστυχῆ, παιδὸς ἀνῃρημένου·
Πάντας ἐῶ τοὺς τραγικῶν πυκτίσι γεγραμμένους.

ΠΕΡΙ ΑΙΧΜΑΛΩΣΙΑΣ ΤΩΝ ΠΑΙΔΩΝ ΚΛΕΟΠΑΤΡΑΣ ΚΑΙ ΤΟΥ ΠΕΡΣΕΩΣ ΥΙΟΥ.

πγ' καὶ πδ'.

Ἐῶ τῆς Κλεοπάτρας τε τοὺς παῖδας διαγράφειν,
Καὶ τοῦ Περσέως τὸν υἱόν, τοῦ Μακεδόνος λέγω,
Πῶς ἐκτραφέντες εὐγενῶς καὶ σκήπτροις καὶ πορφύρᾳ
Ἐν αἰχμαλώτων βλέπουσι τὴν Ῥώμην δυσκληρίᾳ.

294. *Μήδαν αὐτὴν* cd. B.
295. *ἐπεσφαγμένας* cd. B.
296. De Talo v. Heyn. obss. ad Apollod. p. 89. Eius filium Leucum non reperio ab aliis memoratum.
297. *φεύγει πρὸς Κρ.* cd. B.
298. *μεγάλως* cd. B.
310. *σιγῶ* pro *ἐῶ* cd. B. Eadem huius codicis diversitas est vss. 343. et 320.

ΠΕΡΙ ΑΝΑΙΡΕΣΕΩΣ ΜΑΥΡΙΚΙΟΥ ΚΑΙ ΤΩΝ ΦΙΛΤΑΤΩΝ. πέ.

Τὰς συμφορὰς ἐκτραγῳδεῖν ἐῶ τοῦ Μαυρικίου,
Πῶς σὺν συζύγῳ καὶ παισὶ Φωκᾷ τῷ τυραννοῦντι
Ἐξεθαμνίσθη πρόῤῥιζος μέσον ἱπποδρομίας.
Ἐῶ τὸν μέγαν τὸν Φωκᾶν πῶς ἀνῃρέθη λέγειν,
Καὶ πάντας ὅσοι χρονικοὶ καὶ τραγικοὶ βοῶσιν.
Γελίμερ ἦν τις βασιλεὺς ἐθνῶν τῶν Μαυρουσίων,
Ὃς κατὰ κράτος ἡττηθεὶς ὑπὸ Βελισαρίου
Ἐφ' ἱκανὰς ἡμέρας μὲν σὺν γαμετῇ καὶ τέκνοις
Ἐκρύπτετο τοῖς ὄρεσι, θηρῶν τὴν σωτηρίαν.
Ὡς δ' ὁ λιμὸς ἐπίεζεν οὐκ ἀνεκτῶς ἐκείνους,
Κρήνης δὲ δίκην ὀφθαλμῶν ἐξαπεχεῖτο δάκρυ,
Γράμμα πρὸς Βελισάριον περιπαθές τι γράφει·
Κινύραν, Βελισάριε, στεῖλόν μοι, σπόγγον, ἄρτον,
Τὴν μέν, ὡς τραγῳδήσαιμι τὸ βαρὺ σύμφορόν μου,
Σπόγγον δ' ὡς ἀπομόργνυμι δακρύων τὰς πλημμύρας,
Ἄρτον δ' ὡς ἂν κατίδοιμι κἂν μόνην τούτου θέαν·
Πολὺς γὰρ ἤδη μοι καιρὸς ἀσίτῳ παρεῤῥύη.
Ἐς τοῦτο γὰρ συνήλασεν ἄτρακτος ὁ Μοιρῶν με,
Ὑπερνικῆσαι σύμπαντας βαρυσυμφορωτάτους.
Οὗτος αἰχμάλωτος ἀχθεὶς τῇ Κωνσταντίνου πόλει
Καὶ στὰς εἰς τὸν ἱππόδρομον σὺν τοῖς δοριαλώτοις,
Τὸ ματαιότης ἔλεξε ματαιοτήτων πάντα.

HIST. 85.

317. Cf. Cedren. p. 403. Zonar. Annal. lib. XIV. p. 79. Procop. de bello Vandal. lib. II. p. 250. sqq.

321. *τραγικοὶ καὶ χρονικοὶ* cd. B.

322. *Γελλίβερ — στρατηγὸς* cd. B.

325. *σωτηρίαν* pro *σωτηρίου* cd. B. Est illud appositionis genus, cuius aliquot exempla commemorat Matthiae in gram. gr. min. §. 432. 4. In marg. cd. A. *τῇ σωτηρίᾳ*.

328. *Βελλισάριον* et hic et alibi cd. B. Idem vs. prox. *κιννύραν*.

ΠΕΡΙ ΒΕΛΙΣΑΡΙΟΥ ΤΟΥ ΣΤΡΑΤΗΓΟΥ. πή.

Οὗτος ὁ Βελισάριος ὁ στρατηγὸς ὁ μέγας,
Ἰουστινιανείοις ὢν ἐν χρόνοις στρατηλάτης,
Πρὸς πᾶσαν τετραμέρειαν γῆς ἐφαπλώσας νίκας,
Ὕστερον φθόνῳ τυφλωθείς, ὢ τύχης τῆς ἀστάτου,
Ἔκπωμα ξύλινον κρατῶν, ἐβόα τῷ μιλίῳ,
Βελισαρίῳ ὀβολὸν δότε τῷ στρατηλάτῃ,
Ὃν τύχη μὲν ἐδόξασεν, ἀποτυφλοῖ δ' ὁ φθόνος.
Ἄλλοι φασὶ τῶν χρονικῶν, μὴ τυφλωθῆναι τοῦτον,
Ἐξ ἐπιτίμων δ' ἄτιμον ἐσχάτως γεγονέναι,
Καὶ πάλιν εἰς ἀνάκλησιν δόξης ἐλθεῖν προτέρας.

ΠΕΡΙ ΔΑΡΕΙΟΥ ΟΝ ΗΤΤΗΣΕΝ ΑΛΕΞΑΝΔΡΟΣ, ΠΕΡΙ ΡΗΓΟΥΛΟΥ ΤΟΥ ΡΩΜΑΙΟΥ, ΠΕΡΙ ΞΑΝΘΙΠΠΟΥ ΣΠΑΡΤΙΑΤΟΥ.
ἀπὸ πθ' μέχρι ϟά.

Ἡ παλαιῶν ἀνώνυμος τοιάδε ἱστορία.
Δαρεῖος μὲν ὁ ὕστερος Περσίδος βασιλεύσας,
Ὃν ἥττησεν Ἀλέξανδρος ὁ Μακεδὼν ὁ μέγας,
Ὑπὸ τοῦ Βήσου τέθνηκε καὶ Ἀριοβαρζάνου,
Ἀνδρῶν Περσῶν, οὓς ἔκτεινεν ὁ Μακεδὼν σταυρώσας.
Τοῦτο τὸ τέλος γίνεται Δαρείῳ μὲν τῷ Πέρσῃ,
Ἀντὶ τιμῆς τῆς πρότερον, ἀντὶ τῆς βασιλείας.
Ῥηγούλῳ τῷ Ῥωμαίῳ δὲ Μάρκῳ τῷ στρατηλάτῃ
Κατασχεθέντι Σικελοῖς μάθε τὸ τέλος οἷον.
Τὰ βλέφαρα τῶν ὀφθαλμῶν μαχαίρᾳ συντεμόντες
Ἠνεῳγμένους εἴασαν τοὺς ὀφθαλμοὺς ἐκείνου.
Μικρᾷ δὲ τοῦτον εἴρξαντες καλύβῃ στενωτάτῃ,

Historiae 86. et 87. non sunt numeratae.

HIST. 89 — 91.

343. *Μίλιον* est *stadium*. Non recte Reinesius ad Suidam s. h. v. *Μίλιον* intelligit e populo Constant. aliquem.

349. *τῶν παλ.* cd. B.

353. *ὃν — εὑρήσας* cd. B. pro *οὓς σταυρώσας*.

354. *γέγονε* cd. B. aeque bene.

Ἄγριον ἐξοιστρήσαντες ἐλέφαντα θηρίον,
Ἐκίνουν τοῦτον καθ' αὐτοῦ συγκατασπᾶν καὶ ξέειν.
Οὕτω ποινηλατούμενος ὁ στρατηγὸς ὁ μέγας,
Τὸν βίον ἐξαπέπνευσεν ἠθλιωμένῳ τέλει.

Τοῖς Σικελοῖς καὶ Ξάνθιππος ὁ Σπαρτιάτης θνήσκει.
Περὶ γὰρ τὸ Λιλύβαιον τῶν Σικελῶν τὴν πόλιν
Ῥωμαίοις τε καὶ Σικελοῖς πόλεμος ἐκροτεῖτο,
Πρὸς εἴκοσι καὶ τέσσαρας τοὺς χρόνους ἐξαρκέσας.
Οἱ Σικελοὶ ταῖς μάχαις δὲ πολλάκις ἡττημένοι
Ῥωμαίοις, ἐνεχείριζον τὴν πόλιν εἰς δουλείαν.
Τῶν δὲ Ῥωμαίων μηδαμῶς μηδ' οὕτω πειθομένων,
Ἀλλὰ γυμνοὺς τοὺς Σικελοὺς λεγόντων ἐξιέναι,
Ὁ Σπαρτιάτης Ξάνθιππος ἐλθὼν ἀπὸ τῆς Σπάρτης,
Σὺν στρατιώταις ἑκατόν, ἢ μόνος καθ' ἑτέρους,
Κατ' ἄλλους δὲ πεντήκοντα τοὺς στρατιώτας ἔχων,
Καὶ προσβαλὼν τοῖς Σικελοῖς, οὖσιν ἐγκεκλεισμένοις,
Δι' ἑρμηνέως τε αὐτοῖς πολλὰ συνομιλήσας,
Τέλος θαῤῥύνει κατ' ἐχθρῶν. καὶ συναράξας μάχῃ,
Ἅπαν Ῥωμαίων στράτευμα σὺν τούτοις κατακόπτει.
Τοῖς εὐηργετημένοις δὲ τὴν ἀμοιβὴν λαμβάνει
Ἀξίαν καὶ κατάλληλον τῆς τούτων δυστροπίας.
Πλοίῳ σαθρῷ τὸν ἄνδρα γὰρ οἱ μιαροὶ βαλόντες,
Ὑπὸ στροφαῖς βυθίζουσι πελάγει τοῦ Ἀδρίου,
Βασκήναντες τὸν ἥρωα καὶ τούτου τὸ γενναῖον.
Τῆς ἱστορίας μέμνηται τῆσδε καὶ τῆς Ῥηγούλου
Ὁ Σικελὸς Διόδωρος· τὴν δὲ Δαρείου γράφει
Ὁ Καλλισθένης συγγραφεὺς σὺν οὐκ ὀλίγοις ἄλλοις.

---

370. *ἐνεχείριζον* pro *ἀνεχείρ.* cd. B.
371. *μηδαμοῦ* cd. B.
378. *συναῤῥάξας* cd. B.
382. *μυσαροὶ* cd. B. non minus recte.
383. *ὑποστροφαῖς* — *ἀδρίου* cd. B.
386. Diod. Ecl. XXIII, 13. p. 504. Wess.

ΠΕΡΙ ΤΟΥ ΞΥΛΙΝΟΥ ΝΕΚΡΟΥ. ϟβʹ.

Ὁ συγγραφεὺς Ἡρόδοτος, ὁ παῖς ὁ τοῦ Ὀξύλου,
Τοῖς Αἰγυπτίων ἱστορεῖ δείπνοις τελεῖσθαι τόδε.
Οἰκέτης ξύλινον νεκρὸν τοῖς δείπνοις περιφέρων
Ἀνακειμένους σύμπαντας οὕτω πως σωφρονίζει,
Βοῶν, πρὸς τοῦτον βλέποντας καὶ τρώγειν χρὴ καὶ πίνειν.

ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΛΑΚΩΝΙΚΩΝ ΟΙΚΕΤΩΝ ΜΕΘΗΣ. ϟγʹ.

Οἱ Λάκωνες μεθύσκοντές τοὺς ἑαυτῶν οἰκέτας
Καὶ τέκνοις παρεισφέροντες ἐκείνους τοῖς ἰδίοις
Καταγελάστως ἔχοντας ἀκράτῳ καὶ τῇ μέθῃ,
Παντὸς ἐκείνους ἀπρεποῦς ἐξέτρεπον καὶ φαύλου.
Τῆς δ' ἱστορίας ἀκριβῶς τὸν συγγραφέα λέγειν,
Ἡρόδοτος, ὁ Πλούταρχος, εἴτ' ἄλλος οὐ γινώσκω.

ΠΕΡΙ ΔΑΡΕΙΟΥ ΤΟΥ ΠΑΤΡΟΣ ΞΕΡΞΟΥ. ϟδʹ.

Τὴν τοῦ Δαρείου σύμπασαν εἰς πλάτος ἱστορίαν
Ἐπιστολῆς τὸ κείμενον τρανῶς σοι διαγράφει
Περὶ Δαρείου τοῦ πατρὸς Ξέρξου ταυτὶ σοι λέγον·
„Δαρεῖος γὰρ ὁ βάρβαρος ἐλθὼν εἰς Βαβυλῶνα,
„Ὑπασπιστής, οὐ βασιλεὺς ὢν ἐν τοῖς τότε χρόνοις,
„Ἐκ Συλοσῶντος δὲ λαβὼν δῶρον, πυῤῥὰν χλανίδα,
(Ὁ Συλοσῶν δ' ἦν ἀδελφὸς Σαμίου Πολυκράτους,)
„Ὡς ἐγκρατὴς μετέπειτα γέγονε βασιλείας,
„Τῆς δωρεᾶς οὐ γέγονεν ὁ βάρβαρος ἀμνήμων.
„Ἀνερευνήσας δὲ ποιεῖ τῆς Σάμου βασιλέα,

HIST. 92.

388. Herodot. II, 78. ubi Wessel. emendat ὁ τοῦ Λύξεω. Vid. epigr. in scholiis ad Aristoph. Nub. 331.

HIST. 93.

393. μεθύσκοντες e cd. B. recepi pro corrupto μέθυσκον.

398. Plutarch. Lycurg. c. 28.

HIST. 94.

389. πρὸς πλάτος cd. B.

404. χλανίδα pro χλαμύδα e cd. B.

„Φήσας, Δαρεῖος οὐδαμῶς ἀμνημονεῖ χαρίτων.
Ὁ συγγραφεὺς Ἡρόδοτος γράφει τὴν ἱστορίαν.

ΠΕΡΙ ΒΕΛΕΣΥΟΣ ΤΟΥ ΒΑΒΥΛΩΝΙΟΥ ΚΑΙ ΑΡΣΑΚΟΥ ΤΟΥ ΜΗΔΟΥ ΚΑΙ ΤΗΣ ΚΑΘΑΙΡΕΣΕΩΣ ΣΑΡΔΑΝΑΠΑΛΟΥ ΤΟΥ ΑΣΣΥΡΙΟΥ. ϟε΄.

Τῷ γένει Βαβυλώνιος ὁ Βελεσὺς ὑπῆρχεν,
Ἀνὴρ σοφὸς καὶ συνετός, ὀξὺς τὸ δέον κρῖναι.
Οὗτος τὸν Σαρδανάπαλον ὁρῶν τὸν γυναικίαν,
Ὑπερηφάνως ἀμελῶς ῥαθύμως τεθρυμμένον,
Τῶν Ἀσσυρίων τὴν ἀρχὴν ἰθύνοντα παγκάκως·
(Τῶν ἀνακτόρων ἔνδοθι καὶ γὰρ ἐγκεκλεισμένος
Εὐνούχοις μόνοις θεατὸς καὶ παλλακαῖς ὑπῆρχεν,
Ἐριουργῶν, ξυρόμενος καὶ πεφυκιωμένος,
Φωνὴν ὑπολεπτύνων τε μιμήσει γυναικείᾳ,
Στολήν τε περικείμενος τὴν ἥνπερ καὶ γυναῖκες,
Πλὴν τῆς ἀνδρώας φύσεως ὅλος γυνὴ τυγχάνων,
Ἅπαξ τοῦ ἔτους ἄνωθεν οἷα θεὸς τοῖς πᾶσιν
Ἀφ᾽ ὑψηλοῦ προὔτεινε τοῦ πύργου τὴν χειρίδα,
Ἣν προσεκύνουν βασιλεῖς καὶ μεγιστᾶνες πάντες,
Τὰ δ᾽ ἄλλα πάντα τοῖς λοιποῖς καιροῖς ἐκυβερνᾶτο
Εὐνούχων τοῖς κελεύσμασι κἂν πόλεμος κἂν ἄλλο·)
Τοιαῦτα βλέπων Βελεσύς, οὐκ ἐνεγκὼν τὴν ὕβριν,
Χρησμῶν συμπλάσας λόγια καὶ θεοπροπείας
Πρὸς ἀνταρσίας ἤγειρε τὸν Μῆδον τὸν Ἀρσάκην.
Καὶ προσβολῇ τῇ πρώτῃ μὲν ἡττήθησαν εὐθέως·
Τῇ δὲ δευτέρᾳ προσβολῇ τὸν Νεῖλον πλημμυροῦντα
Μαθὼν ὁ Σαρδανάπαλος (τοῦτο γὰρ ἦν σημεῖον)
Τοῖς ἀνακτόροις προσφυγὼν καὶ πυρπολήσας ταῦτα
Αὑτὸν ὁμοῦ καὶ παλλακὰς καὶ θησαυροὺς συγκαίει.

---

410. Herodot. III, 139. sq. HIST. 95.
412. Pro τὸ δέον in cd. B. δὲ εἰς τὸ, quod praefero.
431. Imo *Euphratem*. Vid. Diod. Sic. II, 27.

Ἀρσάκης εἰσελάσας δὲ μετὰ τοῦ Βελεσύος
Τὴν βασιλείαν ἔσχηκε μετὰ λαμπρᾶς τῆς νίκης·
Ὅθεν εἰς Μήδους πέπτωκε τὸ κράτος Ἀσσυρίων.
Καὶ Βελεσύϊ δωρεὰν τῷ συνεργῷ δωρεῖται,
Ἥνπερ καὶ ἐξῃτήσατο, πάντων καυθέντων τέφραν.
Ταύτην λαβὼν ὁ Βελεσὺς Ἀρσάκῃ πενομένῳ,
(Γυμνὴν γὰρ μόνην ἔσχηκε, γυμνὴν τὴν βασιλείαν)
Κατά τινας μὲν λέγεται μόνον προσαγγελθῆναι,
Ὡς πάντα χρήματα λαβὼν δολιοτρόπῳ γνώμῃ
Ἐκείνῳ δίδωσιν οὐδέν, χρημάτων ἀμοιροῦντι·
Κατὰ δ' ἑτέρους λέγεται καὶ ἐπιθέσθαι τούτῳ.
Νενικηκὼς Ἀρσάκης δὲ τοῦτον ἀφῆκε, φήσας,
Πλειόνως ἐπωφέλησεν, ὥνπερ ἐλύπησέ με.
Ὁ Σικελὸς Διόδωρος γράφει τὴν ἱστορίαν
Καὶ σὺν αὐτῷ καὶ ἕτεροι τῶν ἱστοριογράφων.
Γράφει καὶ τὸ ἐπίγραμμα τὸ τοῦ Σαρδαναπάλου,
Ὃ γεγραμμένον πέφυκε γράμμασιν Ἀσσυρίοις,
Κἂν ἐξελληνιζόμενον ταῦτα δηλοῖ τὰ ἔπη·
„Εὖ εἰδὼς ὅτι θνητὸς ἔφυς, σὸν θυμὸν ἄεξε,
„Τερπόμενος θαλίῃσι, θανόντι σοι οὔτις ὄνησις.
„Καὶ γὰρ ἐγὼ σποδός εἰμι, Νίνου μεγάλης βασιλεύσας,
„Ταῦτ' ἔχω, ὅσσ' ἔφαγον καὶ ἐφύβρισα καὶ μετ' ἔρωτος
„Τέρπν' ἔπαθον. τὰ δὲ πολλὰ καὶ ὄλβια κεῖνα λέλειπται.

ΠΕΡΙ ΙΣΤΙΑΙΟΥ ΤΟΥ ΜΙΛΗΣΙΟΥ. ϟϛʹ.

Οὗτος ὁ Ἱστιαῖος ἦν Μιλήσιος τῷ γένει.
Δαρείῳ δ' ἐπελαύνοντι κατὰ Σκυθῶν τῷ Πέρσῃ
Σὺν ἑβδομήκοντα στρατοῦ μαχίμοις μυριάσιν
Ἑξακοσίαις τε ναυσὶ καὶ πᾶσι κατ' ἀξίαν,

---

438. *ποιεῖται* cd. B. pro *δωρεῖται.*

439. *ἐζητήσατο* cd. B.

447. *ἐλύπησε* pro *ὠφέλησε* cd. B. verissime.

452. Cf. Naekium ad Choerili fragm. p. 196. sqq.

454. *ὀνήσει* quod antea pro *ὄνησις* legebatur, merum erat sphalma librarii.

Ὁπότε καὶ τὸν Βόσπορον διέβη γεφυρώσας
Τοῦ Μανδροκλέους ταῖς χερσὶ τέκτονος τοῦ Σαμίου,
Ἐπεὶ πάντες ὑπέκειντο Περσῶν τῇ βασιλείᾳ,
Ἦσαν συνεκστρατεύοντες Δαρείῳ τῷ ῥηθέντι
Οὗτος ὁ Ἱστιαῖός τε καὶ Κώης Ὀρεξάνδρου,
Ἀνὴρ πᾶσι πιστότατος, γένος ἐκ Μιτυλήνης,
Καὶ Μιλτιάδης Ἀττικός, δεινὸς ἀνὴρ ἐν λόγοις,
Ἀρίστων τε Βυζάντιος, οὐχ ἧττων Μιλτιάδου·
Ὡς οὖν Δαρεῖος πέφθακεν ἤδη καὶ πρὸς τὸν Ἴστρον,
Καὶ τοὖτὸν διεπέρασε γεφύρᾳ πρὸς τοὺς Σκύθας,
Λύειν εὐθὺς ἐκέλευσε τὴν γέφυραν ἐκείνην.
Κώης ὁ Ὀρεξάνδρου δὲ τοῦτον οὐκ εἴα, λέγων,
Ὅρα, Δαρεῖε βασιλεῦ, καὶ τύχας ἀπαισίους,
Μή πως ἡμῖν ἀνέλπιστος πέσῃ φυγὴ τοῖς Σκύθαις,
Καὶ Περσικῶν ἐμπλήσωμεν τὸν Ἴστρον σκηνωμάτων.
Ταῦτα τοῦ Κώου λέξαντος, τὴν γέφυραν ἐάσας
Δαρεῖος, τούτῳ δωρεὰς τῆς γνώμης ὑπισχνεῖται,
Ἐπάνπερ ἀναζεύξωσιν αὖθις εἰς τὴν Περσίδα·
Αὐτὸς δ' εἰς Σκύθας ἐμβαλὼν ἡττᾶται κατὰ κράτος.
Οἱ Σκύθαι τὸν Δαρεῖον δὲ μέσον Σκυθῶν λιπόντες,
Ἐλάσαντες εἰς γέφυραν, ἦλθον τὴν παριστρίαν,
Ἣν Ἕλληνες ἐφύλαττον ἄνδρες οἱ λελεγμένοι,
Οἷς ἔφαν Σκύθαι γέφυραν λύσαντας ἀποτρέχειν·
Οὐδὲν γὰρ μάχης αἴτιον Ἕλλησι καὶ τοῖς Σκύθαις,
Ἐᾶσαι τὸν Δαρεῖον δὲ δοῦναι τοῖς Σκύθαις δίκην.

HIST. 96.

462. Postquam pontem aedificari iussisset.

465. *συνεκστρατεύοντες* reposui ex cd. B. pro aoristo.

466. Herodot. IV, 97. *Κώης ὁ Ἐρξάνδρου.* Ita in Tzetza scribi iubet Wessel. Vide tamen lectionis varietatem in Herodoti loco.

469. *ἧττον* cd. B.

472. *ἐκέλευσε* cd. B. pro imperfecto.

474. *ἀπαισίους* pro *ἀπαισίας* cd. B. recte.

475. *πέσῃ* pro optat. cd. B.

479. *πατρίδα* cd. B. pro *Περσίδα*.

481. *μέσον* pro *μέσῳ* cd. B. — Cf. Herodot. IV, 136. sqq.

484. *λύσασιν* cd. B. non minus recte. Idem in marg. cd. A. est annotatum.

Ὧν Μιλτιάδης ἔλεγε τοῖς Σκύθαις πεπεισμένος,
Λύειν καλὸν τὴν γέφυραν, ἔᾶσαι δὲ τοὺς Πέρσας
Ὑπὸ Σκυθῶν ἐν τῇ Σκυθῶν ἄρδην ἐκθαμνισθῆναι.
Ὁ Ἱστιαῖος δὲ τηρῶν σχέσιν Περσῶν τῷ γένει,
Ἀφεστηκὼς ἐτύγχανε τῆς γνώμης Μιλτιάδου.
Πλὴν ἐφεστώτων τῶν Σκυθῶν ἄρχεται λύειν ταύτην.
Ἀφιππευσάντων δ' ἀπ' αὐτῶν μῆκος ὁδοῦ βραχύ τι,
Τὴν γέφυραν ἐτήρησεν ἐκπεραιοῦν τοὺς Πέρσας.
Νυκτὶ δὲ μέσῃ πεφευγὼς Δαρεῖος ἡττημένος
Ἤλασε πρὸς τὴν γέφυραν, καὶ Ἀρταχαίῳ λέγει,
Ἀνδρὶ μὲν πενταπήχει, φωνὴν δὲ στεντορείῳ,
Καὶ ὃς βοήσας μέγιστον ἐκ τῆς περαίας Ἴστρου
Τὸν Ἱστιαῖον κέκραγε, καὶ περαιοῦνται πάντες.
Ὅθεν Δαρεῖος δωρεὰς δίδωσι τοῖς ἀνδράσι,
Τὸν Κώην μὲν τῆς συμβουλῆς ἕνεκα τῆς προτέρας
Ἐξ ἰδιώτου τύραννον ποιήσας Μιτυλήνης·
Τῷ Ἱστιαίῳ δίδωσι κτίζειν δὲ τὴν Μυρκῖνον.
Ταῦτα καὶ γὰρ ᾐτήσαντο λαβεῖν παρὰ Δαρείου.
Ὁ Πέρσης δὲ Μεγάβυζος, στραφεὶς ἐκ Παιονίας,
Ἐν Σάρδεσιν ἐφεύρηκε καὶ πείθει τὸν Δαρεῖον,
Τὸν Ἱστιαῖον ἐπισχεῖν κτίσαι Μυρκῖνον πόλιν,
Ἥ τις Μυρκῖνος Ἠδωνὸς πρότερον ἐκαλεῖτο.
Μετακαλεῖται δὲ λοιπὸν Δαρεῖος Ἱστιαῖον,
Καὶ συναπάγει σὺν αὐτῷ πρὸς χώραν τὴν Σουσίδα.
Ὁ Ἱστιαῖος δὲ ποθῶν τὴν ἑαυτοῦ πατρίδα,
Λαβὼν οἰκέτην τῶν πιστῶν, οὗ κεφαλὴν ἐγξύρας
Καὶ γράψας γράμματα στικτά, ἐάσας τε κομάσαι,
Πέμπει πρὸς Μίλητον αὐτὸν πρὸς τὸν Ἀρισταγόραν,

---

497. Herodot. IV, 141.
498. *φωνήσας* cd. B.
501. *καὶ τὸν Κ.* cd. B. Conf. Herodot. V, 11.
502. *Μυτιλήνης* cd. B. De hoc nomine vide varietatem lectionis in Horat. Od. I, 7, 1.
503. *τὸν* pro *τὴν* cd. B.
505. *Μεγάβυζος* pro *Μεγάβυζις* cd. B. In cd. A. primo scriptum fuit *Μεγαβάζος*.
506. Herodot. V, 23.
508. Cf. Wessel. ad Herodot. l. c. Eodem quo hic modo loquitur Tzetzes Chil. IX, 221. In cd. B. est *ὀδωνός*.

Ὃς ἦν γαμβρὸς ἀνεψιός τε ὁμοῦ Ἱστιαίου.
Ὅνπερ οἰκέτην καὶ αὐτὸς ξύρας Ἀρισταγόρας,
Καὶ ἀναγνοὺς τὰ γράμματα, τὰς Ἑλληνίδας πόλεις
Κατὰ τὴν τούτων δύναμιν, ἤχθραινε τῷ Δαρείῳ.
Τέλος τὰς Σάρδεις ἔπεισε τοὺς Ἀττικοὺς πορθῆσαι.
Ὅπερ Δαρεῖος ἐκμαθὼν μεγάλως ἐδυσφόρει.
Σατράπης δέ τις τῶν Περσῶν οὕτω Δαρείῳ λέγει·
Ἔῤῥαψε μὲν ὑπόδημα ὁ Ἱστιαῖος τοῦτο,
Ῥαφὲν δὲ ὑπεδήσατο αὐτὸ Ἀρισταγόρας·
Τουτέστι, τὴν ὑπόθεσιν ἔδωκεν Ἱστιαῖος,
Εἰς τέλος δ' ἐξεπέρανε ταύτην Ἀρισταγόρας.
Συγκεχυμένων τοιγαροῦν οὕτω λοιπῶν τῶν πάντων,
Ὁ Ἱστιαῖος στέλλεται αὐτὸς παρὰ Δαρεῖον
Πρὸς σύμβασιν τῶν πόλεων τῶν συντεταραγμένων.
Οὕτω καὶ γὰρ ἠπάτησεν ἐκεῖνος τὸν Δαρεῖον.
Οὗτος ταράξας πλέον δὲ τὰς ἀστατούσας πόλεις,
Καὶ τὴν Περσίδα παρεικὼς ἔῤῥειν καὶ γῆν τὴν Σούσων,
Ἐν τῇ πατρίδι τολοιπὸν τοῖς φίλοις διῃτᾶτο.
Μετὰ μικρὸν ἐν τῷ Μυσῶν πεδίῳ τοῦ Καΐκου
Τοῦτον ζωγρήσας Ἅρπαγος ἄγει πρὸς Ἀρταφέρνην,
Τὸν τοῦ Δαρείου ἀδελφόν, Σάρδεσιν ὑπαρχοῦντα.
Ἐκεῖ δὲ τοῦτον τολοιπὸν ἀνασταυροῦσιν οὗτοι·
Τὴν κεφαλὴν δὲ πέμπουσιν ἐς Σοῦσα τῷ Δαρείῳ.
Ἣν ὁ Δαρεῖος κατιδὼν ἐδάκρυσεν ἀμέτρως,
Ἐξυπερζέσας τῇ ὀργῇ κατὰ τῶν σταυρωσάντων.
Τέλος δακρύσας περισσὰ τὴν κεφαλὴν ἐκείνην
Τοῖς Πέρσαις λέγει λούσαντας ἐντίμως καταθάψαι,
Ὡς εὐεργέτου τῶν Περσῶν μεγάλως ὑπηργμένου.
Ὀξύλου παῖς Ἡρόδοτος γράφει τὴν ἱστορίαν.

---

515. *τε ὁμοῦ* pro *ὁμοῦ τε* cd. B.

521. Herodot. VI, 1. ubi Valcken. Tzetzae errorem notat, quasi satrapa Dario dixerit, quod Histiaeo dixit.

531. *γῆν τὴν* cd. B. pro *τὴν τῶν*.

533. Herodot. VI, 28.

537. *Σοῦσαν* cd. B.

543. Vers. 540 — 543. citat Valck. ad Herodot. VI, 30. Vid. ad vs. 388.

ΠΕΡΙ ΔΗΜΟΚΗΔΟΥ ΤΟΥ ΚΡΟΤΩΝΙΑΤΟΥ ΙΑΤΡΟΥ. ϟζ΄.

Ὁ Δημοκήδης ἰατρὸς ἐκ Κρότωνος ὑπῆρχε,
Γαμβρὸς τελῶν τοῦ Μίλωνος ἐκείνου τοῦ γενναίου.
Οὗτος σὺν Πολυκράτεϊ τῷ βασιλεῖ τῆς Σάμου
Εἰς τὴν Περσίδα βέβηκε πρὸς Πέρσην τὸν Ὀροίτην.
Ὡς οὖν σταυρώσας ἔκτεινεν Ὀροίτης Πολυκράτη,
Ῥακενδυτῶν αἰχμάλωτος ἐτέλει Δημοκήδης.
Κυνηγεσίᾳ δέ ποτε στραγγαλισθεὶς Δαρεῖος
Ἐκ τῶν Περσῶν τῶν ἰατρῶν ἀνίατος ὑπῆρχεν.
Ὡς Δημοκήδης δὲ αὐτὸν ἰάσατο τῇ τέχνῃ,
Δαρεῖος τοῦτον ἔπεμψε πρὸς γαμετὰς ἰδίας
Καὶ παλλακὰς τὰς ἑαυτοῦ, τρανῶς ἀνακηρύττων,
Τοῦτον σωτῆρα τῆς ψυχῆς ὑπάρχειν τοῦ Δαρείου.
Αἱ δ' ἀντερίζουσαι λοιπὸν ὑπερβαλεῖν τοῖς δώροις
Χρυσαῖς φιάλαις τὸν χρυσὸν ἐπέχεον ἐκείνῳ,
Ὡς τὸν αὐτοῦ θεράποντα, τὸν Σκίτωνα τὴν κλῆσιν,
Συλλέγοντα τὰ πίπτοντα, γενέσθαι τῶν πλουσίων.
Καὶ ταύτην ὁ Ἡρόδοτος τὴν ἱστορίαν γράφει.

ΠΕΡΙ ΚΥΡΟΥ ΤΟΥ ΥΙΟΥ ΜΑΝΔΑΝΗΣ ΚΑΙ ΚΑΜΒΥΣΟΥ. ϟη΄.

Κῦρος ὁ Πέρσης ὁ υἱὸς Καμβύσου καὶ Μανδάνης,
Ὥσπερ ὁ Γρύλλου Ξενοφῶν Κύρου παιδείᾳ γράφει,
Εἶδος ἦν ὡραιότατος, τῷ κάλλει διαπρέπων,
Ψυχὴν φιλανθρωπότατος καὶ τῶν φιλομυθούντων,
Ἡδὺς καὶ περιδέξιος καὶ τῶν μεγαλοδώρων.
Ἐν δὲ ταῖς κρίσεσι κριτὴς κανὼν εὐθυδικίας,

HIST. 97.

548. In utroque hic codice *στρῶσας* est scriptum per compendium, ut in cd. A. infra in Epistolio v. 669. *στρωθείς.*

549. Herodot. III, 129. eum vocat *ῥάκεσι ἐσθημένον.*

550. *κυνηγεσίῳ* cd. B. Conf. Herodot. l. c.

Ὅσιος, σωφρονέστατος, πάντων καλῶν ἀκρότης.
Οὗτος συνάψας πόλεμόν ποτε τοῖς Ἀσσυρίοις,
Σὺν Ἀστυάγει πάππῳ τε καὶ μήτρῳ Κυαξάρει,
Δι' ἃς αἰτίας εἶπον πρίν, τῆς μάχης συῤῥαγείσης,
Ἔτι μειράκιον τελῶν δείκνυσιν ἔργα ποῖα.
Τοὺς Ἀσσυρίους τούτους γὰρ ἡττήσας κατὰ κράτος,
Καὶ πρὸ αὐτῶν, ὡς δε' αὐτούς, καὶ τὸν Λυδὸν τὸν Κροῖσον,
Κἂν φιλανθρώπως ἅπασιν ὡς σώφρων προσηνέχθη,
Πόσους ὁποίαις ταῖς τιμαῖς ἠμείψατο καὶ δώροις,
Τοῖς μὲν ὀφείλων ἀμοιβὰς μικρᾶς εὐεργεσίας,
Τοῖς πλείοσι κατάρχων δὲ βασιλικῶν χαρίτων,
Ὁμολογῶν τε χάριτας τούτοις οὐ τὰς τυχούσας,
Ἀνθ' ὧν λαμβάνουσιν αὐτοῦ τὰς δωρεὰς αἰτοῦντες.
Αὐτίκα Κυαξάρει γὰρ τῷ βασιλεῖ καὶ θείῳ,
Ἀνθ' ὧν αὐτῷ παρέσχηκε τὴν πᾶσαν στρατηγίαν,
Ἐκεῖνος δ' ἐμεθύσκετο μετὰ τῶν συσκηνούντων,
Ἐκ τῶν ληφθέντων ἔλεγεν ἐκ μάχης Ἀσσυρίων
Ἐκλέγεσθαι πᾶν κάλλιστον καὶ πέμπειν πρὸς ἐκεῖνον.
Ὡς δὲ γελῶντες ἔλεγον οἱ Μῆδοι πρὸς τὸν Κῦρον,
Γυναῖκας πέμπειν χρὴ καλάς, γυναῖκας τούτῳ, Κῦρε,
Γυναῖκας τοίνυν ἔφησεν ὁ Κῦρος ἐξαιρεῖσθε,
Καὶ εἴ τι ἄλλο περ ὑμῖν δοκεῖ καὶ Κυαξάρῃ.
Πολλὰ γοῦν ὅσα πρὸς χλιδήν, καὶ χρήματα μυρία
Ὅσα κορέννυσι ψυχὴν καὶ ἀκορεστοτάτην,
Πρὸς Κυαξάρη πέπομφεν ἀντὶ τῆς στρατηγίας.
Ὡς δ' ἐξῃρέθη καὶ αὐτῷ παρὰ στρατοῦ τῷ Κύρῳ
Ἥ τε καλλίστη τῶν σκηνῶν, καὶ μουσουργοὶ γυναῖκες,
Καὶ ἡ Σουσὶς ἡ Πάνθεια σύζυγος Ἀβραδάτου,
Ἡ κρείττων κάλλει γυναικῶν πασῶν τῶν κατ' Ἀσίαν,

HIST. 98.

570. Chil. I, 58. sqq.

576. μικρὰς cd. B.

579. λαμβάνουσι e cd. B. restitui pro coniunctivo. Ex eodem cd. vs. prox. recepi αὐτίκα pro mutilato ἀντί.

584. πέμψειν cd. B.

587. Pro ἐξαιρεῖσθαι scripsi ἐξαιρεῖσθε. In cd. A. primo scriptum fuit ἐξαιρεῖσθαι, deinde autem ultima syllaba αι in ε mutata. Cd. B. habet ἐξαιτεῖσθε.

Τρόποις δὲ σώφροσι πασῶν ὅσας φωσφόρος εἶδεν,
Εὐχαριστήσας τῷ στρατῷ τῶν δωρημάτων χάριν,
Ἡδέως, ἔφη, δέχομαι τὰ παρ᾽ ὑμῶν δοθέντα,
Χρήσεται τούτοις δὲ ὑμῶν ὁ τούτων χρείαν ἔχων.
Μῆδος δέ τις φιλόμουσος ἀκηκοὼς εἰρήκει,
Εἰ δοίης μίαν ἔμοιγε τῶν μουσουργῶν, ὦ Κῦρε,
Στρατεύεσθαί μοι γλύκιον ἢ οἴκοι μένειν δόξει.
Ἔφη δὲ Κῦρος, δίδωμι χάριν ὁμολογῶν σοι,
Ὅτι περ ἐξεζήτησας, ἢ σύ μοι ὡς λαμβάνων.
Οὕτω χαρίζεσθαι διψῶ τοῖς χρήζουσι λαμβάνειν.
Καὶ τούτῳ μὲν τὴν μουσουργὸν δίδωσι τῷ αἰτοῦντι,
Τὴν δὲ σκηνὴν καὶ Πάνθειαν σύζυγον Ἀβραδάτου
Ἀράσπᾳ Μήδῳ στρατηγῷ δέδωκεν, ὡς φυλάσσοι.
Ὡς δ᾽ εἶπε, καὶ ἑώρακας, ὦ Κῦρε, τὴν γυναῖκα;
Μὰ Δία, εἶπεν, οὐδαμῶς, ὁ Κῦρος, ἑωράκειν.
Τοιοῦτος ὢν ἠμείβετο πάντας ὁ Κῦρος οὕτω.
Γωβρύαν δὲ Ἀσσύριον ὡς πρὸς αὐτὸν ἐλθόντα
Καὶ βοηθεῖν δεόμενον, πικρῶς ἠδικημένον,
Οὐχ ὡς ἐχθρὸν ἀπέπεμψεν, οὐχ ὡς τῶν Ἀσσυρίων,
Ἀλλ᾽ ἐξηνδραποδίσατο πάντας τοὺς Ἀσσυρίους,
Ἀνθ᾽ ὧν Γωβρύου τὸν υἱὸν κτείναντα λῖν καὶ ἄρκτον
Τοῦ βασιλέως ὁ υἱὸς ἀνεῖλε περονήσας,
Ἀνθ᾽ ὧν ἐβούλετο λαβεῖν ἐπ᾽ ἀδελφῇ τὸν νέον·
Τοὺς θῆρας πρῶτον γὰρ βαλὼν οὐκ ἔκτεινεν ἐκεῖνος.
Ὅς καὶ Γαδάταν, ἕτερον ὡραῖον νεανίαν,
Πολὺ βασιλικώτερον παιδὸς τοῦ τοῦ Γωβρύου
Τομίαν ἀπειργάσατο συμπίνοντα ἐκείνῳ,
Ἀνθ᾽ ὧν ἡ τούτου παλλακὴ ἐπῄνεσε τὸν νέον

---

598. παρ᾽ ὑμῖν cd. B.

602. Scripsi μοι pro σοι. In cd. B. est με.

604. ἐπεζήτησας cd. B.

607. ἀβραδάντα cd. B.

610. ἑωράκειν cd. B. pro ἑωράκην.

616. Locus sanatus e cd. B. Cf. Xenoph. Cyrop. IV, 6, 3. 4.

618. ἠβούλετο cd. B. In cd. A. η et ε coniunctim scribuntur.

619. πρῶτον cd. B. pro πρῶτα.

621. In cd. B. videtur esse τούτου.

Καὶ ἐμακάρισεν αὐτῷ τὴν μέλλουσαν ζυγῆναι.
Ἐκεῖνος δ' ὡς πειράσαντα τὴν παλλακίδα, εἶπεν.
Οὕτως ὁ Κῦρος ὁ καλὸς οὐ τοῖς αἰτοῦσι μόνοις,
Οὐδὲ χαρίτων ἄρξασι χάριτας ἀπετίννυ.
Τοῖς πᾶσι δ' ἐχαρίζετο, καὶ μᾶλλον τοῖς φιλοῦσι·
Καὶ τούτοις δῶρα δὲ διδούς, λαμβάνειν προσεδόκα.
Καὶ πρὸς τὸν Κροῖσον ἔφησε πώποτε τάδε λέγων·
Ἐγὼ τοὺς φίλους τοὺς ἐμοὺς πλουσίους ποιῶν, Κροῖσε,
Τούτους νομίζω θησαυροὺς καὶ φύλακας κεκτῆσθαι.
Καὶ πάλιν φίλους τοὺς αὐτοῦ λαμπραῖς κοσμῶν ἐσθῆσι
Κελεύων τούτοις τε ποιεῖν τ' αὐτὰ τοῖς τούτων φίλοις·
Αὐτὸς δὲ Κῦρος μηδαμῶς κοσμούμενος τοιῶσδε.
Ὡς ἔφη τις ὡς πρὸς αὐτόν, σὺ δὲ κοσμήσῃ πότε;
Φησὶν αὐτός, ὑμᾶς κοσμῶν δοκεῖς οὐχὶ κοσμοῦμαι.
Ἢν ἄρα δύνωμαι ὑμᾶς κατευποιεῖν τοὺς φίλους,
Οἵαν ἂν ἔχω τὴν στολήν, ταύτῃ καλῶς φανοῦμαι.
Καὶ τί τὸν Κῦρον σοί φημι χαρίτων μνημονεύειν;
Νόμος κοινός τις περσικός ἐστι κατ' ἀχαρίστων,
Τοὺς δυναμένους σύμπαντας χάριν ἀποδιδόναι,
Καὶ μὴ διδόντας ἰσχυρῶς εὐθύνειν καὶ κολάζειν.
Τοὺς ἀχαρίστους οἴονται καὶ γὰρ πρὸς τὴν πατρίδα
Καὶ πρὸς γονεῖς καὶ πρὸς θεὸν ἀσεβεστάτους εἶναι.
Τὴν μὲν τοῦ Κύρου Ξενοφῶν, τὴν δὲ τοῦ Πέρσου νόμου
Κτησίας καὶ Ἡρόδοτος γράφουσιν ἱστορίαν.

ΠΕΡΙ ΑΒΡΑΔΑΤΑ ΤΟΥ ΣΤΡΑΤΗΓΟΥ ΚΑΙ ΒΑΣΙΛΕΩΣ ΣΟΥΣΙΩΝ. ϙθ'.

Ὁ Ἀβραδάτας στρατηγός, ὁ βασιλεὺς Σουσίων,
Ὁ τῆς Πανθείας σύζυγος τῆς πρὸ μικροῦ ῥηθείσης,

---

632. *γενέσθαι* pro *κεκτῆσθαι* cd. B.
634. *ταὐτὸν* cd. B.
638. *ἢν ὄφρα δύναμαι* cd. B.
646. De hac lege cf. Xenoph. Cyrop. I, 2, 7. ibique interpr. In Herodot. I, 137. et VI, 30. nihil de ea invenias.
647. *γράφει τὴν* cd. B.

HIST. 99.

649. Hic versus est sanatus e cd. B. In cd. A. enim sunt ul-

Τοῖς Ἀσσυρίοις συμμαχῶν ὑπῆρχε κατὰ Κύρου.
Ὅταν δὲ τὸ στρατόπεδον ἥλω τῶν Ἀσσυρίων
Σὺν τῷ συζύγῳ τῇ αὐτοῦ παρὰ στρατοῦ τοῦ Κύρου,
Ἔτι πρεσβεύων ἦν αὐτὸς τῷ βασιλεῖ Βακτρίων,
Ὡς ἂν στρατὸν ἐκπέμψειε σύμμαχον Ἀσσυρίοις.
Γνωστὸς γὰρ ἦν τῷ βασιλεῖ καὶ φίλος τῷ Βακτρίων.
Ἐπεὶ δ' Ἀράσπας πέπτωκεν εἰς ἔρωτα Πανθείας,
Ὅσπερ αὐτὴν ἐφύλαττεν ἐν τῷ στρατῷ τοῦ Κύρου,
Ἐπὶ τὸ βιαιότερον ἐχώρει τε πρὸς μῖξιν,
Ἡ δὲ γυνὴ δεδήλωκε ταῦτα τῷ Κύρῳ πάντα,
Ὡς ὑπ' αἰσχύνης ἔμελλεν Ἀράσπας τεθνηκέναι,
Λάθρα μεταπεμψάμενος λέγει πρὸς τοῦτον Κῦρος·
Καιρὸς τανῦν ἐφέστηκεν, Ἀράσπα πεφιλμένε,
Κατάσκοπον γενέσθαι σε στρατῷ τῶν πολεμίων,
Ἄνευ ὀπτῆρος δή τινος δοκούσης ὑποψίας
Ταύτην προφασισάμενον τὴν φανερὰν αἰτίαν,
Ἐφ' ᾗ σε πᾶν τὸ στράτευμα βάλλει ψιθύροις λόγοις.
Καὶ δὴ λαβών σοι τοὺς πιστοὺς χώρει πρὸς ἐναντίους,
Καὶ γνοὺς πᾶν δρώμενον αὐτοῖς πάλιν ἀνθυποστρέφου.
Οὕτω ταῖς Κύρου συμβουλαῖς ὁ στρατηγὸς Ἀράσπας
Τῷ ἀτρεκεῖ μὲν γίνεται λόγῳ τῶν κατασκόπων,
Τῷ δὲ δοκοῦντι δόκησιν πᾶσι φυγῆς προσῆπτεν.
Ἐντεῦθεν τὸν λυπούμενον ὁ Κῦρος ἐμιμεῖτο,
Ἅτε ζημίαν ὑποστὰς τοιούτου στρατηλάτου.
Ἐν τούτοις οὖν ἡ Πάνθεια τάδε μηνύει Κύρῳ·
Οἶδα, ὦ Κῦρε βασιλεῦ, τὸ δι' ἐμὲ συμβάν σοι.
Ἀλλὰ μικρὸν κουφίσθητι τοῦ σχόντος σε νῦν ἄχους·
Πολὺ δ' ἐγὼ πιστότερον δοῦλον σοι τοῦ Ἀράσπα
Καὶ φίλον γενναιότερον, εὖ οἶδα, συναρμόσω.
Οὕτω μὲν εἶπεν ἡ γυνή· καὶ παραυτίκα γράφει

---

tima versus praecedentis verba στρατηγὸς — Σουσ. repetita.

655. Hunc item versum restituimus e cd. B.

663. Cyrop. VI, 1, 31.

664. ὀπτῆρος recepi e marg. cd. A. In cd. B. ὀπτασθῇ (ο superscr.).

669. τοῦ Κυρ. cd. B.

671. προσῆπτεν cd. B. pro προσῆπεν.

Τῷ Ἀβραδάτᾳ ἑαυτῆς συζύγῳ πᾶν τὸ Κύρου.
Ὁ δ' ἅμα, ἔπος ὡς εἰπεῖν, μηδὲ μικρὸν μελλήσας,
Σὺν δισχιλίοις ἔρχεται ἱππέων ἐπιλέκτοις.
Στέλλεται δὲ πρὸς Πάνθειαν αὐτίκα παρὰ Κύρου.
Ἡ δὲ τὴν ὁσιότητα καὶ σῶφρον τὸ τοῦ Κύρου
Καὶ ὅσα διεπράξατο, ἐκείνῳ διηγεῖται.
Καὶ ὅς, τί δράσωμεν, φησίν, ἄξιον, γύναι, Κύρου
Καὶ τῆς ἐκ τούτου ἐς ἡμᾶς τοιᾶσδε εὐποιΐας;
Τὸ ὅμοιον (ἣ δ' ἔλεξε) γενέσθαι σε πρὸς τοῦτον,
Οἷος ἐκεῖνος περὶ σέ· ταῦτα τὰ τῆς Πανθείας.
Ἔρχεται Ἀβραδάτας δὲ εὐθέως πρὸς τὸν Κῦρον,
Καὶ δεξιᾶς λαβόμενος ἐκείνου ηὐχαρίστει.
Ὁρῶν δὲ περὶ ἅρματα τοῦτον δρεπανηφόρα
Μεγίστην ἔχοντα σπουδὴν καὶ ἵππους ὡπλισμένους,
Ἐκείνῳ χαριζόμενος, ἐπέσπευδε πρὸς ταῦτα.
Ἐξ ἱππικοῦ οἰκείου τε ἑκατοστὺν ἁρμάτων
Εὐθέως συνετάξατο, δεόντως συναρμόσας.
Αὐτὸς δ' ὡς ἡγησόμενος ἐκείνων τῶν ἁρμάτων
Ἐφ' ἅρματος ὡπλίζετο δεόντως τοῦ οἰκείου.
Τετράῤῥυμον τὸ ἅρμα δὲ ἦν ἐξ ὀκτὼ τῶν ἵππων.
Ἐκ τοῦ καλλίστου κόσμου δὲ αὐτῆς τοῦ γυναικείου
Ἡ Πάνθεια εἰργάσατο τότε τῷ Ἀβραδάτᾳ
Χρυσοῦν ὁμοῦ τὸν θώρακα καὶ βραχιονιστῆρας
Καὶ κράνος λιθοκόλλητον, χάριν πολλὴν ἀστράπτον.
Ὡς Κῦρος δὲ προσήγγιζεν ἤδη τοῖς πολεμίοις,
Ἀράσπας ἦλθε πρὸς αὐτὸν σὺν τοῖς αὐτοῦ οἰκείοις,
Ὃν πρώην προεξέπεμψεν ὀπτῆρα πολεμίων,
Καὶ πάντα λέγει τὸν σκοπὸν τούτῳ τῶν ἐναντίων.
Σὺν Κροίσῳ γὰρ συνέταττε πάντα στρατὸν ἐκείνων.

---

680. *ἑαυτῆς* pro *τῷ αὐτῆς* cd. B.

681. Scripsi *μελλήσας*, *haud cunctatus*, pro *μελήσας*.

686. *δράσωμεν* cd. B. pro *δράσαιμεν*.

691. *ηὐχαρίστει* e cd. B.

692. Participio *ὁρῶν* in cd. A. superscriptum *ἰδών*.

697. *ἡγησάμενος* cd. B.

699. *τετράρυμνον* cd. B. Forma *τετράρυμος* haud inusitata.

700. *αὐτῆς τῆς* cd. B.

Ἅμα ἡμέρᾳ θύσας δὲ τῇ αὔριον ὁ Κῦρος,
Συνέταττε τὸ στράτευμα πρὸς προσβολὴν πολέμου,
Τῷ μὲν Ἀράσπᾳ δεδωκὼς τὸ δεξιὸν τὸ κέρας,
Ὑστάσπᾳ τὸ εὐώνυμον, ἔχοντι τοὺς ἡμίσεις
Ἱππέας γένους τοῦ Περσῶν, κεκροτημένους μάχαις,
Τοῖς ἄλλοις μυριάρχαις δὲ ἄλλα ποιεῖν κελεύσας.
Ὁ Ἀβραδάτας μηχανῶν καὶ τῶν ἁρμάτων ἦρχε,
Δαδοῦχος σκευοφόρων δέ, ἁρμαμαξῶν Καρδοῦχος.
Πεζῶν δὲ ὁ Ἀρτάοζος ἦρχον καὶ Ἀρταγέρσας.
Φαρνοῦχος σὺν ἐκείνῳ τε ὁμοῦ Ἀσιαδάτας
Ἦσαν χιλιοκράτορες ἱππέων ἐπιλέκτων.
Ἔστραπτε πᾶν πεδίον δὲ χαλκῷ πυρὶ τῷ τότε
Ὁπλιζομένου τοῦ στρατοῦ πρὸς συῤῥαγὴν πολέμου,
Τὰ Κύρου ὅπλα ἔλαμπε καὶ πλέον δὲ κατόπτρων.
Αὐτὴ δ᾽ ἡ Πάνθεια χερσὶν ὥπλιζεν Ἀβραδάταν,
Παρώρμα τε πρὸς πόλεμον χέουσα δάκρυ λάθρα.
Ὢν δὲ ἀξιοθέατος καὶ πρὶν ὁ Ἀβραδάτας,
Τοιούτοις ὅπλοις κοσμηθεὶς ἐξέλαμπε καὶ πλέον.
Λαβὼν δὲ ὁ ἡνίοχος ἐκ τούτου τὰς ἡνίας,
Ἦν εὐπρεπής, ἀνέβαινεν εὐθέως πρὸς τὸ ἅρμα.
Ἐν τούτῳ δὲ ἡ Πάνθεια ἀποχωρεῖν κελεύει
Τοὺς παρεστῶτας σύμπαντας καὶ Ἀβραδάτᾳ λέγει·
Ὀμνύω Ἀβραδάτα σοι σὴν καὶ ἐμὴν φιλίαν,
Μᾶλλον ἂν βούλεσθαι τῇ γῇ σὺν σοὶ συγκαλυφθῆναι,
Ἀνδρὶ φανέντι ἀγαθῷ καὶ δεξιῷ τῇ μάχῃ,
Ἢ ζῆν αἰσχύνης ἔμπλεων μετὰ αἰσχυνομένου.
Ταῦτα μὲν εἶπε Πάνθεια. θαυμάσας δ᾽ Ἀβραδάτας,
Θιγὼν αὐτῆς τῆς κεφαλῆς, εἶπεν αἰθέρι βλέψας·
Ζεῦ δὸς φανῆναί μοι ἀνδρὶ ἀξίῳ τῆς Πανθείας,
Ἀξίῳ φίλῳ Κύρου τε ἡμᾶς τετιμηκότος.

---

722. E cd. B. pro κατόπτρου, quod est in cd. A.
723. αὐτὴ ταῖς cd. A. in marg.
728. εὐπρεπὴς pro εὐτρεπὴς cd. B.
736. πρὸς πόλον pro αἰθέρι cd. B.
738. τε pro δὲ cd. B.

Ταῦτα κατὰ τῆς θύρας μὲν τοῦ ἁρματείου δίφρου
Εἰπὼν εὐθὺς ἀνέβαινεν ἐπὶ τὸ ἅρμα τούτου.
Ὡς δ' ἀναβάντος ἔκλεισεν ἡνίοχος τὸν δίφρον,
Πῶς ἔτι κατασπάσαιτο ἡ Πάνθεια οὐκ εἶχε.
Καταφιλεῖ τὸν δίφρον δὲ προπέμπουσα ἐκεῖνον.
Τὸ ἅρμα ἀπεχώρει μέν, συνείπετο δ' ἐκείνη,
Ἕως στραφεὶς ἰδὼν αὐτὴν ὁ Ἁβραδάτας, εἶπε:
Θάρσει καὶ χαῖρε, Πάνθεια, καὶ ἤδη ὑποχώρει.
Ἐντεῦθεν συῤῥαγέντος δὲ φρικώδους τοῦ πολέμου,
Ἐχώρει Κῦρος ἔφιππος, βροντῆς καταῤῥαγείσης,
Ἐν δεξιᾷ τὸν ἵππαρχον Χρυσάνταν κεκτημένος,
Ἀρίσβαν δὲ ἀριστερᾷ καὶ τῶν πεζῶν τὸ τάγμα.
Ὡς δὲ συνέβαλον ὁμοῦ ἱππεῖς τε καὶ ὁπλῖται,
Τοξόται, πελτοφόροι τε καὶ τὰ δρεπανηφόρα,
Ὁ Ἁβραδάτας ἥμασσε τοὺς ἵππους ἐν τῷ κέντρῳ
Ἐλαύνων πρὸς τὸν πόλεμον, παρώρμα καὶ τοὺς φίλους.
Αὐτὸς δὲ κατὰ πρόσωπον συῤῥάξας Αἰγυπτίοις,
Ἠλόα καὶ συνέτριβε τούτους σὺν τοῖς οἰκείοις·
Ἐν τῷ ἀδιηγήτῳ δὲ τῆς συμφορᾶς ἐκείνῳ,
Ἐξαλλομένων τῶν τροχῶν ὑπὸ νεκρῶν σωρείας,
Ὁ Ἁβραδάτας πέπτωκε σὺν οὐκ ὀλίγοις ἄλλοις.
Καὶ οὗτοι μὲν ἀπέθανον ἐκεῖσε συγκοπέντες,
Φανέντες ἄνδρες ἀγαθοί· νικήσας δὲ ὁ Κῦρος,
Ἐλάσας πρὸς τὰς Σάρδεις τε, καὶ ταύτας δὲ πορθήσας,
Ἤρετο τῇ ἐπαύριόν τινας τῶν παρεστώτων·
Ἀεὶ θαμίζων παρ' ἡμᾶς ὁ Ἁβραδάτας πρώην
Πῶς νῦν ἀθέατός ἐστι; τὶς δ' ὑπηρέτης λέγει,
Ὅτι, ὦ δέσποτα, οὐ ζῇ, τέθνηκεν ἐν τῇ μάχῃ,
Αὐτοῦ τὸ ἅρμα ἐμβαλὼν στρατῷ τῶν Αἰγυπτίων.
Καὶ νῦν ἡ τούτου σύζυγος νεκρὸν ἀνελομένη
Καὶ θεῖσα πρὸς ἁρμάμαξαν, ἥπερ αὐτὴ ὠχεῖτο,

---

739. τὰς pro τῆς cd. B.
744. ἀπεχώρει scripsi pro ὑπεχώρει.
757. ἐκείνων cd. B.
763. τινας pro τισι cd. B.

Λέγεται προσκομίσαι σοι τοῦτον ἐνθάδε, Κῦρε,
Πρὸς ποταμὸν τὸν Πακτωλὸν ὃς παραῤῥέει τῇδε.
Εὐνούχους καὶ θεράποντάς φασι δὲ τοὺς ἐκείνου
Τάφον τῷ τελευτήσαντι ὀρύττειν ἐπὶ λόφου·
Τὴν δὲ γυναῖκα λέγουσι κοσμήσασαν τὸν ἄνδρα
Χαμαὶ καθῆσθαι πρὸς τὴν γῆν, θέαν ἀξίαν θρήνου,
Κατέχουσαν τοῖς γόνασι τὴν κεφαλὴν ἐκείνου.
Ὡς ταῦτα Κῦρος ἤκουσε, παίσας μηρὸν εὐθέως
Τὸν ἵππον ἀναβέβηκεν, ἱππεῦσι τε χιλίοις
Ἐπὶ τὸ πάθος ἤλαυνε. καὶ πεφθακὼς ἐκεῖσε,
Πολλὰ δακρύσας κλαύσας τε, εἶπε πρὸς τὴν γυναῖκα·
Καὶ σὺ δ' οὐκ ἔσῃ ἔρημος, ἐγὼ δέ σε τιμήσω,
Καὶ σωφροσύνης ἕνεκα καὶ ἀρετῆς τῆς ἄλλης,
Καὶ σὲ συζεύξω καὶ ἀνδρὶ ᾧ βούλει συζευχθῆναι.
Δήλωσον μόνον μοι αὐτὸν ᾧ βούλει συζυγῆναι.
Πρὸς δὲ αὐτὸν ἡ Πάνθεια, θάῤῥει, φησίν, ὦ Κῦρε,
Οὐ κρύψω σε, πρὸς ὅντινα βούλομαι ἀφικέσθαι.
Κῦρος εἰπὼν ἀπέδραμεν οἰκτείρων τὴν γυναῖκα,
Οἵου στεροῖτο τοῦ ἀνδρός· καὶ πάλιν δὲ τὸν ἄνδρα,
Οἵαν γυναῖκα προλιπὼν οὐκ ἔτ' αὐτὴν κατίδοι.
Ἡ δ' ἀποστῆναί τι μικρὸν εἰποῦσα τοὺς εὐνούχους,
Ὡς κλαύσαιτο τὸν σύζυγον, ὡς βούλητον ἐκείνῃ,
Τῇ δὲ τροφῷ κελεύσασα ἐκεῖσε παραμένειν,
Ὅταν θανοῦσαν ἴδῃ δὲ αὐτὴν σὺν Ἀβραδάτᾳ,
Ἑνὶ συμπεριστεῖλαί τε καὶ κρύψαι ἱματίῳ,
Αὐτὴν διαχειρίζεται λαβοῦσα ἀκινάκην·
Θνήσκει δ' αὐτῆς τὴν κεφαλὴν στέρνοις συζύγου θεῖσα.
Ἡ δὲ τροφὸς μετ' ὀδυρμῶν συγκρύψασα ἐκείνους,
Καὶ ἑαυτὴν ἀπέσφαξε τῶν δεσποτῶν τῷ πένθει,
Καὶ τρεῖς εὐνοῦχοι σὺν αὐτῇ, πάντες αὐτοχειρίᾳ
Τὸν βίον ἐξεμέτρησαν αὐτῶν δεσποίνης πόθῳ,

---

772. τοὺς ἐκείνης cd. B.
773. θήκην in marg. cd. A.
777. καὶ pro ὡς cd. B.
784. συζυγῆναι cd. B. pro ζυγῆναι.
793. ἴδοι cd. B.

Ἐν ᾧπερ τόπῳ τὸ δεινὸν εἶδον ἐκεῖνο πάθος.
Μαθὼν δ' ὁ Κῦρος τὸ συμβὰν καὶ παρελθὼν ἐκεῖσε
Καὶ ἀγασθεὶς τὸ γύναιον καὶ περισσὰ θρηνήσας,
Ἐκόσμησεν οἷς ἔπρεπεν ἐκείνους ἐνταφίοις,
Θυσίαις καὶ ἀγάλμασι, τεμένεσιν ὡραίοις.

ΙΣΤΟΡΙΑ, Η ΛΕΓΟΥΣΑ ΠΑΝΤΑΣ ΑΠΛΩΣ ΒΑΡΒΑΡΟΥΣ ΜΥΡΜΗΚΙΑΝ ΙΣΤΟΡΙΩΝ ΠΕΡΙΕΧΕΙ. ΗΜΕΙΣ ΔΕ ΤΟ ΑΚΑΙΡΟΝ ΜΗΚΟΣ ΤΟΥ ΛΟΓΟΥ ΠΑΡΑΔΡΑΜΟΝΤΕΣ ΒΡΑΧΕΙΑΣ ΕΡΟΥΜΕΝ. ΠΕΡΙ ΛΥΚΟΥ ΤΟΥ ΜΥΣΟΥ, ΥΙΟΥ ΔΗΪΠΥΛΟΥ, ΚΑΙ ΚΛΗΣΕΩΣ ΘΡΑΙΚΙΚΗΣ ΗΡΑΚΛΕΙΑΣ ΤΗΣ ΚΑΙ ΠΕΡΙΝΘΟΥ. ρ́.

Μιᾷ νηῒ ὁ Ἡρακλῆς πρὸς Ἀμαζόνας πλέων,
Ὡς Ἱππολύτης φέροιε ζωστῆρα τῇ Ἀδμήτῃ,
Ἐν τῷ παράπλῳ σύμπασαν πορθεῖ τὴν Βεβρυκίαν,
Καὶ Δηϊπύλου τῷ Μυσῷ Λύκῳ δωρεῖται ταύτην,
Μυγδόνα καὶ τὸν Ἄμυκον τοὺς ἀδελφοὺς νικήσας.
Ἡράκλειαν ὁ Λύκος δὲ τούτων καλεῖ τὴν πόλιν,
Τὴν Θρᾳκικὴν τὴν Πέρινθον, τὴν πρώην Μυγδονίαν,
Τιμῶν τὸν χαρισάμενον τὴν χώραν Ἡρακλέα.
Ὁ Ἀπολλόδωρός φησι ταύτην τὴν ἱστορίαν·
Τῷ περὶ νήσων, πόλεων καὶ δήμων τε βιβλίῳ
Στέφανος ὁ Βυζάντιος οὐ γράφει περὶ ταύτης,
Περὶ τῆς Ἡρακλείας δὲ γράφει τῆς ἐν τῷ Πόντῳ.

---

803. *γεναῖον* cd. A. in marg., non, ut edit. Basil. item in margine *γενναῖον*.

804. *ἐνταφίοις* cd. B. recte. Vid. Wess. ad Diod. Sic. XI, 11.

805. *τεμένεσιν* cd. B. pro *σκευάσμασιν*, quod cd. A. in textu habet, cui *τεμένεσιν* superscriptum.

HIST. 100.

806. *νυκτὶ* pro *νηῒ* cd. B.

812. Cf. Cellar. geogr. antiq. I. p. 1313. sq.

813. *ἡρακλέην* cd. B.

814. Apollod. II, 5, 9. 6. ibique Heyn. p. 181. sq. Schol. Lycophr. 1327. Post *ἱστορίαν* colo interpunxi et post *βιβλίῳ* comma delevi. Conf. Heyn. ad Apollod. fragm. p. 431.

ΠΕΡΙ ΚΟΚΛΙΟΥ ΟΡΑΤΙΟΥ. ρα΄.

Ὁ Κόκλιος Ὁράτιος Ῥωμαῖος ἦν τῷ γένει.
Οὗτος, τραπέντος τοῦ στρατοῦ ποτὲ τοῦ τῶν Ῥωμαίων,
Ὡς κατασχεῖν ἦν κίνδυνος τὴν Ῥώμην ἐναντίους,
Μόνος ἀντέστη σύμπασι γεφύρᾳ τῇ ξυλίνῃ,
Τοῦ Μάρκου κόπτοντος αὐτὴν ὄπισθεν Μινουκίου.
Κοπείσης δὲ καὶ Κόκλιος τὸν Θύμβριν περαιοῦται
Αὐτὸν καὶ Ῥώμην σεσωκὼς κοπῇ τῇ τῆς γεφύρας.
Κἂν ἐν τῷ νήχεσθαι δορὶ τῷ τῶν ἐχθρῶν ἐβλήθη·
Ὧι γῆν δωρεῖται ἡ βουλὴ χάριν ἀνδραγαθίας,
Ὅσην ἡμέραν γράψειε βόας ἑλὼν ἀρότρῳ·
Κόκλιος ἐκαλεῖτο δὲ τῇ τῶν Ῥωμαίων γλώσσῃ,
Ὅτι τὸν ἕνα ὀφθαλμὸν ἀπέβαλε πρὶν μάχῃ.

ΠΕΡΙ ΜΑΡΚΟΥ ΜΑΛΙΟΥ ΚΑΙ ΠΕΡΙ ΧΗΝΩΝ.
ρβ΄ ἄχρι ρια΄ ἱστορίας καὶ ὅλης αὐτῆς.

Μάρκος δὲ Μάλιος ἀνήρ, τῆς Ῥώμης πορθηθείσης
Ἐκ Γαλατῶν, κατάρχοντος τῷ τότε τούτων Βρέννου,
Ὡς καὶ τὸ Καπιτώλιον ἔμελλον σχεῖν Γαλάται
Νυκτὸς πρὸς τὴν ἀκρόπολιν λαθραίως ἀνελθόντες,
Κραυγῆς ἐκεῖσε τῶν χηνῶν μεγάλης γενομένης,
Ἐξεγερθεὶς ἀνέρποντας εἶδε τοὺς πολεμίους.
Καὶ οὓς μὲν παίων θυρεῷ, οὓς δὲ τῷ ξίφει σφάττων,
Τοὺς πάντας ἀπεώσατο καὶ ῥύεται Ῥωμαίους·
Ὅθεν αὐτὸν κεκλήκασι κλῆσιν Καπιτωλῖνον.
Καὶ χῆνας δὲ τιμήσαντες ποιοῦσι τοὺς παπίας

HIST. 101.

818. De Horatio Coclite cf. Plut. praec. ger. reip. §. 27. T. XII. p. 190. Hutt.
823. *Θύμβριν* cd. B. pro *Θύμβρην.*
824. *τῇ* accessit e cd. B.
827. *ἔχων* pro *ἑλὼν* cd. B.
829. *πρὶν μάχῃ* pro *πρὸς μάχην* e cd. B.

HIST. 102 — 111.

831. *τῷ τότε*, *illo tempore.*
832. In cd. A. constanter *Καπ^{ε}ιτώλιον.*
839. *Παπίας*, *Papias*, dignitas in palatio Constantinopolitano: penes quem erat custodia palatii. *Dufresn.*

Ἐν Παλατίοις φύλακας ἐκ φυλακῆς τῆς τότε,
Ὥσπερ καὶ πρὶν ἐκάλεσαν Ἕλληνες ἐν Ἀθήναις
Πελαργικὸν Γεράνειαν ἐκ τῶν τοιούτων ζώων.
Οὗτος ὁ Μάρκος Μάλιος, ὁ καὶ Καπιτωλῖνος,
Ποτὲ καὶ αἰτιάματι πεσὼν τῆς τυραννίδος
Καὶ ψήφῳ μέλλων δικαστῶν ἁπάντων ἀναιρεῖσθαι,
Τὸ Καπιτώλιον εὐθὺς ἐσώζετο βλεπόντων,
Οὗπερ αὐτὸς ἐποίησε κλεινὰς ἀνδραγαθίας,
Ἕως ὁ λέγων κατ᾽ αὐτοῦ νοήσας τὰς αἰτίας
Πρὸς ἄλλο δικαστήριον τὴν σύγκλητον μετάγει,
Ὅθεν τὸ Καπιτώλιον οὐδόλως ἑωρᾶτο,
Ὡς γίνεσθαι ὑπόμνησιν ἐκείνου τῶν τροπαίων.
Τότε δὲ κτείνουσιν αὐτόν. ἀλλὰ καὶ οὕτω πάλιν
Ὅλον ἐμελαμφόρησε χρόνον ὁ δῆμος Ῥώμης,
Ἀποτιννὺς τὰς χάριτας τὰς τῆς ἀνδραγαθίας
Καὶ τῆς χρηστότητος αὐτοῦ τοὺς ἀμιμήτους τρόπους.
Ἐῶ τὸν Κοριόλανον Μάρκον γενναῖον λέγειν
Καὶ σὺν αὐτῷ τῷ Μάρκῳ δὲ τὸν Μάρκον τὸν Κορβῖνον,
Ὧν ὁ μὲν Κοριόλανος μόνος πορθήσας πόλιν
Τὴν κλῆσιν Κοριόλανον, καὶ ταύτην καταφλέξας
Καίπερ στρατοῦ τοῦ σύμπαντος τραπέντος τοῦ Ῥωμαίων,
Ἐκλήθη Κοριόλανος. Μακρὸν δὲ τἄλλα λέγειν.
Ὁ Μάρκος ὁ Κορβῖνος δὲ Κορβῖνος ἐπεκλήθη,
Ὅτι ποτὲ μονομαχῶν μετά τινος βαρβάρου,
Ἄγριον ἔσχε κόρακα τῇ μάχῃ συνεργοῦντα,
Τοῖς ὀφθαλμοῖς πετόμενον ἐκείνου τοῦ βαρβάρου,
Ἕως αὐτὸν ἀπέκτεινεν οὗτος ὁ Μάρκος τότε.
Ἐῶ δὲ καὶ τὸν Κούρτιον καὶ λάκκον τὸν ἐκείνου,
Ὑπὲρ Ῥωμαίων σύνιππον τῷ λάκκῳ πεπτωκότα.
Ἐῶ Καλάνδον, Νόννον τε, καὶ τὸν Εἰδὸν σὺν τούτῳ,
Ὧνπερ τὸ εὐεργέτημα ἡμέραις παρεγράφη.

---

843. *Γεράνειαν*, maiuscula litera scripsi. Conf. Etym. M. s. h. v. et quos citat ad Euphorion. fragm. p. 154. Meinekius.

854. *ἀποτιννὺς* pro corrupto *ἀποτινὰς* praebuit cd. B.

870. Tzetzes igitur mensium Calendas, Nonas et Idus derivat

Ἐν χρόνοις Ἀντωνίνου γὰρ Ῥωμαίων ἡττηθέντων
Καὶ συγκλεισθέντων ἐν αὐτῇ τῇ γεραιτέρᾳ Ῥώμῃ,
Κινδυνευόντων τε λιμῷ πάντων διαφθαρῆναι,
Οὗτοι τὸν δῆμον οἴκοθεν ἔτρεφον τὸν τῆς Ῥώμης,
Ἡμέρας ὀκτωκαίδεκα, Κάλανδος κατὰ μῆνα,
Νόννος ἡμέρας δὲ ὀκτώ, τὰς τέσσαρας Εἶδὸς δέ.
Ἡσύχιος Ἰλλούστριος, Πλούταρχος τε καὶ Δίων,
Καὶ Διονύσιος ὁμοῦ γράφουσι ταῦτα πάντα.
Βάττου τὸ εὐεργέτημα ἐῶ πρὸς Κυρηναίους,
Κἀκείνων δὲ προσαγωγὴν πρὸς τοῦτον, τοῦ σιλφίου,
Ἀνταμοιβὴν τὴν τούτου τε πάλιν πρὸς Κυρηναίους
Χαράγματι νομίσματος ἐγγλύψαντος ἐκείνους,
Τὸ σίλφιον προσφέροντας χάριν τιμῆς ἐκείνῳ.
Ἣν ἱστορίαν Πίνδαρος ὁ λυρικός που γράφει.
Ἐῶ τὴν Μεροήτιδα Κανδάκην διαγράφειν,
Ἣν κατασχεῖν Ἀλέξανδρον ὁ Καλλισθένης γράφει,
Δοῦσαν δὲ δῶρα περισσὰ τοῦτον ἐξαποπέμψαι,
Ὅτι τοὺς παῖδας τοὺς αὐτῆς φίλους ποιεῖ ἀλλήλοις,
Τὴν ἔχθραν ἀποῤῥίψαντας ἣν κατ' ἀλλήλων εἶχον.
Ἐῶ μυρίους προσλαλεῖν Ἕλληνας καὶ βαρβάρους
Εὐεργεσίας μνήμονας, λόγων τὸ μῆκος φεύγων.

ΠΕΡΙ ΟΣΥΜΑΝΔΥΟΥ, ΤΟΥ ΚΑΙ ΟΣΥΜΑΝΔΑΝΕΩΣ, ΒΑΣΙΛΕΩΣ ΑΣΣΥΡΙΩΝ. ριβ'.

Τὴν τοῦ Ὀσυμανδύου δὲ σύμπασαν ἱστορίαν
Ἔχει τὸ ἐπιστόλιον οὕτως ἐγγεγραμμένην·

---

a viris quibusdam, Calando, Nonno, Ido.

871. Nomini Ἀντωνίνου in cd. A. superscriptum Ἀδριανοῦ.

873. Pro λιμῷ in cd. B. est ὁμοῦ. Ibidem versu prox. οἶκον pro δῆμον.

876. In cd. B. sic: νόννος ἡμέρας τέσσαρας, δὶς τέσσαρας εἴδος δέ.

879. Cf. Schol. ad Aristop Plut. 926. Hesychius et Suid sub Βάττου σίλφιον, et Eckh doctr. num. vet. IV. p. 119.

890. Vid. Aelian. Var. Hi IV, 5.

HIST. 112.

892. Nomini ὀσυμανδύου i cd. A. alterum ὀσυμανδάνε superscribitur. — Caeterum c Diod. Sic. I, 48. p. 57. Wess.

„Ὀσυμανδύας βασιλεὺς ὁ μέγας ὁ τῶν Σύρων
„Θηρίον εἶχε λέοντα, πολέμοις παραστάτην,
„Ἀνθ' ὧν αὐτὸν ἐξέθρεψε, χάριτος μεμνημένον.

ΠΕΡΙ ΔΡΑΚΟΝΤΟΣ ΤΟΥ ΠΤΟΛΕΜΑΙΟΥ. ριγ'.

Οὐ μόνον φιλολόγος ἦν ὁ Πτολεμαῖος οὗτος,
Παντὸς καλοῦ δὲ ζητητὴς ἦν καὶ φιλοθεάμων,
Ζητῶν ἀεὶ καινότερα βλέπειν τῶν ζώων γένη,
Καὶ καταντλῶν ταῖς δωρεαῖς τοὺς ἄγοντας ἐκεῖνα.
Ὅθεν καὶ οἱ θηρεύοντες καινότερα ἐθήρων.
Εὑρόντες δὲ καὶ δράκοντα μέγιστον τῷ μεγέθει,
Τριακονταπεντάπηχυν, θηρεύουσι τοιῶσδε·
Τὴν τοῦ θηρὸς τηρήσαντες κοίτην καὶ τὰς νομὰς δέ,
Καὶ πότε ταύτης ἐξορμᾷ πρός τε νομὰς καὶ πόσιν,
Ὑποχωρήσαντος αὐτοῦ πρός τε νομὴν καὶ πόσιν,
Σχοίνων ἁδρῶν ποιήσαντες σαγήνην κλειομένην,
Καὶ σφιγγομένων πόῤῥωθεν σπαρτίοις μακροτάτοις,
Ὑπὸ τὴν κοίτην ἔθεντο θηρὸς τοῦ λελεγμένου.
Καὶ πρότερον διώκοντες ἀσκόπως τὸ θηρίον
Δύο τινὲς ἐβρώθησαν τῶν θηρευτῶν ἐκείνῳ.
Ὡς δὲ τὸ μεγαλόδωρον ἐνίκα Πτολεμαίου,
Αὖθις παραταξάμενοι θηρεύουσιν ἐκεῖνο.
Ὡς πρὸς ποτὸν δραμόντος γάρ, ἐγχρίσαντες τὴν κοίτην
Καὶ θέντες ἥνπερ ἔφημεν σαγήνην τὴν ἐκ σχοίνων,
Ἱππεῖς ὁμοῦ τε καὶ πεζοὶ σὺν κρότῳ τῶν ἀσπίδων
Ἐκ τῆς ἀρδείας ἔτρεπον πρὸς τὸν τῆς κοίτης τόπον,
Οὐκ ἀφεστῶτες πόῤῥωθεν, ὡς μὴ ἀδείᾳ φεύγων
Καὶ πεφραγμένην κατιδὼν τὴν κοίτην, ἀποδράμοι.

HIST. 113.

897. ζηλωτὴς cd. B.

904. τῆς pro τοῦ cd. B. Item πράδας.

908. σχοινίοις cd. B., quod propter vs. 915. praeferendum.

911. ἐκείνῳ pro ἐκείνων cd. B.

918. ἀρδείᾳ cd. B., quod irrepsit e versu praecedenti.

Ἐγγὺς δὲ οὐ παρείποντο, μὴ καὶ καταβρωθῶσι·
Μικρῷ δὲ διαστήματι τὸν θῆρα θορυβοῦντες
Ὡς πρὸς τὴν κοίτην ἤλαυνον συντόνως πεφευγότα.
Ἦρε μετεωρότερον ἱππέων τὸν αὐχένα,
Παρευρημένην ὕλην δὲ συνέθλα τῇ κινήσει,
Πῦρ ὀφθαλμῶν ἐξέτριβε, συρίγμασιν ἐβρύντα.
Συντόνοις δὲ διώγμασιν ἐμπίπτει τῇ σαγήνῃ,
Καὶ συσφιγθεὶς μετέωρος ἤρθη δοκοῖς μεγάλαις.
Τὴν μήρινθον ὀδοῦσι δὲ συνέκοπτεν ἐκείνην,
Πῦρ ἐξ ὀδόντων τῆς τριβῆς λαβρότατον ἐκπέμπων.
Μόλις οὖν τοῦτον ἄξαντες τότε πρὸς Πτολεμαῖον,
Σπανοσιτίᾳ περισσῇ καὶ ἀποχῇ βρωμάτων
Τόσοῦτον ἐτιθάσσευσαν, ὄντα τοσοῦτον μήκει,
Ὥστε βρωμάτων ὕστερον ὅποι ποτὲ τεθέντων
Καλούμενος ἐξήρχετο πρὸς βρῶσιν τὴν ἐκείνων,
Καὶ τῷ τιθασσοτρόφῳ τε πειθόμενος παντοίως
Τοῖς λόγοις ἦν ἀγώγιμος καὶ τῇ φωνῇ τῇ τούτου,
Ὡς ἱκνουμένων πρέσβεών ποτε πρὸς Πτολεμαῖον
Καλούμενον ἐξέρχεσθαι πρὸς θάμβος τῶν ὁρώντων.
Διόδωρος γεγράφηκε ταύτην τὴν ἱστορίαν.
Τὸν Ὀνησίκριτόν φησιν Αἰλιανὸς δὲ λέγειν,
Ἀποσισάρην τὸν Ἰνδὸν δράκοντας τρέφειν δύο
Δισεβδομηκοντάπηχυν τὸν ἕνα τῷ μεγέθει,
Τὸν δ' ὀγδοηκοντάπηχυν, μὴ περαιτέρω τούτων.
Οὓς ἐπεθύμησεν ἰδεῖν Ἀλέξανδρος ὁ μέγας.
Τὴν στρατιὰν ἠρέμα δὲ διέρχεσθαι κελεύσας,
Ὡς ὁ Ἰνδὸς ἐδίδαξεν ἐκείνῳ καὶ προεῖπε,
Μή πως ἐκθηριώσωσιν ἐκείνους τῇ βαδίσει,

---

928. διέκοπτεν pro συνέκοπτεν cd. B.

929. λαβρότερον cd. B.

933. ὄπῃ cd. B.

935. Pro τε potius illud δὲ, quod Tzetzes in deliciis habet, [illegible]uendum.

939. Diod. Sic. III, 36. sq. p. 202. Wess.

940. Videtur haec narratio esse centesima quarta decima.

941. ἀποσυσάρη cd. B.

Εἶδεν αὐτῶν τοὺς ὀφθαλμοὺς ἰσομεγέθεις ὄντας
Ἀσπίδι Μακεδονικῇ στρογγύλῃ τῶν εὐκύκλων.

ΠΕΡΙ ΤΟΥ ΚΥΝΟΣ ΝΙΚΟΜΗΔΟΥΣ.

ἔχει δὲ ἱστορίας δέκα ἀντὶ μιᾶς. ριέ.

Ὁ τοῦ Ζειποίτου μὲν υἱός, ἐκεῖνος Νικομήδης,
Ὁ κτίσας Νικομήδειαν, πατὴρ ὁ τοῦ Προυσίου,
Προυσίου ἔχοντος ὀστοῦν ἓν τοὺς ὀδόντας πάντας,
Ὥσπερ Αἰσχύλος ἐν γραφαῖς καὶ τὰς Φορκίδας λέγει,
Ἡρόδοτος δὲ Λέοντα Σάρδεων βασιλέα,
Ἰούλιος τὸν Πύῤῥον δὲ πάλιν τὸν Ἠπειρώτην
Ἔχειν γραμμαῖς ὀδόντων δὲ τοῦτο τετυπωμένον·
Ὡς καὶ τὸν Ἡρακλέα δὲ ὁ Χῖος Ἴων λέγει
Ἔχειν ὀδόντων τρίστοιχον θέσιν ἀῤῥαγεστάτην·
Ὡς καὶ τὴν Σκύλλαν Ὅμηρός φησιν ἐν Ὀδυσσείᾳ.
Πολλοὶ καὶ τὸν κροκόδειλον, τινὲς δὲ καὶ τὰ κήτη·
Τίμαρχον τὸν πατέρα δὲ Κυπρίου Νικοκλέους
Ἀριστοτέλης γέγραφε δίστοιχον τοῖς ὀδοῦσιν.
Οὗτος ὁ τοῦ μονώδοντος τούτου πατὴρ Προυσίου,
Τοῦ κτήτορος τῆς πόλεως Προύσης τῆς παρ' Ὀλύμπῳ,
Ὁ Νικομήδης ὁ ῥηθεὶς μέγιστον εἶχε κύνα,
Ἐκ γένους ὄντα Μολοσσῶν, πιστότατον ἐκείνῳ.

---

949. Ita aperte cd. B. pro *εὐκύλων* et, quod in margine edit. Bas. legitur, *εὐκοίλων*.

HIST. 115.

951. Nicomedia, caput Bithyniae, condita a Nicomede, Zipoetis filio, Zelae patre, Prusiae avo. Cellar. geogr. antiq. II. p. 287.

953. Aeschyl. Prom. vinct. 796. (821. Blomf.)

954. Videtur Tzetzes illa significare, quae apud Herodot. I, 84. et IX, 83. legerat.

955. Vid. Plut. Pyrrh. c. 3. Polluc. II. s. 94. *Πύῤῥον μέν φασι τὸν Ἠπειρώτην συμφυεῖς τοὺς ὀδόντας ἔχειν, ἓν ὀστοῦν γραμμαῖς τετυπωμένον ἐπιπολῆς εἰς ὀδόντων σχῆμα.*

956. *τούτων* cd. B. Male. Pronomen *τοῦτο* referendum ad *ἓν ὀστοῦν*. Particula *δὲ* offendit.

959. Odyss. XII, 92.

960. Erat *κοίτη*.

961. *Τίμαρχον* pro *Τρίμαρχος* cd. B. Recte. Vide Polluc. Onom. II. s. 95.

964. Cellar. Notit. O. A. II. p. 285. et p. 300.

Οὗτός ποτε τὴν δέσποιναν σύζυγον Νικομήδους,
Μητέρα τοῦ Προυσίου δέ, Ζιήλου καὶ Λυσάνδρας,
Τὴν Διτιζήλην κλῆσιν μέν, ἀπὸ Φρυγῶν δὲ γένους,
Συμπαίζουσαν τῷ βασιλεῖ, νομίσας πολεμίαν,
Ἐσπάσατο περιχανὼν τὸν δεξιὸν τὸν ὦμον
Καὶ ταύτης σάρκας καὶ ὀστᾶ συντρίψας τοῖς ὀδοῦσιν,
Ἥπερ θανοῦσα παρ' αὐταῖς ἀγκάλαις βασιλέως
Νικομηδείᾳ τέθαπτο μεγαλοπρεπεστάτως,
Ἐν τάφῳ ἀπὸ λίθου μέν, ἀλλ' ἐγκεχρυσωμένῳ.
Ὃς τάφος παρεξήρκεσε μέχρι καὶ Θεοφίλου.
Ἐν δὲ τοῖς χρόνοις Μιχαὴλ παιδὸς τοῦ Θεοφίλου,
Τοῦτον ἐκδιωρύξαντές τινες τῶν τυμβωρύχων,
Σῶον ἐφεῦρον τὸν νεκρὸν τῆς γυναικὸς ἐκείνης
Ἐν ἱματίῳ χρυσεργεῖ συμπεριεσταλμένον.
Ὅπερ λαβόντες καὶ πυρὶ βαλόντες καὶ χωνείᾳ
Χρυσοῦ λίτρας ἠνέγκαντο πρὸς ἑκατὸν τρὶς δέκα.
Ταῦτα περὶ θανάτου τε καὶ γυναικὸς τοῦ τάφου.
Τὸν κύνα δὲ γενόμενον ἐξ ὀφθαλμῶν ἐκείνου
Στοργῇ τοῦ βασιλέως τε καὶ γυναικὸς τῇ λύπῃ
Λόγος ἐμφέρεται πολλοῖς τὸν βίον ἀποπνεῦσαι.
Ἀῤῥιανὸς Βιθυνικοῖς γράφει τὴν ἱστορίαν.

ΠΕΡΙ ΤΟΥ ΙΠΠΟΥ ΑΡΤΥΒΙΟΥ ΤΟΥ ΠΕΡΣΟΥ. ρις'.

Τὰ περὶ τὸν Ἀρτύβιον ἐν τῷ ἐπιστολίῳ
Κεῖνται κατ' ἔπος οὑτωσὶ τοῖς λόγοις γεγραμμένα.
Ἀρτύβιος ὁ Πέρσης δὲ τὸν ἵππον ἀναθρέψας,
Εἶχε συμπολεμοῦντά τε καὶ συμμεμαχηκότα.

---

968. Appellatur *Ζηΐλας* in Memnonis Excerpt. c. XXII. p. 32. Orell. et mater *Consingis* a Plin. H. N. VIII, 40. (61. Hard.)

977. Michael, tertium aetatis annum agens sub tutela matris Theodorae imperium suscepit a. 842. Interfectus est 867.

979. *τὸν μηρὸν* cd. B. Male

987. Bithynicorum Arriani argumenta servavit Photius in Biblioth. Cod. XCIII.

HIST. 116.

988. Vid. Herodot. V, 111. sq

Ὁπότε δ' ὁ Ἀρτύβιος ἐξέπλευσεν εἰς Κύ
Καὶ μάχην συνεκρότησε Κυπρίῳ Ὀνησίλῳ
Ὡς πέπτωκεν Ἀρτύβιος ὑπὸ τοῦ Ὀνησίλ
Ἰδὼν ὁ ἵππος τὸν αὐτοῦ δεσπότην πεπτ
Ὄρθιος στὰς ἐμάχετο μετὰ τοῦ Ὀνησίλου,
Πατάσσων τὴν ἀσπίδα δὲ ποσὶ τοῖς ἐμπροσθίοις,
Μικροῦ δεῖν ἐναπέκτεινε τὸν Κύπρου βασιλέα,
Εἰ μὴ δρεπάνοις ἔκοψαν ὑπασπισταὶ τοὺς πόδας.

ΠΕΡΙ ΕΡΩΤΟΣ ΔΕΛΦΙΝΟΣ. ριζ'.

Ὀππιανὸς δελφῖνα ἱστορεῖ Λεσβίου τινὸς
CHILIAS IV. Ἄῤῥητον ἔρωτα λαβεῖν ὁμοχρονοῦντος τούτῳ,
Ὡς φέρειν ὡς ἡνίοχον τὸν μείρακα τοῖς νώτοις,
Καὶ πάντα τρόπον πείθεσθαι κελεύοντι ἐκείνῳ,
Καὶ ἄλλους ἐννωτίζεσθαι, εἴπερ αὐτὸς κελεύσοι,
Ἔχειν στοργήν τε ἄῤῥητον ὡς πρὸς αὐτὸν τὸν νέον,
Καὶ περιπτύσσεσθαι αὐτὸν καὶ σαίνειν τῷ οὐραίῳ.
Ὡς δὲ ὁ μεῖραξ ἐκδημεῖ τὴν εἱμαρμένην τρίβον,
Καὶ ὁ δελφὶς ἐκ τῶν ἐκεῖ τόπων ἐξηϊστώθη.
Καὶ περὶ νέου Λίβυος ποιμένος ταυτὶ γράφει,
Αἰλιανὸς δὲ ἱστορεῖ παρεμφερῆ μὲν τούτοις,
Πλὴν Ἰασσέα γέγραφεν εἶναι τὸν νεανίαν,
Καὶ μετὰ τὸ γυμνάσιον ἀμέτρως κεκμηκότα
Φησὶν ἐποχησάμενον ἐκεῖνον τῷ δελφῖνι
Βαρέως ἔχοντα πεσεῖν τοῖς νώτοις τοῦ θηρίου,
Τὴν ἄκανθαν παρεῖσαν δὲ νηδύϊ τῇ ἐκείνου,
Τοῦτον τὸν μείρακα κτανεῖν. γνοὺς δ' ὁ δελφὶν τὸ πάθος
Ἐξ ἀκινήτου βάρους τε καὶ ῥύσεως αἱμάτων,
Ἀρθεὶς εὐθὺ μετέωρος κυρτότητι κυμάτων,
Πρὸς γῆν αὐτὸν ἐκσφενδονᾷ σὺν μείρακι τῷ φίλῳ.

HIST. 117.

1000. Cf. Oppian. Halieut. V, 448. sqq. ibique Rittershusium. Plin. H. N. IX, 8. s. 8. Plin. Epist. IX, 33. Gell. VII, 8.

9. Oppianus vs. 453. habet λίβυος κοῦρον.

Ἄμφω δ' ἐκεῖ κατέστρεψαν ἐκπνεύσαντες τὸν βίον.
Κἂν χρόνοις τοῦ δευτέρου δὲ γενέσθαι Πτολεμαίου,
Λέγει τοιοῦτον ἔρωτα ἐν τῇ Ἀλεξανδρείᾳ
Κἂν τῇ Δικαιαρχείᾳ δὲ τῇ πόλει Ἰταλίας.

ΠΕΡΙ ΑΡΙΟΝΟΣ ΤΟΥ ΜΗΘΥΜΝΑΙΟΥ.

Ἔχεις τὴν τοῦ Ἀρίονος ὄπισθεν ἱστορίαν
Οὖσαν ἑπτακαιδέκατον, καὶ στρέψας ὅρα ταύτην.

ΠΕΡΙ ΚΛΑΥΘΜΟΥ ΤΩΝ ΙΠΠΩΝ ΑΧΙΛΛΕΩΣ. ριη'.

Πάτροκλος ἦν ἡνίοχος, φίλος τοῦ Ἀχιλλέως,
Καὶ τῶν καθ' αἷμα συγγενῶν πρεσβύτερος τῷ γένει.
Οὗτος σκευὴν ἐνδεδυκὼς πᾶσαν τὴν Ἀχιλλέως
Ἐπαναβάς τε ἅρματι καὶ ἵπποις τοῖς ἐκείνου,
Ὡς Ἀχιλλεὺς τὸ στράτευμα τῶν Τρώων κατηλόα.
Γνωσθεὶς δ' αὐτοῖς οὐκ Ἀχιλλεύς, Πάτροκλος δὲ τυγχάνων,
Ὑπὸ Ἀπόλλωνος αὐτοῦ, καὶ δεύτερον Εὐφόρβου,
Τρίτον βληθεὶς ὑφ' Ἕκτορος, ἐξέλειψε τὸν βίον.
„Ἵπποι δ' Αἰακίδαο μάχης ἀπάνευθεν ἐόντες,
„Κλαῖον, ἐπειδὴ πρῶτα πυθέσθην ἡνιόχοιο
„Ἐν κονίῃσι πεσόντος ὑφ' Ἕκτορος ἀνδροφόνοιο
„Οὔδει ἐνί, σκήψαντε καρήατα, δάκρυα δέ σφι
„Θερμὰ κατὰ βλεφάρων χαμάδις ῥέε μυρομένοισι,
„Ἡνιόχοιο πόθῳ, θαλερὴ δὲ μιαίνετο χαίτη,
„Ζεύγλης ἐξεριποῦσα παρὰ ζυγὸν ἀμφοτέροισιν.

---

23. Δικαιαρχίᾳ cd. B.

HIST. 118.

26. Ἀχιλλέως cd. B. et ita ubique duplici λ.

31. τυγχάνειν cd. B.

33. δ' ὑφ' Ἕκτορος βληθεὶς cd. B. quod praefero.

34. Iliad. XVII, 426. sqq.

ΠΕΡΙ ΤΗΣ ΚΟΙΝΗΣ ΣΥΜΠΑΘΕΙΑΣ ΤΩΝ ΖΩΩΝ. ἀπὸ ριθ' μέχρι ρλέ.

Κοινὴν λέγειν συμπάθειαν τῶν ζώων τῶν ἀλόγων
Πρὸς ἄλλα, καὶ πρὸς ἄλληλα, τίς ἐξαρκέσει λόγος;
Εἰπόντες οὖν ὀλίγιστα καὶ τῶν εὐαριθμήτων,
Τοῦ μήκους ἀφεξόμεθα καὶ τῆς μακρολογίας.

ΠΕΡΙ ΦΙΛΑΛΛΗΛΙΑΣ ΚΟΛΟΙΩΝ ΚΑΙ ΨΑΡΩΝ. ριθ'.

Οἱ κολοιοὶ φιλάλληλοι, καὶ τῶν ψαρῶν τὸ γένος,
Ὡς εἴπερ χέεις ἔλαιον ἔν τινι λεκανίσκῃ
Ἐν τῇ σκιᾷ τῇ ἑαυτῶν τοὺς κολοιοὺς κρατήσεις,
Ναρκίσσους ἄλλους Λύκωνας φανέντας φιλοσκίους.

ΠΕΡΙ ΓΕΡΑΝΩΝ ΚΑΙ ΧΗΝΩΝ. ρκ'.

Καὶ γέρανοι φιλάλληλοι, ἀγεληδὸν χωροῦσαι,
Χειμῶνος ἐρχομένου δὲ πρὸς Αἴγυπτον ὁρμῶσαι,
Τρίγωνον ὀξυγώνιον ποιοῦνται τούτων πτῆσιν,
Ὡς τὸν ἀέρα τέμνωσιν οὕτως εὐμαρεστέρως.
Ἔχουσι δὲ καὶ φυλακὰς καὶ οὐραγούς, προόδους.
Ὅταν γοῦν πρὸς τὴν Αἴγυπτον μέλλωσιν ἀποτρέχειν,
Ὡς πρὸς τὸν Ἕβρον ποταμὸν τὸν Θρακικὸν ἐλθοῦσαι
Πρῶτον συναγελάζονται πρὸς στίχας καὶ πρὸς ἴλας.
Ὁ πάντων δὲ γεραίτερος γέρανος τῶν ἐκεῖσε

HIST. 119 — 133.

42. ἐξαρκέσει pro optativo cd. B.

HIST. 119.

47. Locus restitutus e cd. B. In cd. A. a prima manu πρὸς τὴν σκιὰν τὴν, quibus lectio recepta superscripta est. Idem cod. A. κρατήσῃς et versu 48. ὄντας τῶν φιλοσκίων, quod et ipsum bonum.

HIST. 120.

52. εὐμαρεστάτως cd. B.

54. μέλλωσιν cd. B. pro μέλλουσιν.

56. Locus restitutus e cd. B. Antea erat πρὸς ὕλας καὶ πρὸς στίχας.

57. cd. B. utrum ὁ πάντων, an καὶ π. habeat, discerni non potest. Illud magis convenit.

Περιδραμὼν κυκλοτερῶς καὶ τὸν στρατὸν τηρήσας,
Εὐθὺ πεσὼν κεῖται νεκρός. ὃν θάψαντες ἐκεῖνοι,
Ἅπτονται τῆς πρὸς Αἴγυπτον πτήσεως καὶ πορείας,
Ἐξ ἀετῶν καὶ τῶν λοιπῶν ἀλλήλαις βοηθοῦσαι.
Ταῖς πάνυ δρῶσιν ὅμοιον καὶ τῶν χηνῶν τὰ γένη.
Ἀρξάμεναι δ' αἱ γέρανοι ποιεῖσθαι τὴν πορείαν,
Ἔχουσι τὸν γεραίτερον αὐταῖς ὁδοποιοῦντα.
Ἀποκαμόντος τούτου δέ, ὁ μετ' αὐτὸν προτρέχει,
Καὶ καθεξῆς ὑπ' ἀλλαγαῖς τὴν πρόπτησιν ποιοῦνται.
Ἐν γῇ δὲ καταπτάμεναι καιρῷ τῷ τῆς ἑσπέρας
Αἱ πλείους μὲν καθεύδουσι, φυλάττουσι δ' ὀλίγαι.
Ὁ τρόπος δὲ τῆς φυλακῆς ἐστὶν αὐταῖς τοιόσδε·
Αἱ φύλακες μονόποδες ἵστανται τούτων τότε,
Λίθον ποδὶ τῷ ἐκκρεμεῖ κατέχουσαι ἑκάστη,
Ὅπως ἐπινυστάξασαι τοῦ λίθου πεπτωκότος
Ἔλθωσι πρὸς ἐγρήγορσιν, τὴν αἴσθησιν λαβοῦσαι.
Οὕτως αὐταῖς ἡ φυλακή, πλὴν ἀμοιβαίῳ τρόπῳ.

ΠΕΡΙ ΕΛΑΦΩΝ ΚΑΙ ΛΥΚΩΝ. ρκά.

Καὶ ἔλαφοι φιλάλληλον τηροῦσι κοινωνίαν.
Ὕδωρ γοῦν περαιούμεναι, τὰς κεφαλὰς τιθεῖσαι
Ἄλλη ἐπ' ἄλλῃ πλέουσι. τῆς δ' ὁδηγοῦ καμούσης,
Ἡ μετ' αὐτὴν ὁδοποιεῖ, τῆς πρώτης οὐραγούσης,
Καὶ αἱ λοιπαὶ δὲ καθεξῆς ῥυθμῷ συντεταγμέναι.
Λύκοι δὲ περαιούμενοι τῶν ποταμῶν τὰ ῥεῖθρα,
Κατέχουσι τῷ στόματι ἀλλήλων τὰ οὐραῖα,
Ὡς ἂν μὴ παρατρέπωνται ταῖς δίναις τῶν ὑδάτων.

---

63. *ἀρξάμενοι δ' αἱ* cd. B.

67. *ταῖς φυλακαῖς* cd. B.

71. *κατέχουσα* cd. B.

HIST. 121.

76. *περαιούμενοι* cd. B.
79. *συντεταγμένῳ* cd. B.
82. *παρατρέπωνται* pro optativo cd. B.

ΠΕΡΙ ΕΛΕΦΑΝΤΩΝ. ρκβ'.

Σὺν ἄλλοις καὶ ἐλέφαντές εἰσι τῶν φιλαλλήλων,
Οὐδόλως ἀπολείποντες ἐν συμφοραῖς ἀλλήλους.
Φεύγοντες γὰρ τοὺς θηρευτὰς πρῶτον αὖ διασπῶνται,
Οἱ σθεναροὶ καὶ νέοι δὲ χωροῦσι κατὰ κύκλον,
Ἔσω τοῦ κύκλου φέροντες γέροντας καὶ μητέρας
Καὶ πᾶν τὸ ὑπομάζιον καὶ τὸ βρεφῶδες γένος.
Παραχωροῦσι τῆς τροφῆς πρῶτα τοῖς γεραιτέροις,
Γηράσαντας ἐκτρέφουσι πατέρας τοὺς οἰκείους·
Ὕδατα περαιούμενοι οἱ ἄῤῥενες τὰ νέα
Ταῖς προβοσκίσι ταῖς αὐτῶν ὠθοῦσιν ἐς τὸ ἄνω·
Τὰ δὲ ἐπιμαστίδια φέρουσιν αἱ μητέρες
Ἢ προνομίαις ταῖς αὐτῶν ἢ τοῖς διπλοῖς ὀδοῦσι.
Βόθρους δ' ἅνπερ διέρχωνται βαθεῖς καὶ δυσεκβάτους,
Ὁ πάντων σθεναρώτερος καὶ μείζων τῷ μεγέθει,
Στὰς μέσος ὥσπερ γέφυρα διαβιβάζει πάντας.
Οἳ δ' ἐνεγκόντες ἔπειτα κλάδους πολλοὺς τῷ βόθρῳ,
Ἐκεῖνον ἀνασώζονται τὸν περαιοῦντα τούτους.
Τῶν νεογνῶν πεσόντων δὲ πάνυ βαθέσι βόθροις,
Πίπτοντες συναπόλλυνται φονεύσαντες τὰ βρέφη,
Καὶ τῆς πατρίδος πόῤῥωθεν ἀγόμενοι θρηνοῦσιν.

ΠΕΡΙ ΛΕΟΝΤΩΝ, ΑΕΤΩΝ, ΔΕΛΦΙΝΩΝ, ΠΡΟΒΑΤΩΝ ΑΓΡΙΩΝ, ΠΕΛΑΡΓΩΝ, ΠΕΛΕΚΑΝΩΝ. ρκγ'.

Γηράσαντας τοὺς λέοντας καὶ ἀετούς, δελφῖνας,
Καὶ πρόβατα τὰ ἄγρια καὶ πελαργῶν τὰ γένη

HIST. 122.

83. ἐπὶ pro εἰσι cd. B.
84. ἀλλήλαις cd. B.
92. ἐς τὰ ἄνω cd. B.
95. διέρχωνται cd. B. pro διέρχονται.
96. τῶν ἁπάντων pro τῷ μεγέθει cd. B., quod praestat. Quanquam inepte dicta in Tzetza sunt toleranda.

HIST. 123.

In inscriptione huius historiae in cd. A. utraque forma πελεκάνων et πελεκάντων est coniuncta.

Καὶ πελεκάντας τρέφουσι τὰ τέκνα τὰ οἰκεῖα,
Καὶ τῇ βαδίσει πτήσει τε τῇ τούτων συνεργοῦσι,
Τὰ ἰχθυώδη νήξει δέ, ὥσπερ δελφὶν καὶ φώκη.

ΠΕΡΙ ΙΠΠΩΝ. ρκδ΄.

Αἱ ἵπποι κατοικτείρουσαι τοὺς ὀρφανοὺς τῶν πώλων
Θηλάζουσι καὶ τρέφουσι τούτους σὺν τοῖς ἰδίοις.

ΠΕΡΙ ΜΕΛΙΣΣΩΝ. ρκέ.

Μέλισσαι βασιλεύονται καὶ τάξει διοικοῦνται.
Ὅταν ὁ βασιλεὺς αὐτῶν τῆς πτήσεως ἐξάρξει,
Ἕπονται πᾶσαι βοτρυδὸν ἐκείνῳ πεπεισμέναι.
Καὶ τούτου ζῶντος μέν, καλῶς τὸ σμῆνος διοικεῖται,
Θανόντος ἀποτρέχει δέ, συγκέχυται τελείως.
Ἂν μὲν οὖν γέρων βασιλεὺς τούτων ἐστὶ τῷ σμήνει,
Ἑτέραις ἐποχούμενος ἐκφέρεται μελίσσαις.
Ἂν δὲ νεάζων καὶ σφριγῶν, προπέμπεται τοῦ σμήνους,
Κελεύων πάσαις ἅπτεσθαι τῶν ἔργων τῶν οἰκείων,
Τὰς μὲν αὐτῶν ὑδροφορεῖν, τὰς δὲ συλλέγειν ἄνθη,
Οἰκοδομεῖν ἑτέρας δὲ καὶ ἄλλας ἄλλα πράττειν.
Οἰκοδομοῦσι πρῶτον δὲ τοὺς βασιλέων οἴκους,
Πάντων ὑπερανέχοντας εἰς ὕψος τε καὶ πλάτος.
Ἐγγὺς τοῦ βασιλέως δὲ τοῖς γέρουσι ποιοῦσι
Καὶ καθεξῆς καὶ τὰς λοιπὰς οἰκήσεις ἁρμοδίας.
Καὶ ὅταν δέον ἐξελθεῖν τὸν βασιλέα τούτων,
Οἷα στρατός, σὺν βόμβῳ τε χωροῦσι καὶ θορύβῳ.
Ὅταν δ᾽ ἐκεῖνον ἀφυπνοῦν ὕπνου καιρὸς καλέσῃ,
Τὶς αὐλητὴς ἐπήχησε, καὶ ἠρεμεῖ τὸ σμῆνος.
Τισὶ τοῦ σμήνους ἔργον δὲ καὶ τοὺς νεκροὺς ἐκφέρειν,
Ἄλλα τε δρᾶν ἐχόμενα καλλίστης συμπαθείας.

HIST. 125.

111. ὅταν scripsi pro corrupto οὐδ᾽ ἄν. Indicativus ἐξάρξει in tali scriptore non offendit.

124. ἁρμοδίας dedi pro ἁρμοθιάσους. Cd. A. non videtur discedere a lectione editionis I as., in cd. B. autem histor. 123 — 129. desunt.

ΠΕΡΙ ΜΥΩΝ ΧΕΡΣΑΙΩΝ, ΣΚΑΡΩΝ, ΙΧΘΥΩΝ ΑΝΘΙΩΝ, ΓΛΑΥΚΟΥ, ΚΥΝΟΣ ΘΑΛΑΤΤΙΟΥ, ΓΑΛΕΟΥ, ΔΕΛΦΙΝΩΝ, ΦΩΚΗΣ, ΚΥΝΟΣ ΧΕΡΣΑΙΟΥ ΚΑΙ ΧΟΙΡΟΥ. ρκς'.

Καὶ οἱ χερσαῖοι μύες δὲ ἀλλήλοις συμπαθοῦσι.
Πεσόντος γάρ τινος αὐτῶν ὕδατι, δοὺς οὐραῖον
Ἕτερος τοῦτον ἀνασπᾷ, καὶ σώζει τοῦ κινδύνου.
Τοῦτο καὶ σκάροι δρῶσι δὲ τοῖς κύρτοις ἐμπεσόντες.
Ἀνθίαι κρατηθέντας δὲ ἀνθίας τοῖς ἀγκίστροις
Ἑπόμενοι τὸ ἄγκιστρον κόπτειν ἀποπειρῶνται.
Ὀδόντων ἀσθενείᾳ δὲ μὴ σθένοντες ἐγκόπτειν,
Βαρύνουσιν ἐγκείμενοι τοῦτον τὸν κρατηθέντα,
Ὡς ἂν τῇ ἐπιθλίψει τε καὶ βάρει τῷ ἐκείνων
Τῆς θήρας γένηται μακρὰν κοπέντος τοῦ ἀγκίστρου.
Γλαῦκος καὶ κύων, γαλεός, θαλάττιοι ἰχθύες,
Ἐπερχομένου δείματος τοῖς τέκνοις τοῖς οἰκείοις,
Ὁ γλαῦκος μὲν καὶ γαλεὸς τῷ στόματι συγκρύπτει,
Ὁ κύων ταῦτα κρύπτει δὲ πάλιν ἐν τῇ νηδύϊ,
Καὶ πάλιν ταῦτα δὲ γεννᾷ τοῦ φόβου παρελθόντος.
Ὁ δὲ δελφίν, ἡ φώκη δέ, τῶν νεογνῶν ἁλόντων,
Ἐκείνοις συναλίσκονται καὶ τελευτῶσιν ἅμα.
Ἁλωθεισῶν μητέρων τε τὰ νεογνὰ κρατεῖται.
Καὶ τοῖς προβάτοις τοῦτο δὲ γίνεται τοῖς ἀγρίοις.
Ὁ κύων ὁ χερσαῖος δὲ τέκνον τιμᾷ τὸ πρῶτον.
Πρῶτον δὲ χοίρου γέννημα πρῶτον μαστὸν θηλάζει,
Καὶ καθεξῆς καὶ τὰ λοιπὰ κατὰ βαθμὸν οἰκεῖον.

ΠΕΡΙ ΖΩΩΝ ΘΑΠΤΟΝΤΩΝ ΤΑ ΟΜΟΓΕΝΗ. ρκζ'.

Δελφίν, ἐλέφας, χελιδών, μέλισσαι, μύρμηξ ἅμα
Νεκροταφοῦσι τὰ αὐτῶν ὁμογενῆ θανόντα.
Ἄρκτοι καὶ μύες σὺν αὐταῖς, σὺν τούτοις δὲ καὶ μυῖαι,
Ἱέραξ καὶ ἀνθρώπῳ δὲ κόνιν ἀτάφῳ βάλλει.

HIST. 127. v. 156. Cf. interpret. ad Aelian. Var. Hist. V, 14.

ΠΕΡΙ ΤΟΥ ΤΗΣ ΗΡΙΓΟΝΗΣ ΚΥΝΟΣ. ρκη'

Τὴν Ἠριγόνην λέγουσι παῖδα τὴν Ἰκαρίου
Ἔχειν κύνα πιστότατον, ἐκείνῃ συντραφέντα.
Εὑρόντος Διονύσου δὲ τὸν οἶνον τοῖς ἀνθρώποις,
Ὡς Ἀθηναίοις γεωργοῖς Ἰκάριος παρέσχεν,
Οὗτοι πιόντες πρώτιστα καὶ συσχεθέντες μέθῃ
Ἀπέκτειναν Ἰκάριον, ὡς δόξαντες φαρμάξαι.
Ὡς οὖν ἡ παῖς οὐχ εὕρισκε ζητοῦσα τὸν πατέρα,
Ὁ κύων δείκνυσιν αὐτόν, ἀνερευνήσας ταύτῃ·
Ἧς καὶ θανούσης ὕστερον ὁ κύων συντεθνήκει.

Τὰς περὶ ζώων γράφουσι προτέρας ἱστορίας,
Αἰλιανός, Ὀππιανὸς ἅμα τῷ Λεωνίδῃ,
Καὶ σὺν αὐτοῖς Τιμόθεος γραμματικὸς Γαζαῖος,
Ἀναστασίῳ βασιλεῖ σύνδρομος ὢν ἐν χρόνοις.
Τὴν Ἰκαρίου ταύτην δὲ μετὰ τῆς Ἠριγόνης,
Αἰλιανός τε γέγραφε σὺν οὐκ ὀλίγοις ἄλλοις.
Μέμνηται ταύτης καὶ Ὀρφεὺς ἐν γεωργίᾳ γράφων·
„Ἀστραίη κούρη δὲ πέλει πρὸς ἅπαντα φερίστη,
„Σπέρματα καὶ δὲ φυτοῖσιν ἐναίσιμος, ἔν τε βόθροισι
„Βάλλειν ἔρνεα πάντα, τά τε δρυὸς ἄκρα λέγονται.
„Οἴνας δ' ἐξαλέασθαι, ἐπεὶ στυγέει περίαλλα
„Ἰκαρίου κούρη ληνοὺς καὶ ἀδευκέας οἴνας,
„Μνωομένη ὅσα λυγρὰ Διονύσοιο ἕκητι
„Ἀκταῖοι μήσαντο, μέθῃ δεδμημένοι αἴνῃ,
„Ἰκάριον καί μιν στυφελαῖς κορύνῃσι δάϊξαν,
„Σφαλλόμενοι δώροισι, χοροιμανέοιο Βάκχοιο.

HIST. 128.

165. Vid. ad vs. 295.

167. De Leonide vid. quos citat Müller ad scholia Lycophron. 754. not. 15.

168. De Timotheo Gazaeo vid. Suidam s. h. n. et Vossium de hist. gr. p. 266.

172. Vid. Tyrwh. ad Orph. Lith. p. LVIII. sq. Herm. et Tzetz. Schol. Lycophr. v. 83.

ΠΕΡΙ ΤΟΥ ΤΟΥ ΞΑΝΘΙΠΠΟΥ ΚΥΝΟΣ. ρκθ'.

Ὁ Ἀττικὸς ὁ Ξάνθιππος, πατὴρ τοῦ Περικλέους,
Κύνα καλὸν πολύχρηστον εἶχεν, αὐτῷ τραφέντα.
Ὡς οὖν ὁ Ξέρξης ἔμελλε καθ' Ἀθηνῶν στρατεύειν,
Οἱ Ἀττικοὶ δ' ἐπάρθμενον γύναια καὶ τὰ τέκνα
Καὶ πᾶν ὅ,τι περ κάλλιστον ὡς πρὸς τὴν Σαλαμῖνα.
Ἦν δὲ τότε συμπάθεια καὶ τῶν ἡμέρων ζώων,
Τρεχόντων τε τὴν θάλασσαν σὺν τοῖς αὐτῶν δεσπόταις,
Καὶ μυκωμένων γοερὸν φωνῇ θρηνωδεστάτῃ.
Τότε καὶ κύων ὁ ῥηθεὶς οὗτος ὁ τοῦ Ξανθίππου,
Ἰδὼν δεσπότην τὸν αὐτοῦ τῷ πλοίῳ βεβηκότα,
Βαλὼν αὑτὸν τοῖς ὕδασιν ἐνήχετο πλησίον,
Ἕως τῷ μήκει τοῦ πλοὸς λειποθυμήσας θνήσκει.
Ὃν καὶ ταφῆς ὁ Ξάνθιππος ἠξίωσεν ἐκεῖσε.
Ὁ δὲ ζωγράφος ἔγραψε Πολύγνωτος ἢ Νίκων
Ἐν τῇ ποικίλῃ τῇ στοᾷ φιλανθρωπίας χάριν.
Αἰλιανὸς καὶ Πλούταρχος σὺν ἄλλοις τοῦτο γράφει.
Ἀσκληπιάδης τέ φησιν οὕτω κατ' ἔπος λέγων:
„Ὃ καὶ κυνὸς καλοῦσι δυσμόρου σῆμα.

ΠΕΡΙ ΚΥΝΟΣ ΣΙΛΑΝΙΩΝΟΣ ΤΟΥ ΡΩΜΑΙΟΥ. ρλ'.

Ἔχει τὸ ἐπιστόλιον πᾶσαν τὴν ἱστορίαν,
Ὄνομα Σιλανίωνος οὐκ ἔχει γεγραμμένον.
Οὕτω δὲ τὸ ἐδάφιόν ἐστιν ἐγγεγραμμένον·
„Καὶ τοῦ Ξανθίππου τοῦ κυνὸς καί τινος δὲ Ῥωμαίου,
„Ἀνδρὸς μεγάλου στρατηγοῦ, ὅστις πεσὼν ἐν μάχῃ
„Ἔκειτο πτῶμα τοῖς κυσί, θηρσὶ καὶ τοῖς ὀρνέοις·
„Μόνος δ' ὁ κύων ὁ αὐτοῦ πιστότερος ὢν πάντων

HIST. 129.
188. Addidi τε.
197. Plutarch. Themist. c. 10.
HIST. 130.
200. Vss. 648. sqq.
202. ἐδάφιον in margine edit. Basil. recte explicatur *textus*.
203. Ῥωμαίων ed. B. pro Ῥωμαίου.

„Πολλαῖς ἡμέραις καρτερῶν ἐφύλαττε τὸν ἄνδρα,
„Καὶ τὴν αἰσχύνην ἔκρυπτε τοῦ ἥρωος ἐκείνου,
„Ἕως ἐλθόντες ὕστερον οἱ στρατηγοὶ Ῥωμαίων,
„Ἀράμενοι κατέκρυψαν ἐν τάφοις τοῖς πατρῴοις.

ΠΕΡΙ ΚΥΝΟΣ ΠΥΡΡΟΥ ΤΟΥ ΗΠΕΙΡΩΤΟΥ ΚΑΙ ΕΤΕΡΟΥ ΟΜΟΙΟΥ. ρλά.

Ὁ βασιλεὺς εὗρέ ποτε Πύῤῥος ὁ Ἠπειρώτης
Ἄταφον νέκυν κείμενον καὶ κύνα παρεστῶτα.
Καὶ τὸν μὲν ἄνθρωπον εὐθὺς ἐκέλευσε ταφῆναι,
Τὸν κύνα τοῦτον δὲ λαβὼν εἶχε τοῖς ἀνακτόροις,
Ὄντα τοῖς πᾶσι προσηνῆ καὶ μείλιχον ἀνθρώποις.
Ὡς δ' εἶδεν ἀριθμούμενόν ποτε τοῖς καταλόγοις
Τὸν κτείνοντα τὸν ἄνθρωπον ἐκείνου τὸν δεσπότην,
Καθυλακτῶν οὐκ ἔληγε καὶ καταξαίνων τοῦτον,
Ἕως ὁ Πύῤῥος ἐρευνῶν ἔμαθε πᾶν ὡς εἶχε,
Καὶ τοῦτον ἐδικαίωσεν ἐν σταυρικῷ θανάτῳ.

Τοιοῦτο πάνυ ἐμφερὲς καὶ χρονικός τις γράφει
Γενέσθαι χρόνοις πρὸ ἡμῶν ὀλίγοις παρελθοῦσι.
Κάπηλον εἶναι λέγει δὲ τὸν θάψαντα τὸν νέκυν·
Ἀνενεγκεῖν ἐπάρχῳ δὲ τῆς πόλεως τὸ πρᾶγμα
Μετά γε τὴν διάγνωσιν τὴν ἐκ κυνὸς φανεῖσαν,
Καὶ σταυρωθῆναι καὶ θανεῖν τότε τὸν παλαμναῖον.

Ἐπεὶ κυνῶν ἐμνήσθημεν ἀνθρώποις φιλοστόργων,
Κάλβου καὶ Ἀνακρέοντος, Εὐπόλιδος, Δαρείου,
Καὶ Λυσιμάχου σὺν αὐτοῖς, καὶ κυνηγοῦ Νικίου,
Καὶ Ἀθηναίας δὲ κυνός, καὶ Δάφνιδος βουκόλου,
Καὶ τῶν λοιπῶν δὲ λέξωμεν πάντα σοι σαφεστάτως.

Κάλβου σφαγέντος στρατηγοῦ Ῥωμαίων ἐμφυλίοις,

HIST. 131.

211. Vid. Plutarch. de solert. animal. XIII. p. 164. sqq. Tom. XIII. ed. Hutt. De alio Pyrrhi cane conf. Polluc. Onomast. lib. V. c. 5. s. 42.

226. πάλαι pro τότε cd. B.

232. ἐμφυλίου cd. B.

Οὐδεὶς ἠδύνατο τεμεῖν τὴν κεφαλὴν ἐκείνου,
Ἕως ἀπέκτειναν αὐτοῦ τὸν κύνα παρεστῶτα.
Τῷ Τείῳ Ἀνακρέοντι πρὸς Τεῖον ἐρχομένῳ
Μετὰ οἰκέτου καὶ κυνὸς ὠτήσασθαι χρειώδη,
Ὡς ὁ οἰκέτης ἐξ ὁδοῦ πρὸς ἔκκρισιν ἀπῆλθε,
Καὶ τὸ κυνάριον αὐτῷ ἐκεῖ συνηκολούθει,
Ὡς δέ γε τὸ βαλάντιον λήθῃ σχεθεὶς ἀφῆκεν,
Ἵζησαν τὸ κυνάριον ἐφύλαττεν ἐκεῖνο.
Ὡς δ' ἐκ τῆς Τείου τὴν αὐτὴν ὑπέστρεφον ἀπράκτως,
Κατῆλθε τὸ κυνάριον ἀπὸ τοῦ βαλαντίου,
Τὴν παραθήκην δεῖξαν τε, ἀπέψυξεν εὐθέως,
Πολλαῖς ἡμέραις ἄσιτον ἐκεῖσε διαμεῖναν.
Αὐγείας κύων Μολοσσὸς Εὐπόλιδι ὑπῆρχεν,
Ὃς δάκνων δοῦλον ἔκτεινε τοῦτον τὸν Ἐφιάλτην,
Ἀνθ' ὧν κατεῖδε κλέψαντα δράματα τοῦ κυρίου.
Οὗτος Αἰγίνῃ ὕστερον Εὐπόλιδος θανόντος
Τῷ πόθῳ τούτου τέθνηκεν, ἐγκαρτερῶν ἀσίτως.
Δαρείῳ τῷ ὑστέρῳ δὲ τῷ Βήσσῳ τεθνηκότι,
Ὡς ὁ τοῦ Σιλανίωνος, παρέμενε τῷ τάφῳ.
Τῷ Λυσιμάχῳ κύων δὲ τῷ βασιλεῖ συνθνήσκει.
Νικίου δὲ πρὸς κάμινον πεσόντος ἀνθρακέως,
Στάντες πρῶτον ὠδύροντο τοῦτον οἱ τούτου κύνες·
Ὡς δὲ οὐδεὶς συνέβαλεν ἐξ ὀδυρμῶν τὸ πρᾶγμα,
Ἐξ ἱματίων δάκνοντες ἠρέμα τοὺς παρόντας,
Εἷλκον ἐπὶ τὴν κάμινον δεικνύοντες τὸ πάθος.
Κύων Ἀθήναις ἔδειξέ ποτε ἱεροσύλους,
Μέχρις οἰκίας τῆς αὐτῶν σὺν ὑλαγμῷ χωροῦσα,
Ἥνπερ καὶ ἐπεψήφισαν τρέφεσθαι δημοσίᾳ.
Βουκόλῳ δ' ὄντι Δάφνιδι γένει Συρακουσίῳ,
Πέντε συνετεθνήκεσαν, κλαύσαντες πρῶτα, κύνες·
Ὑποκριτῇ δὲ τραγικῷ Πώλῳ παλαιοτάτῳ,

---

234. Monuit ad Sueton. Galb. c. 20. etiam Casaubonus.
245. In margine cod. B. αὐγείας δ' ἐκαλεῖτο, ὅτι αὐγείας αὐτὸν ἐδωρήσατο.

Καὶ Μέντορι, συγκέκαυται κύων ἀποθανοῦσι.
Καὶ Θεοδώρῳ ψάλτῃ δὲ ἀρίστῳ συνετάφη.
Γέλωνα Συρακούσιον καθ' ὕπνους δὲ βοῶντα,
(Κεραυνοβλὴς γὰρ ἔδοξεν ὀνείροις γεγονέναι,)
Ὁ κύων θορυβούμενον ἀμέτρως γνοὺς ἐκεῖνον,
Καθυλακτῶν οὐκ ἔληξεν, ἕως ἐγείρει τοῦτον.
Τοῦτον ἐξέσωσέ ποτε καὶ λύκος ἐκ θανάτου.
Σχολῇ προσκαθημένου γὰρ ἔτι παιδίου ὄντος
Λύκος ἐλθὼν ἀφήρπαξε τὴν δέλτον τὴν ἐκείνου.
Τοῦ δὲ δραμόντος πρὸς αὐτὸν τὸν λύκον καὶ τὴν δέλτον,
Κατασεισθεῖσα ἡ σχολὴ βαθρόθεν καταπίπτει,
Καὶ σύμπαντας ἀπέκτεινε παῖδας σὺν διδασκάλῳ.
Τῶν παίδων δὲ τὸν ἀριθμὸν οἱ συγγραφεῖς βοῶσι,
Τίμαιοι, Διονύσιοι, Διόδωροι καὶ Δίων,
Πλείω τελοῦντα ἑκατόν. τὸ δ' ἀκριβὲς οὐκ οἶδα.

ΠΕΡΙ ΚΥΝΩΝ ΟΡΦΕΑ ΣΩΣΑΝΤΩΝ. ρλγ'.

Ὀρφεὺς ὁ τῆς Μενίππης παῖς, πατρὸς δὲ τοῦ Οἰάγρου,
Ἔτι τελῶν μειράκιον, ὄρνις θηράσαι χρῄζων
Ἦλθεν ὡς πρὸς ἀκρώρειαν, οὗπερ ἦν δράκων μέγας.
Ὡς οὖν Ὀρφεὺς ἀφώρα μὲν πρὸς θήραν τῶν ὀρνίθων,
Ὁ δράκων ὥρμα κατ' αὐτοῦ, σπείρας συχνὰς ἑλίσσων.
Ἐθάδες τούτῳ κύνες δὲ δραμόντες βοῇ τούτου
Καὶ συμβαλόντες τῷ θηρί, ἀπέκτειναν ἐκεῖνον,
Τὸν δὲ Ὀρφέα ῥύονται στοργῇ τῇ πρὸς ἐκεῖνον,
Ὥσπερ αὐτὸς ἐν Λιθικοῖς Ὀρφεύς που γράφει τοῦτο.

---

266. Vid. Aelian. Var. Hist. I, 13.

271. *προκαθημένου* cd. B. — De Hierone narrat Iustinus XXIII, 4.

Deest hist. 132.

HIST. 133.

286. *δὲ* cd. B.

287. Orph. Lith. 105. sqq. — *τοῦτο γράφει* cd. B.

ΠΕΡΙ ΑΕΤΩΝ ΣΥΝΘΑΝΟΝΤΩΝ ΔΕΣΠΟΤΑΙΣ. ρλδ'.

Φύλαρχος νέον ἱστορεῖ ὡς ἀετὸν θηράσας
Ἐθρέψατο, καὶ εἴθισεν ἐκείνῳ παραμένειν,
Ὡς καὶ νοσήσαντά ποτε τὸν νέον θεραπεύειν,
Καὶ νοσηλεύειν δεξιῶς, σπουδῇ συντονωτάτῃ·
Τοῦ νέου τεθνηκότος δὲ καὶ πρὸς πυρὰν ἀχθέντος,
Ὁ ἀετὸς συνείπετο τῇ ἐκφορᾷ τῇ τούτου.
Καυθέντος τούτου δὲ πυρᾷ καὶ οὗτος συνεκαύθη.
Καὶ γυναικὶ δὲ ἀετὸς σύντροφος συντεθνήσκει,
Τῷ πόθῳ ταύτης ἀσιτῶν καὶ τελευτήσας οὕτω.
Καὶ Πύῤῥῳ τῆς Ἠπείρου δὲ τῷ βασιλεῖ ὑπῆρχεν
Ὅμοιος τούτοις ἀετὸς ὃς ἔχαιρεν ἀκούων,
Εἴ τίς ποτε προσφθέγξαιτο Πύῤῥος ὁ Ἠπειρώτης.
Καὶ οὗτος τεθνηκότος δὲ τοῦ Πύῤῥου συντεθνήσκει
Ἐξ ἀσιτίας καὶ λιμοῦ, τῷ πόθῳ τῷ ἐκείνου.
Καὶ θεριστήν τις ἀετὸς ἐῤῥύσατο θανάτου,
Ἀνθ' ὧν αὐτὸς ἐξέσωσεν ἐκ δράκοντος ἐκεῖνον
Ἐν τῷ δρεπάνῳ συντεμὼν τὴν σπεῖραν τοῦ θηρίου.
Ὄντων καὶ γὰρ ἑκκαίδεκα τῶν θεριστῶν ἐκεῖσε,
Οὗτος σταλεὶς ὑδρεύσασθαι, ὡς ἤνεγκε τὸ ὕδωρ,
Ἐκ στάμνου πᾶσι κεραννύς, διένεμε τὸν οἶνον.
Ὡς δὲ κεράσας καὶ αὐτὸς ἔμελλε πίνειν τοῦτο,
Ἐκεῖνος ῥοίζῳ καταπτὰς κατέαξε τὸν σκύφον,
Ἰδὼν ὄφιν ἐμέσαντα, ὡς ἔοικε, τῷ ἄγγει.
Ὁ δὲ στραφεὶς ὡς ἀμοιβῇ τῇ τούτου δυσχεραίνων,
Ἐκείνους θνήσκοντας ἰδών, συνῆκε τὴν αἰτίαν.

HIST. 134.

288. Cf. Mülleri indicem scriptorum in Tzetz. scholiis ad Lycophr. — In cd. B. est Ὕλαρχον.

294. κατεκαύθη cd. B.

295. ἀδελφὸς pro ἀετὸς cd. B. Et hoc versu et v. 300. legitur συντεθνήσκει. At vix dubium esse potest, quin hic quoque id quod legitur v. 165. συντεθνήκει sit scribendum, qua quidem forma pro perfecti forma Tzetzes videtur esse usus.

301. λιμοῦ pro λιμῷ cd. B.

306. ὑδρεύεσθαι καὶ cd. B.

307. κερασθεὶς cd. B.

308. πιεῖν cd. B.

ΠΕΡΙ ΔΡΑΚΟΝΤΩΝ ΦΙΛΟΥΝΤΩΝ ΚΑΙ ΤΙΝΝΥΝΤΩΝ ΑΜΟΙΒΑΣ. ρλέ.

Ἔχει τὸ ἐπιστόλιον δράκοντος ἱστορίαν,
Οὕτως αὐταῖς ταῖς λέξεσιν ἐκεῖσε γεγραμμένην·
„Παῖς τις ἐν Πάτραις δράκοντα μικρὸν ἐωνημένος
„Ἀνέθρεψεν· ὃς μέγιστος γενόμενος ἀπέδρα.
„Κατασχεθέντος δέ ποτε λῃσταῖς τοῦ νεανίσκου,
„Βοήσαντος, ἐξέθορε κατὰ λῃστῶν ὁ δράκων,
„Οὕσπερ καὶ τρέπει πρὸς φυγήν, σώζει τὸν νεανίσκον.
Ἀρκαδικῷ δὲ μείρακι ταὐτὸ τοῦτο συνέβη.
Ἐν γῇ τῇ Ἰουδαίων δὲ τοῖς χρόνοις τοῦ Ἡρώδου
Κόρῃ δράκων παμμέγιστος ὑπῆρχε συγκαθεύδων.
Ἀποδημήσασαν δ' αὐτὴν ἀνερευνῶν ἐξῆλθεν,
Ἕως αὐτὴν ἐφεύρηκεν, οὕτως ἀμέτρως στέργων.
Καί τινος νέου Θετταλοῦ θηρευτικοῦ Ἀλεύα
Ὡραίαν κόμην ἔχοντος, ὡραίου καὶ τὸ εἶδος,
Δράκων ἠράσθη πάμμεγας, καὶ τοῦτον κατεφίλει,
Καὶ κόμην τὴν χρυσόχροον ἐκείνου τὴν καλλίστην.
Καὶ Πίνδῳ δράκων ἔκδικος, ὑπ' ἀδελφῶν σφαγέντι.
Ὅστις δ' ὁ Πίνδος μάνθανε καὶ τίνος ῥιζουχίας.
Τῆς Ἠμαθίας βασιλεὺς ὑπῆρχεν ὁ Λυκάων,
Οὗ παῖς τὴν κλῆσιν Μακεδών, ἀφ' οὗ Μακεδονία.
Τῷ Μακεδόνι Πίνδος παῖς, ὡραῖος καὶ γενναῖος,
Καὶ θηρευτὴς ἀκρόατος, ἀεὶ θηρεύων λόχμαις.
Οὗπερ ἠράσθη δράκων τις ἀνδρείας καὶ τοῦ κάλλους.
Ὡς οὖν τρεῖς τούτου ἀδελφοὶ ἔκτειναν ξίφει τοῦτον,
Ἐκείνους ἀνταπέκτεινεν ἀντίποινον ὁ δράκων.
Τὸ δ' ὄρος κλήσει τοῦ παιδὸς Πίνδος κατωνομάσθη.

HIST. 135.
313. Conf. Epistol. vs. 680. sqq.
315. Aelian. Var. Hist. XIII,
[illegible]
[illegible] *δὲ* ed. B.
[illegible] *καὶ* ed. B.

329. Pro *ἔκδινος*, quod in ed. B. exstat, scripsi *ἔκδικος*, loci sensu flagitante. In ed. Bas. versus est mutilus.
331. *Ἠμαθίας* ed. B. pro corrupto *αἱμαθίας*.

Ὄφεις κεράσται κρίνουσι καὶ τέκνα τῶν Λιβύων,
Ἂν νόθου πέφυκε γονῆς ἢ καθαρῶν σπερμάτων;
Ὥσπερ ὁ Ῥῆνος τὰ Κελτῶν, ἡ βάσανος χρυσὸν δέ,
Τοὺς νεοσσοὺς δὲ ἀετῶν ἀμαρυγαὶ ἡλίου.
Καὶ κροκοδείλων νεογνὰ τὸ παρευθὺ θηρᾶσαι
Ἢ μυῖαν ἢ καὶ πάρνοπα, εὐθέως γεννηθέντα.
Ἐκ τῶν Λιβύων Λίβυς γάρ, οἵπερ καλοῦνται Ψύλλοι,
Ἄνπερ ὑπόπτως ἔχωσι περὶ τὴν τεκνουργίαν,
Ἐν κιβωτίῳ κλείουσι κεράστας καὶ τὸ βρέφος.
Ἂν οὖν σπερμάτων καθαρῶν, ἀνέπαφον τηρεῖται·
Ἂν δὲ μοιχάδος τῆς εὐνῆς καὶ λέχους ἀκολάστου,
Κόλασιν βασανίστριαν οἶδεν ὀδόντας τούτων.

ΠΕΡΙ ΤΩΝ ΓΗΡΥΟΝΟΥ ΔΕΝΔΡΩΝ. ρλϛʹ.

Ὁ Γηρυόνης βασιλεὺς ὑπῆρχεν Ἐρυθείας,
Ὡς φθάσαντες ἐγράψαμεν ἄθλοις τοῖς Ἡρακλέος,
Πλείστας ἀγέλας βουτροφῶν βοῶν ὡραϊσμένων.
Ὃ δὲ τοξεύσας ἔκτεινεν ὁ Ἡρακλῆς ἐκεῖνον,
Ὡραῖα δένδρα εὐερνῆ δύο πεφυτευμένα
Αἵματι καταλείβεται περὶ τὸν τάφον τούτου.

ΠΕΡΙ ΤΩΝ ΦΑΕΘΟΝΤΟΣ ΑΙΓΕΙΡΩΝ. ρλζʹ.

Ἡλίῳ μὲν διάφοροι σύζυγοί τε καὶ παῖδες·
Ἐκ Πέρσης τῆς Ὠκεανοῦ Αἰήτης τε καὶ Κίρκη·
Ὠκεανοῦ Κλυμένης δὲ Φαέθων. ἀλλ' οὐχ οὗτος·
Ῥόδου τῆς Ποσειδῶνος δὲ Κέρκαφος καὶ Τριόπης·

---

339. ὄφεις accessit e cd. B.

341. „Hinc Rheni nomen videtur Fr. Iunio ad Willeramum p. 17. et in Gloss. Goth. p. 200. quod Germani puritatem thori Rheno explorarint, unde ἐλεγ-[illegible] dictus.“ Schilter in thes. antiquit. teuton. s. v. *hrein.*

344. Tzetz. scholia ad Hesiod. Op. et D. p. 12. ed. Lips. ibique Gaisf. Iacobs. animadv. ad Anthol. Vol. III. P. I. p. 285.

341. ἡ pro ἢ cd. B.

345. Plin. H. N. VII, 2.

HIST. 136.

352. ἐγράφημεν cd. B.

355. περὶ cd. B. ut margo cd. A. pro παρά.

HIST. 137.

360. τοῦ pro τῆς cd. B. — Alibi Τριόπας vel Τριώπας.

Αὐγείας Ἰφιβόης δέ, ἐκ Κρήτης Πασιφάη,
Νεαίρας δὲ Φαέθουσα ὁμοῦ καὶ Λαμπετία·
Ἐκ Πρώτης τῆς Νηλέως δὲ Φαέθων, Ἡλιάδες,
Πέντε κόραι καλλίμορφοι, ὧνπερ τὰς κλήσεις μάθε·
Αἴγλη καὶ Λαμπετίη δέ, Φαέθουσα πρὸς ταύταις,
Καὶ Ἡμιθέα μετ' αὐτῶν, ὁμοῦ καὶ Διωξίππη.
Τοῦτον οὖν τὸν Φαέθοντά φασιν οἱ μυθογράφοι
Ἅρμα λαβόντα πατρικὸν διφρεύειν ἐθελῆσαι.
Ὄντα δὲ ἵππων ἀκρατῆ καὶ ἄπειρον διφρείας,
Ἐκδιφρευθῆναι καὶ θανεῖν Ἠριδανοῦ τοῖς ῥείθροις.
Τὰς ἀδελφὰς θρηνούσας δὲ τοῦτον τὰς Ἡλιάδας,
Ἠριδανοῦ τοῖς χείλεσιν αἰγείρους γεγονέναι.
Τὸ δάκρυον δ' εἰς ἤλεκτρον τούτων μεταιραπῆναι,
Κἀκ τῶν αἰγείρων καταῤῥεῖν μέχρι καὶ τοῦδε χρόνου.
Ταῦτα μὲν ὑθλοῤῥήμονα ῥήματα μυθογράφων·
Τὸ δ' ἀλληγορικώτερον, πλὴν ῥητορικωτέρως,
Οὕτω νοείσθω σοι σαφῶς καὶ πραγματικωτέρως.
Φαέθων βασιλέως τις Ἡλίου παῖς διφρεύων
Εἰς τὸν ῥηθέντα ποταμὸν συρεὶς ἐναπεπνίγη.
Αἱ σύναιμοι δ' ἐπένθησαν περιπαθῶς ἐκεῖνον.
Ἐπεὶ δ' ἐκεῖσε πάρεισιν ἠλεκτροφόρα δένδρα,
Τὰς ἀδελφὰς μὲν ἔπλασαν αἰγείρους γεγονέναι.
Τὸ δάκρυον δὲ ἤλεκτρον ἐκείνων ἀποῤῥέον.
Ταῦτα ῥητορικώτερον οὕτως ἠλληγορήθη.
Ὁ Πλούταρχος δὲ λέλυκεν οὕτω φυσικωτέρως·
Σφαῖραν πυρὸς τῇ Κελτικῇ γράφων ἐγκατασκῆψαι,
Ἠριδανοῦ σβεσθῆναι δὲ ῥείθροις ἐμπεπτωκυῖαν.
Τῆς ἱστορίας μέμνηται πόσος ἔσμος τῶν ἔξω.

---

361. Cf. Diod. Sic. V, 55. sq.

363. Nomen *Πρώτη* videtur depravatum.' *Πηρὼ* fuit Nelei filia. At alia quoque Tzetzes inaudita hic refert.

371. *εἰρημένας* cd. A. in marg.

373. *ἤλεκτρον* pro *ἤλεκτρα* cd. B.

379. *συρεὶς* cd. B. pro corrupto *συῤῥείς*.

384. *ἀλληγορήθη* cd. B.

385. Plutarch. de sera num. vind. p. 68. Wytt.

386. *τῇ* pro *γῇ* recepi e cd. B. — In marg. cd. A. *καταῤῥαγῆναι*.

387. *σβεσθεῖσα* cd. B.

ΠΕΡΙ ΤΩΝ ΕΝ ΑΤΑΒΥΡΙΩι ΟΡΕΙ ΧΑΛΚΩΝ ΒΟΩΝ. ρλή.

Γράφει τὸ ἐπιστόλιον καὶ περὶ τούτων οὕτως·
„Καὶ τί φημί σοι τὰ φυτά; Ῥόδιόν ἐστιν ὄρος,
„Τὴν κλῆσιν Ἀταβύριον, χαλκᾶς πρὶν ἔχον βόας.
„Αἳ μυκηθμὸν ἐξέπεμπον χωρούσης Ῥόδῳ βλάβης.
Πίνδαρος καὶ Καλλίμαχος γράφει τὴν ἱστορίαν.

ΠΕΡΙ ΤΗΣ ΣΥΓΚΙΝΗΣΕΩΣ ΤΩΝ ΤΑΦΩΝ ΚΑΔΜΟΥ ΚΑΙ ΑΡΜΟΝΙΑΣ. ρλθ'.

Γράφει τὸ ἐπιστόλιον καὶ ταύτην, λέγον οὕτως·
„Ἰλλυριοῖς οἱ τάφοι δὲ Κάδμου καὶ Ἁρμονίας,
„Κακοῦ τινὸς Ἰλλυριοῖς καὶ βλάβης γινομένης,
„Ἀλλήλοις κυλινδούμενοι πάταγον συνεκρότουν,
„Ὥσπερ ἐπαλγυνόμενοι ταῖς συμφοραῖς καὶ βλάβαις.
Ταύτην ὁ Διονύσιος γράφει τὴν ἱστορίαν.

ΠΕΡΙ ΜΑΓΝΗΤΙΔΟΣ, ΧΡΥΣΟΠΟΛΕΩΣ ΚΑΙ ΛΟΙΠΩΝ. ρμ'.

Μάγνησσα, λίθος μέλαινα, βαρεῖα, τραχυτάτη,
Λυσιτελής, συνοίσουσα καὶ πολυχρηστοτάτη.
Ἥπερ Ὀρφεὺς ἐν Λιθικοῖς ἔγραψε τὰς δυνάμεις,
Καὶ σὺν αὐτῷ καὶ ἕτεροι πολλοὶ τῶν ἐλλογίμων.
Αὕτη καθέλκει πρὸς αὐτὴν τὴν φύσιν τοῦ σιδήρου,
Ὡς τὴν ὑδράργυρον χρυσός, ὡς ἤλεκτρος ἀχύρους.
Ἂν οὖν θελήσῃς μάγνησσαν σίδηρον μὴ καθέλξαι,
Σκόροδα τρίψας ἔγχρισον. πάλιν δ' εἰ θέλεις ἕλκειν,
Τρίψον αὐτὴν ῥινήματι τοῦ ποθεινοῦ σιδήρου.
Ἰῶσαι χρήζων δὲ χρυσόν, σιέλῳ κυνὸς χρίσον·

HIST. 138.
389. Cf. vs. 703. sqq.
390. φησί μοι cd. B.
391. Cf. Cellar. geogr. antiq. II. p. 31.
393. Pind. Ol. VII, 160. ibique scholia.

HIST. 140.
402. Orph. Lith. v. 302. sqq.
405. καὶ ἤλεκτρον cd. B.

[illegible] ἰὸν, τρίψον χρυσίδι κόνει
[illegible]ήτιδος καὶ τῶν τοιουτοτρόπων.
[illegible] τινὰ χρυσόπολιν τῇ κλήσει,
[illegible] τὸν καθαρὸν, χεόμενον τοῖς φύλλοις,
[illegible] χρωννύεται πρὸς βάθος βεβαμμένη.
[illegible] κίβδηλος χρυσὸς, οὐ δέχεται τοῖς φύλλοις.

ΠΕΡΙ ΤΗΣ ΕΝ ΣΙΠΥΛΩι ΠΕΤΡΙΝΗΣ ΝΙΟΒΗΣ. ρμα'.

Νιόβη παῖς Ταντάλου μὲν καὶ τῆς Εὐρυανάσσης,
Γυνὴ δὲ τοῦ Ἀμφίονος, μήτηρ δὲ δωδεκάπαις,
Ὥσπερ φησὶν ὁ Ὅμηρος, κατ' ἄλλους δὲ πλειόνων·
Καὶ γὰρ τεσσαρασκαίδεκα τούτους φασὶν οἱ ἄλλοι,
Σίπυλον καὶ Ἀγήνορα, Φαίδιμον, Ἰσμηνόν τε,
Εὐπίνυτον καὶ Τάνταλον, τὸν Δαμασίχθονά τε,
Νέαιραν, Κλεοδόξην τε μετὰ τῆς Ἀστυόχης,
Φαέθαν, Πελοπίαν τε, Ὠγύγην καὶ Χλωρίδα.
Ταύτῃ Λητὼ βασκήνασα παισὶν ὡς γαυρουμένῃ,
Ἀντεριζούσῃ τε αὐτῇ περὶ τῆς εὐτεκνίας,
Ἀπόλλωνι, Ἀρτέμιδι, παισὶν αὐτῆς κελεύει,
Καὶ πάντας ἀποσφάττουσιν αὐθήμερον ἐκείνους,
Ἀπόλλων μὲν τοὺς ἄῤῥενας θηρῶντας Κιθαιρῶνι,
Ἡ Ἄρτεμις ἐν οἴκῳ δὲ τὰς κόρας καθημένας.
Λίθους δ' ὁ Ζεὺς ἐποίησε πάντας ἀνθρώπους τότε,
Οἱ δ' ἄταφοι κατέκειντο ἡμέρας ἐπ' ἐννέα·
Οὓς οἱ θεοὶ κατέθαψαν ἡμέρᾳ τῇ δεκάτῃ.
Νιόβη δὲ καὶ λίθινος ἐκείνους κατεθρήνει.
Ταῦτα κομψὰ μυθύδρια, τὸ δ' ἀληθὲς τοιοῦτον.
Ἡβρύνετο, ἐκόμπαζε τοῖς τέκνοις ἡ Νιόβη,

---

410. καθαίρων cd. B. per scribae errorem pro καθαίρειν quod cd. A. margo offert.

HIST. 141.

418. Hom. Iliad. XXIV, 602. sqq. — μὲν pro δὲ cd. B.

421. Vid. Heyn. ad Apollod. p. 269. — εὐπίνιτον καὶ τάλαντον cd. B.

423. ὠγήγην cd. B.

Ἐφρόνει ὑψηλότερον καὶ κρείττω τοῦ αἰθέρος,
Συνέκρινε πρὸς οὐρανὸν αὐτήν τε καὶ τὰ τέκνα,
Ἀπένεμε τὸ κρεῖττον δὲ καὶ ἑαυτῇ καὶ τέκνοις,
Λέγουσα τάδε πρὸς αὐτὴν καὶ συμβιβῶσα τύφῳ·
Δύο φωστῆρας οὐρανὸς κέκτηται τοὺς μεγάλους,
Ἐγὼ δὲ τόσους, ζῶντάς τε, λαλοῦντας καὶ ἐμψύχους·
Ἆρ᾽ οὐχὶ κρείττων οὐρανοῦ τελῶ καὶ τοῦ αἰθέρος;
Τοιαῦτα μὲν ἡ δυστυχής, παισὶν ἁβρυνομένη.
Ἀντιστρατεύεται δ᾽ αὐτῇ τύχη τις παλαιμναία,
Αὐθημερόν τε θνήσκουσι πάντα λοιμῷ τὰ τέκνα.
Ἀπόλλωνα καὶ Ἄρτεμιν ἔφαν δὲ τούτους κτεῖναι.
Ἡλίῳ γὰρ ἀνάκειται ταῦτα καὶ τῇ σελήνῃ.
Ἐκ τοῦ θερμοῦ γὰρ καὶ ὑγροῦ γίνεται τὰ λοιμώδη.
Τὴν δὲ Νιόβην ἔφασαν ἔνδακρυν λίθον εἶναι,
Ὅτι παντὸς ἀναίσθητος ἐκ πάθους γεγονυῖα
Πρὸς μόνον ἦν τὸ δάκρυον ἄγαν εὐαισθητοῦσα.
Καὶ τοὺς ἀνθρώπους οὕτω μοι τότε νοήσεις λίθους,
Ἐκλιθωθέντας συμφορᾷ τῇ γενομένῃ τότε,
Εἶτ᾽ οὖν τῶν ἀπανθρώπων τε καὶ τῶν σκληροκαρδίων
Μὴ συνδραμόντων πρὸς αὐτούς, μὴ κηδευσάντων τούτους.
Θεοὶ δὲ τούτους, βασιλεῖς, ἔθαψαν τῇ δεκάτῃ·
Ἢ ὡς συνηκολούθησαν καὶ βασιλεῖς τῷ πάθει·
Εἰ δ᾽ ὡς σκληροὺς νοήσειας λίθους μοι τοὺς ἀνθρώπους,
Θεοὺς τότε μοι νόησον ὑπάρχειν τὰ στοιχεῖα,
Τοιουτοτρόπως θάψαντας τὰ τῆς Νιόβης τέκνα.
Σεισμοί, βρονταί, καταῤῥαγαὶ θαλάσσης γεγονυῖαι,
Τοὺς ἀκαμπεῖς κατέπεισαν θάψαι τοὺς τεθνηκότας.
Τινὲς δὲ λίθινόν φασιν ἔνδακρυν τὴν Νιόβην
Λίθον ξεσθέντα τεχνικῶς, ὥστε δοκεῖν δακρύειν.

---

438. ἀπέτεμε cd. B.
440. οὐρανοῦ cd. B.
441. πόσους cd. B. Non male.
450. τῷ πάθει cd. A. in margine.
451. ἀναισθητοῦσα cd. B.
453. ἐκλιθευθέντας cd. B.
454. σκληροκαρδίων pro σκληροκαρδίᾳ cd. B.
457. ἤγουν cd. B. pro ἢ ὡς.
461. χαλάζης pro θαλάσσης cd. B.

Μᾶλλον καὶ τοῦτο τῶν ἐμῶν ἐστὶν ἐννοημάτων.
Ἐκεῖνοι δὲ μηχανητὸν φάσκουσιν εἶναι λίθον.
Δέχου τὸ ἐπιστόλιον μετὰ τὰς ἱστορίας.

ΤΩι ΚΥΡΙΩι ΙΩΑΝΝΗι ΤΩι ΛΑΧΑΝΑι ΓΡΑΜΜΑΤΙΚΩι ΤΟΥ ΖΑΒΑΡΕΙΟΥ *) ΥΠΑΡΧΟΝΤΙ.

(Αὕτη δὲ ἡ ἐπιστολὴ μετέχει τῶν τριῶν εἰδῶν τῆς ῥητορικῆς· ᾗ μὲν αὐτὸν ὀνειδίζει, τὸ δικανικὸν εἶδος τηρεῖ· ᾗ δὲ παραινεῖ, τὸ συμβουλευτικόν· τὸ πανηγυρικὸν δέ, ᾗ ταῖς ἱστορίαις τοὺς μὲν ἐγκωμιαστικῶς, τοὺς δὲ μεμπτικῶς ἐπιφέρει.)

Ζαβαρειῷ τῷ Λαχανᾷ· τούτοις καὶ γὰρ ἁβρύνει
Ἤπερ ὁ Κροῖσος θησαυροῖς καὶ Μίδας τῷ χρυσίῳ,
Ἤπερ ὁ Γύγης τῇ στροφῇ πάλαι τοῦ δακτυλίου,
Ἤπερ ὁ Κόδρος, Μεγακλῆς, Ἀλκμαίων τε τῷ γένει,
Οἱ Βορεάδαι ταῖς θριξίν, ὁ Εὔφορβος ὁμοίως,
Ὁ Νάρκισσός τε καὶ Νιρεύς, Ὑάκινθος τῷ κάλλει,
Ἤπερ Ὀρφεὺς τῇ μουσικῇ, τῇ λύρᾳ δ' ὁ Ἀμφίων,
Αἱ δὲ Σειρῆνες τῇ ᾠδῇ, τοῖς δὲ αὐλοῖς Μαρσύας,
Κιθαρῳδίᾳ Τέρπανδρος, Ἀρίων δὲ τὸ πλέον,
Ἀρνῷ χρυσῇ δὲ ὁ Ἀτρεύς, τῇ δὲ βοῒ ὁ Μίνως,
Τῷ θηροκτόνῳ δὲ κυνὶ ὁ Κέφαλος ἐκεῖνος,
Ἱπποτροφίᾳ Μεγακλῆς καὶ Κίμων, Ἀθηναῖοι,
Οἵπερ τοὺς ἵππους ἔθαψαν ὕστερον τεθνηκότας,
Ὡς μόνους τρὶς Ὀλύμπια νικήσαντας ἐξ ἵππων·
Ἤπερ Ἀριστοπάτειρα τοῖς ὀλυμπιονίκαις,
Ὁ Σιμωνίδης νίκαις δὲ πεντήκοντα καὶ πέντε,
Στησίχορος τοῖς μέλεσι, τοῖς ᾄσμασι Τυρταῖος,
Τῇ περὶ Κάννας μάχῃ δὲ ὁ στρατηγὸς Ἀννίβας,
Ἤπερ τῷ Βουκεφάλᾳ δὲ Ἀλέξανδρος ὁ μέγας,

---

466. ἐκεῖνοι καὶ μηχανουργεῖν cd. B.

*) Fuit collegium quoddam, cuius meminit etiam v. 559.

472. ἁβρύνει est secunda praesentis. Ita III, 229. παρόψει secunda futuri. Versu prox. ante ἤπερ supplendum μᾶλλον. In cd. A. est ὑπερ.

483. De Cimonis equabus v. Herodot. VI, 103. ibique Wessel., atque Aelian. Var. Hist. IX, 32. ibique interpretes.

490. βουκεφάλᾳ cd. A. pro βουκεφάλῳ. Bene. Vid. Arrian. Exped. Alex. V, 14, 8. 19, 6.

Τὸν ὅνπερ ὠνησάμενος τρισκαίδεκα ταλάντων
Ὁ Θετταλὸς Φιλόνικος χαρίζεται Φιλίππῳ·
Ἥπερ ὁ Ἀντισθένης δὲ πάλιν ὁ Συβαρίτης
Τῷ ἱματίῳ τῷ αὑτοῦ μεγάλως ἐγαυρία,
Τῶν ἑκατὸν ἐπέκεινα ταλάντων τιμωμένῳ·
Ἥπερ Δαρεῖος, διαβὰς τὸν Ἅλυν μὲν ἀβρόχως
Θαλοῦ σοφοῦ ταῖς μηχαναῖς μηνοειδεῖ τῇ τάφρῳ,
Τὸν παρ' ἡμῖν δὲ Βόσπορον τῷ Μανδροκλεῖ ζευχθέντα·
Ἥπερ Δαρείου ὁ υἱὸς ὁ Ξέρξης ἦν κομπάζων,
Βαθείᾳ τῇ διώρυγι τὸν Ἄθων θαλαττώσας,
Γαιῶν δὲ τὸν Ἑλλήσποντον διττῇ γεφυρουργίᾳ·
Ἥπερ ἡ Κλεοπάτρα δὲ χερσώσασα τὴν Φάρον
Τῷ Δεξιφάνει τῷ σοφῷ Κνιδόθεν ὡρμημένῳ,
Τραϊανὸς τὸν Ἴστρον δὲ μαρμάρῳ γεφυρώσας
Ἀπολλοδώρῳ τῷ δεινῷ τῶν ἀρχιτεκτονούντων·
Ἥπερ ὁ γέρων ὁ σοφὸς ἐκεῖνος Ἀρχιμήδης
Φλέξας κατόπτρων μηχαναῖς ὁλκάδας τὰς Μαρκέλλου·
Ἥπερ πρὸς ῥώμην Ἡρακλῆς, Σαμψὼν καὶ Πολυδάμας
Ὁ Σκοτουσαῖος ἀθλητὴς ἐκόμπαζε μεγάλως,
Γυμναῖς χερσὶ μὲν λέοντας ὡς ἄρνας διαφθείρων,
Πεζοῖς ποσὶ δ' ὑπερνικῶν ἅρματα ταχυδρόμα,
Τῇ δὲ χειρί τι σπήλαιον συμπίπτον ἀντερείσας·
Τὸν Μίλωνα, τὸν Αἴγωνα ἐῶ σὺν Δαμαξένῳ·
Ἥπερ εἰς τάχος Ἴφικλος μεγάλως ἐγαυρία,
Τρέχων ἀθέρων ἄνωθεν, μὴ κατακλῶν δὲ στάχυς·
Ἥπερ ὁ Εὔφημος αὐτὸς βαδίζων ἐν θαλάσσῃ,
Ὥσπερ τις γῆν ὁδοιπορῶν ἀγρότης ὁδοιπόρος·
Ἥπερ τὸ πρὶν μεταλλαγαῖς ἐφρόνουν πάλαι μέγα
Πρωτεὺς καὶ Περικλύμενος, ἡ Θέτις τε καὶ Μήστρα[1]
Τῷ δ' ἀποθνήσκειν τε καὶ ζῆν Κάστωρ καὶ Πολυδεύκης
Καὶ Αἰθαλίδης ὁ Ἑρμοῦ καὶ Ἀριστέας ἅμα,
Ὁ Ἀριστέας ὁ σοφὸς ὁ τοῦ Καϋστροβίου,

508. Cf. Paus. VI, 5. VII, 27. 512. τι pro τὸ cd. A. praebuit.

Θησεὺς καὶ Πρωτεσίλαος, Ἄλκηστις, Εὐρυδίκη·
Τῷ παύειν δ' ὄμβρους καὶ αὐχμοὺς καὶ προγινώσκειν πάντα
Θαλῆς καὶ Πυθαγόρας τε σὺν τῷ Ἀναξαγόρᾳ·
Ἐμπεδοκλῆς Μελίτωνος ὁ καὶ κωλυσανέμας·
Λαΐος παύσας τὸν λοιμὸν ἐν χρόνοις Ἀντιόχου,
Ὁ Ἀπολλώνιος εἰπὼν ὅσα μακρόν μοι λέγειν·
Καὶ πρὸ αὐτῶν Δημόκριτος ὁ πανδαὴς ἐκεῖνος,
Ὥσπερ ἐν ἄρτων ἄσθμασι πλὴν θερμοτίκοις μόνοις
Ἡμέρας τρεῖς ἐξένισε τρέφων τὸν Ἅιδην τούτοις·
Ἥπερ ὁ Βαβυλώνιος υἱὸς τοῦ Ἀρταβάζου,
Τριταίχμης ὁ ἀγέρωχος ἐκεῖνος ἐγαυρία
Κτηνοτροφίᾳ περισσῇ, προσόδῳ τε χρημάτων.
Τούτῳ φορβάδες ἵπποι γὰρ χωρὶς τῶν ἄλλων πάντων
Μυριοστὺς καὶ χιλιὰς ἑξάκις μετρουμένη,
Κήλωνες ὀκτακόσιοι χωρὶς τῶν ἐν πολέμοις,
Κύνες μάλις ἐν τέτρασι τρεφόμενοι χωρίοις,
Ἡμερησία πρόσοδος ἐκ τῶν λοιπῶν χωρίων
Ἀρτάβη πλήρης γέμουσα χρυσείων νομισμάτων.
Ἂν θέλῃς, τούτῳ σύνταττε καὶ τοὺς Ἐριχθονίους
Καὶ τὸν Ἰὼβ που σύνταξον ἐν πολλοστημορίῳ,
Καὶ τὸν Λυδὸν τὸν Πύθιον πλέον Ἰὼβ μοι τάττε.
Ἐριχθονίου πλέον τε σύνταττε τῷ Τριταίχμῃ·
Καὶ γὰρ αὐτὸς ὁ Πύθιος δωρεῖται πρὶν Δαρείῳ
Ἀναδενδράδα τε χρυσῆν καὶ πλάτανον ὁμοίως·
Ξενοδοχεῖ τὸν Ξέρξην δὲ πανστρατιᾷ δευτέρως·
Καὶ ἀργυρίου τάλαντα δισχίλια δωρεῖται,
Καὶ μυριάδας δίδωσι χρυσοῦ κεχαραγμένας,
Τετρακοσίας ἀριθμῷ πλὴν ἑπτακισχιλίων.
Ἥπερ οὖν οὗτοι σύμπαντες ἐφρύνουν οἷσπερ εἶπον,
Ἥπερ Χοσρόης οὐρανῷ τῷ τετεχνιτευμένῳ,
Καὶ Πτολεμαῖος πόλεων ἀπείρων βασιλεύων,
Καὶ Γάϊος Ἰούλιος μέχρι καὶ Βρεττανίας

---

529. Pro *πρός*, quod hic prorsus est ineptum, scripsi *πρό*.

Τῆς Ῥώμης ὅρους προβιβῶν, καὶ Σέσωστρις ἐκεῖνος
Τῷ κοσμοκράτωρ λέγεσθαι θεὸς τοῖς Ἀσσυρίοις.
Ἵνα μὴ λέγων καὶ λοιποὺς λόγων ποιήσω μῆκος,
Δοκῶ, σὺ πλέον ἐπαυχῶν τῇ λαχανωνυμίᾳ
Καὶ τῷ προσκυρωθῆναι τῇ τάξει τοῦ Ζαβαρείου,
Οὐδὲ προσρήματος ἡμᾶς γραφῆς ἀξίους κρίνεις.
Κἂν τούτῳ βλάπτεις οὐδαμῶς ἀνθρώπους ἐλευθέρους,
Ἀνθρώπους πλουσιόψυχας, πράγμασι πενομένους,
Οἵπερ ἅπαν ἀνθρώπινον ἡγοῦνται λῆρον εἶναι,
Θρόνους καὶ κράτη καὶ ἀρχὰς καὶ τύφους καὶ ἐπάρσεις.
Ὡς πρὶν γὰρ Κάτων τὸν υἱὸν ἐπαίδευσεν ἐν πᾶσιν,
Οὕτως ἡμᾶς ἐμὸς πατὴρ ἐν λόγοις καὶ τοῖς ἔργοις
Καὶ πᾶσιν ἐξεπαίδευσε σωφρόνως καὶ κοσμίως,
Μᾶλλον τῶν ἄλλων πλέον με καταφρονεῖν διδάξας
Πλούτων καὶ τύφων καὶ ἀρχῆς καὶ τῆς πρωτοεδρίας.
Ἐγγὺς πεντεκαιδέκατον τρέχοντα γὰρ τὸν χρόνον,
Τὸ νέον καὶ εὐόλισθον τηρῶν τῆς ἡλικίας,
Αὐτῷ με συνεκοίταζε, πᾶν παραινῶν τὸ δέον,
Ἥνπερ ὁ Κάτων τῷ υἱῷ, ὁ Σόλων δὲ τῷ Κροίσῳ,
Ὁ δ' ἰατρὸς Θεόδωρος ἐκείνῳ τῷ Χαγάνῳ,
Εἰπὼν τὸ πῶς ὁ Σέσωστρις τοὺς βασιλεῖς ἐζεύγνυ,
Καὶ πῶς ὁ εἰς τὰς τροχιὰς βλέπων, εἰπὼν οὐ τρέχω,
Ἐκεῖνον ἐσωφρόνισε τὸν Σέσωστριν τὸν μέγαν.
Ὑπὲρ ἐκείνους ὁ πατὴρ ἀεὶ νυξὶ παρῄνει,
Ἀρχὰς ἀνθρώπων λέγων μοι καὶ βίων μεταπτώσεις,
Ἑκάβην, Πολυμήστορα, τὸν Αἴαντα, τοὺς ἄλλους,

---

559. Pro σοι, quod sensu caret, dedi τῇ.

562. πλουσιόψυχας, quemadmodum scriptum est in editione Basileensi, addicente, ut opinor, codice A., non ausus sum mutare in πλουσιοψύχους. Videtur enim hic accusativus iis formis esse annumerandus, de quibus disputat Buttmannus in Grammat. gr. ampl. p. 221. Atque talia quum ausus sit Tzetzes, videtur etiam procudere potuisse Chil. V, 716. παχυφρένους, ut a πάχυφρενος. Ibi tamen exscribendum curavi παχύφρονας, quum παχύφρενος a conformatione illorum adiectivorum nimium discrepet, nullaque prorsus vel analogiae specie saltem excusetur.

Γελίμερ, Βελισάριον καὶ παλαιοὺς ὁπόσους·
Ἀπὸ τῶν νέων τε δεικνὺς πόσους ἀεὶ συχνάκις
Οὐσίας ἔχοντας τὸ πρίν, ὡς ἔφασκε, μεγάλας,
Καδδηφοροῦντας τότε δὲ καὶ φαῦλα δρῶντας ἄλλα.
Οὕς μοι δεικνὺς ἐκέλευε βλέπειν τὸν βίον οἷος,
Οὐκ ἐκ ξυλίνου τοῦ νεκροῦ, κατὰ τοὺς Αἰγυπτίους,
Οὐδὲ κατὰ τοὺς Λάκωνας μεθύσκων τοὺς οἰκέτας,
Καὶ μύθους πλάττων ἔλεγε συντείνοντας πρὸς τοῦτο.
Οὕτω μοι νὺξ παραίνεσις ὑπῆρχε πᾶσα τότε,
Ἡμέρα δὲ διδάσκαλος ὑπῆρχε μαθημάτων
Μετὰ σωφρόνων τῶν πληγῶν, καὶ μᾶλλον ἀτακτοῦντι.
Καὶ πρακτικῶς ἐπλήρου μοι τότε τὰς παραινέσεις.
Εἰς βαλανεῖον γάρ ποτε δεῆσαν γεγονέναι,
Τοῖς δούλοις ἂν ἐκέλευσεν εἰς ἔσχατον κλιντῆρα
Θεῖναι τὸ στρωματόδεσμον, τοὺς δ' ἄλλους παρατρέχειν,
Καίτοι σχεδὸν τυγχάνοντος λουτρῶνος ἡμετέρου.
Τὰς δ' ἄλλας λέγειν παρεῶ πάσας αὐτοῦ παιδεύσεις.
Οὕτως, ὡς ἔφην, παιδευθεὶς μηδὲν δοκεῖν τὸν βίον,
Οὐκ ἐπαλγύνομαι ποσῶς σαῖς ἀπροσηγορίαις.
Θλίβομαι δέ σε καθορῶν βλαπτόμενον ἐσχάτως.
Καὶ γὰρ βαρβαρωδέστερος δοκεῖν βαρβάρων σπεύδεις,
Ἀλόγων ἀλογώτερος, τιμώμενος ἐν λόγῳ,
Ἀναισθητότερος αὐτῶν αὐτῶν τῶν ἀναισθήτων,
Τῷ μὴ μεμνῆσθαι μηδαμῶς πάντως δεσμῶν φιλίας.
Δαρεῖος γὰρ ὁ βάρβαρος ἐλθὼν εἰς Βαβυλῶνα
Ὑπασπιστής, οὐ βασιλεὺς ὢν ἐν τοῖς τότε χρόνοις,
Ἐκ Συλοσῶντος δὲ λαβὼν δῶρον πυῤῥὰν χλανίδα,
Ὡς ἐγκρατὴς μετέπειτα γέγονε βασιλείας,
Τῆς δωρεᾶς οὐ γέγονεν ὁ βάρβαρος ἀμνήμων,
Ἀνερευνήσας δὲ ποιεῖ τῆς Σάμου βασιλέα,
Φήσας, Δαρεῖος οὐδαμῶς ἀμνημονεῖ χαρίτων.

---

583. Quid est *καδδηφοροῦντες?* Lacisius vertit *cados ferre.*

603. Putaram hunc versum sic mutandum esse: *ἀναισθητότερος αὐτῶν τῶν ἀναισθητοτάτων.* At nihil mutandum. Pronomen *αὐτὸς* eodem modo repetitur Chil. V, 850.

Ἐῶ τὸν Βελεσὺν αὐτὸν καὶ τὸν Ἀρσάκη λέγειν·
Οἷα δ' ὁ Ξέρξης ἔδρασεν ὡς πρὸς τὸν Ἱστιαῖον·
Τὸν Δημοκήδην ἰατρὸν ἐῶ καὶ τὸν Δαρεῖον,
Ὅσοις αὐτὸν ἠμείψατο δώροις ἀμετροτάτοις.
Ἐῶ τὸν Κῦρον τὸν καλὸν τὸν παρὰ Ξενοφῶντι,
Τὸν Ἀβραδάταν στρατηγὸν, πάντας βαρβάρους ἄλλους,
Οἵπερ ἀπεμνημόνευσαν χάριν εὐεργεσίας.
Τὸν λόγον μεταστρέπω δὲ πρὸς φύσεις τῶν ἀλόγων.
Ὀσυμανδύας βασιλεὺς ὁ μέγας ὁ τῶν Σύρων
Θηρίον εἶχε λέοντα, πολέμοις παραστάτην,
Ἀνθ' ὧν αὐτὸν ἐξέθρεψε, χάριτος μεμνημένον.
Τριακονταπεντάπηχυν δράκοντα Πτολεμαῖος
Τοῖς λόγοις ὑπακούοντα καὶ τῇ φωνῇ τῇ τούτου.
Ἄλλος δὲ πάλιν βασιλεὺς μέγιστον εἶχε κύνα.
Ὅστις ποτὲ διέσπασε τὴν σύνευνον ἐκείνου,
Συμπαίζουσαν τῷ βασιλεῖ, νομίσας πολεμίαν.
Ἀρτύβιος ὁ Πέρσης δὲ τὸν ἵππον ἀναθρέψας
Εἶχε συμπολεμοῦντά τε καὶ συμμεμαχηκότα.
Ὁπότε δ' ὁ Ἀρτύβιος ἐξέπλευσεν εἰς Κύπρον
Καὶ μάχην συνεκρότησε Κυπρίῳ Ὀνησίλῳ,
Ὡς πέπτωκεν Ἀρτύβιος ὑπὸ τοῦ Ὀνησίλου,
Ἰδὼν ὁ ἵππος τὸν αὐτοῦ δεσπότην πεπτωκότα,
Ὄρθιος στὰς ἐμάχετο μετὰ τοῦ Ὀνησίλου·
Πατάσσων τὴν ἀσπίδα τε ποσὶ τοῖς ἐμπροσθίοις
Μικροῦ δεῖν ἂν ἀπέκτεινε τὸν Κύπρου βασιλέα,
Εἰ μὴ δρεπάνοις ἔκοψαν ὑπασπισταὶ τοὺς πόδας.
Ὀππιανοῦ μεμάθηκας τὸν πόθον τοῦ δελφῖνος,
Πρὸς Αἰολέα μείρακα, πρὸς Λίβυν τε ποιμένα,
Ἔλεγον πρὸς Ἀρίονα πάλιν τὸν Μηθυμναῖον.
Τὸν ὀδυρμὸν ἐπίστασαι τῶν ἵππων Ἀχιλλέως,
Ὀδυρομένων Πάτροκλον ἐν μάχῃ πεπτωκότα.
Τὴν δὲ κοινὴν συμπάθειαν πρὸς ἄλληλα τῶν ζώων
Ἐῶ καὶ λέγειν ὡς σαθρὸν καὶ παρατρέχω τοῦτο.

612. Cd. A. in margine ἀρβάκη.

Ἴσως πόθον οἶδας τοῦ κυνὸς οἶμαι τῆς Ἠριγόνης.
Καὶ τοῦ Ξανθίππου τοῦ κυνὸς καί τινος δὲ Ῥωμαίου
Ἀνδρὸς μεγάλου στρατηγοῦ ὅστις πεσὼν ἐν μάχῃ
Ἔκειτο πτῶμα τοῖς κυσί, θηρσὶ καὶ τοῖς ὀρνέοις.
Σύμπας στρατὸς ἐτράπη γὰρ ὡς πρὸς φυγὴν Ῥωμαίων,
Μόνος δ' ὁ κύων ὁ αὐτοῦ πιστότερος ὢν πάντων,
Πολλαῖς ἡμέραις καρτερῶν ἐφύλαττε τὸν ἄνδρα
Καὶ τὴν αἰσχύνην ἔκρυπτε τοῦ ἥρωος ἐκείνου,
Ἕως ἐλθόντες ὕστερον οἱ στρατηγοὶ Ῥωμαίων,
Ἀράμενοι κατέκρυψαν ἐν τάφοις τοῖς πατρῴοις.
Ἕτερος πάλιν ἄνθρωπος μετὰ κυνὸς ὁδεύων
Ἐν χρόνοις πάνυ πρὸ ἡμῶν ὀλίγοις ὑπηργμένοις
Ὑπὸ λῃστοῦ ἀνῄρητο. παρέμενε δ' ὁ κύων,
Ἕως τις ἐκ τῆς πόλεως κάπηλος θάπτει τοῦτον.
Ὥσπερ ὁ κύων ἐνδημεῖ καπήλῳ πρὸς τὴν πόλιν.
Τῷ πανδοχείῳ δὲ συνὼν ἥμερος ἦν τοῖς πᾶσι
Πάντας ἐκμειλισσόμενος καὶ σαίνων τοὺς ἀνθρώπους.
Ὡς δ' ὁ φονεὺς ὁ μιαρὸς ἦλθε τῷ πανδοχείῳ,
Ὁ κύων ὥσπερ ἄνθρωπος ἔννους θυμῷ δικαίῳ.
Ἄσπειστον ἔφερεν αὐτῷ τὴν ὑλακήν, τὸ δῆγμα,
Ἕως ὁ πανδοχεὺς αὐτὸς καὶ πάντες οἱ παρόντες,
Θαυμάσαντες, ἀνέκρινον ἀσφαλεστάτῃ βίᾳ.
Μαθόντες τοῦτον εἶναι δὲ φονέα τοῦ ἀνθρώπου,
Ἐπάρχῳ τῷ τῆς πόλεως ἄγουσι τὸν γεννάδαν.
Καὶ σταυρωθεὶς ἀνῄρητο ὁ μιαρὸς ἐκεῖνος.
Ὀρφέα λέγειν παρεῶ τοὺς ῥυσαμένους κύνας
Καὶ κτείνοντας τὸν δράκοντα τὸν κατ' αὐτοῦ χωροῦντα.
Ἐῶ τοὺς κύνας τοὺς ἐμὲ πολλάκις ῥυσαμένους
Ἀπὸ πληγῶν τε πατρικῶν καὶ συμμειράκων μάχης,
Τοὺς συναράξαντάς ποτε μάχην Βενετιάνῳ,
Χάριν ἐμοῦ καὶ μετ' αὐτοῦ πεσόντας ἐξ ὑπαίθρου.
Ἐῶ λαλεῖν τὸν ἀετὸν τὸν μείρακα θρηνοῦντα
Καὶ συνκαυθέντα μετ' αὐτοῦ πυρᾷ τῇ θαυασίμῳ.
Ἐῶ ταῦτα, κατάδηλα τυγχάνοντα τοῖς πᾶσιν,
Ἐξ ὧν ἀεὶ προσβλέπομεν τοῖς παρ' ἡμῖν ἀλόγοις.

Παῖς τις ἐν Πάτραις δράκοντα μικρὸν ἐωνημένος
Ἀνέθρεψεν. ὃς μέγιστος γενόμενος ἀπέδρα.
Κατασχεθέντος δέ ποτε λῃσταῖς τοῦ νεανίσκου,
Βοήσαντος, ἐξέθορε κατὰ λῃστῶν ὁ δράκων·
Οὕσπερ καὶ τρέπει πρὸς φυγήν, σώζει τὸν νεανίσκον.
Μὴ γοῦν αὐτὸς καὶ δράκοντα νικήσῃς ἀστοργίᾳ.
Καὶ τί φημι τὰ ἔμψυχα; τὰ Γηρυόνου δένδρα,
Ὑφ' Ἡρακλέος τοῦ ἀνδρὸς ἀνῃρημένου τοῦδε,
Αἵματι καταλείβεται περὶ τὸν τάφον τοῦδε.
Ἐῶ τὰς τοῦ Φαέθοντος αἰγείρους διαγράφειν
Ἠλεκτροφόρον δάκρυον Ἠριδανῷ ῥεούσας.
Ἦν πρὶν συκῆ τις παρ' ἡμῖν ἐκ τῶν ὡραιοκάρπων·
Αὕτη κλῆσιν ἐκέκτητο συκῆ τοῦ λογοθέτου·
Μόνος ἐκ ταύτης γὰρ αὐτὸς κατήσθιεν ἐκεῖνος,
Κἀγὼ βραχέα δέ τινα κλοπῇ τῇ λαθριδίῳ.
Αἴφνης θανόντος τοῦ αὐτοῦ ποτὲ τοῦ λογοθέτου,
Εὐθὺς ἐψύγη τὸ φυτὸν ἐκείνῃ τῇ ἡμέρᾳ,
Παρακρεμάσαν τρομερὰ καὶ ῥυσσηρὰ τὰ φύλλα,
Καὶ πάντες ἐθαυμάζομεν, τί τὸ συμβὰν ἀθρόως.
Πλειόνως δ' ἐθαμβήθημεν πᾶν τὸ συμβὰν μαθόντες.
Ἐῤῥάγη δὲ τῇ αὔριον ἐκ κορυφῆς εἰς ῥίζαν
Καὶ παντελῶς ἀπέφρυκτο, θαῦμα καινὸν καὶ ξένον.
Ὄμνυμι τὴν ἀλήθειαν, τὸν φωταυγῆ φωσφόρον,
Ὡς οὐδ' ἐν ἄλλοις ἔψευσμαι σπουδαίοις, οὐδ' ἐν τούτῳ.
Καὶ τί φημί σοι τὰ φυτά; Ῥόδιόν ἐστιν ὄρος,
Τὴν κλῆσιν Ἀταβύριον, χαλκᾶς πρὶν ἔχον βόας,
Αἳ μυκηθμὸν ἐξέπεμπον χωρούσης Ῥόδῳ βλάβης.
Ἰλλυριοῖς οἱ τάφοι δὲ Κάδμου καὶ Ἁρμονίας,
Κακοῦ τινὸς Ἰλλυριοῖς καὶ βλάβης γινομένης,
Ἀλλήλοις κυλινδούμενοι πάταγον συνεκρότουν,
Ὥσπερ ἐπαλγυνόμενοι ταῖς συμφοραῖς καὶ βλάβαις.
Καὶ τί σοι ταῦτα τὰ μικρὰ καὶ τὰ στενὰ διδάσκω;
Καὶ τὴν μαγνῆτιν πῶς ἐρᾷ φιλίας τοῦ σιδήρου;
Ἢ πόα δὲ χρυσόπολις τοῦ καθαροῦ χρυσίου;
Καὶ τὰ λοιπὰ δὲ τῶν λοιπῶν, ἵνα μὴ γράφω μάτην,

[illegible] Νιόβην τε καὶ Μέμνονος τὴν στήλην.
[illegible] περισσὰ γιγνόμενα συχνάκις,
[illegible] βλέπομεν στήλας καταπιπτούσας,
[illegible] κλίτας καὶ λοιπὰ συγκλώμενα τῷ πάθει.
[illegible] γοῦν ἀστοργότερος καὶ τούτων μοι φανείης,
[illegible] ψευδογαυρούμενος τοῦ βίου δοξαρίῳ,
[illegible] ἔσο στέργων ἅπαντας, εὐόμιλος τοῖς πᾶσιν,
Καὶ ταπεινὸς καὶ προσηνής, ὅλος φιλίας γέμων,
Κἂν πτερωθῇς ὡς Δαίδαλος, ὡς Ἴκαρος ἐκεῖνος,
Κἂν οὐρανίας ἄντυγος δόξης χερσί σου ψαύειν.
Καὶ τί γὰρ τὸ δοξάριον τοῦ ταλαιπώρου βίου;
Κἂν γὰρ μὴ μεταπέσῃ τις ταῖς τύχαις παλιῤῥοίας,
Ἀλλ' οὖν ὁ πανδοκεὺς αὐτὰ θάνατος πάντα φθείρει,
Καὶ λήθης κρύπτει τῷ βυθῷ καὶ τῆς ἀμνημοσύνης,
Μόνας αἰὼν φυλάττει δὲ τὰς ἀρετάς, φιλίας.
Ἦν εὐτυχὴς Τιμόθεος ὁ στρατηγὸς ἐκεῖνος,
Ὑπερπλουτῶν, ὑπερτρυφῶν, πένης, πεινῶν ὑστέρως.
Βελλεροφόντης ἤρθη δὲ πρὸς οὐρανὸν πηγάσῳ,
Ὕστερον τὸ ἀλήϊον τυφλὸν εἶχε τὸν ἄνδρα.
Τύραννος Διονύσιος, γραμματιστὴς ὑστέρως.
Περσεὺς ἦν πρίν σοι βασιλεύς, αἰχμάλωτος εἶτά μοι.
Ὁ Φύτων, ὁ Ψαμήνιτος, ὁ Κροῖσος, ὁ Γελίας.
Ὑπέρπλουτος ὁ Τίμων δέ, πλὴν σκαπανεὺς ὑστέρως.
Σώφρων ὁ Αἴας, συνετός, ἀλλ' ὕστερον παράφρων.
Θερσίτης πρὶν ἀκέραιος, ὕστερον πτῶμα, γέλως.
Ὁ Τούλλιος ὁ Σέρβιος, οἰκέτης ἐστιγμένος,
Ὕστερον Ῥώμης βασιλεύς. ὢ τῶν στροφῶν τῆς τύχης.
Ἀννίβας μέγας στρατηγὸς τῆς ὅλης Καρχηδόνος
Τὸν Παῦλον καὶ Τερέντιον τοὺς στρατηγοὺς νικήσας,

---

721. De forma ἔσο vid. Buttmann. Gram. gr. ampl. p. 546. Thierschii Gram. gr. p. 320. c). Utuntur ea etiam Grammatici, ut Moschopulus ad Hesiod. Θ. et D. 639.

729. Pro μόνος scripsi μόνας.

736. Nomini Κροῖσος in cd. A. superscriptum Ῥόδος.

Ἄρδην δὲ πᾶν Ῥωμαϊκὸν τότε συγκόψας γένος,
Ἀλλὰ δραπέτης ὕστερον θνήσκει φαρμάκου πόσει.
Θεμιστοκλῆς τὸ ταύρειον αἷμα πιὼν πρὸ τούτου.
Ὁ Εὐμενὴς ἦν ἁμαξεύς, ἀλλ' ἐδοξάσθη μέγα.
Ὁ Φαληρεὺς Δημήτριος μέγας καὶ τιμητέος,
Ἀλλ' ὕστερον εἰς Κόρινθον ἀτίμως γραμματεύει.
Τί τὰ πολλά σοι προσλαλῶ, τὰ τῶν ἀρχαιοτέρων;
Τυφλοῦται Βελισάριος μετὰ τὰς στρατηγίας,
Ἔκπωμα ξύλινον κρατῶν ἐβόα τῷ μιλίῳ,
Βελισαρίῳ ὀβολὸν δότε τῷ στρατηλάτῃ
Ὃν τύχη μὲν ἐδόξασεν, ἀποτυφλοῖ δ' ὁ φθόνος.
Οὕτω τὸ πᾶν ἐκτρέπεται τοῦ βίου τῶν ἀνθρώπων,
Ἄνω καὶ κάτω σφαιρηδὸν εἱλούμενον ἀστάτως;
Κἄνπερ οὐ σχῇ μετατροπὴν ἐκ τῆς ἀστάτου τύχης,
Ἀλλ' οὖν θανάτῳ καταντᾷ πρὸς τὸ μηδὲν ὑστέρως.
Ποῦ γὰρ Ἀλέξανδρος ἐστὶν ὁ Μακεδὼν ἐκεῖνος,
Ὃς πρὶν ἐδουλαγώγησε γῆν πᾶσαν τῶν βαρβάρων;
Ποῦ δὲ Σκηπίων ὁ καλός, ποῦ Γάιος ὁ Καῖσαρ;
Ποῦ κοσμοκράτωρ Σέσωστρις, ὁ βασιλεῖς ζευγνύων,
Καὶ παρ' αὐτῶν συρόμενος, ὥσπερ ὑφ' ἵππων ἄλλοι;
Ποῦ Βαβυλὼν ὀνομαστή; ποῦ δὲ καὶ Τροία πόλις;
Ποῦ νῦν οἱ πρότερον σοφοί; ποῦ κάλλη τὰ ἀρχαῖα;
Ποῦ τοῦ Περσέως ῥώμη δέ, ποῦ τάχος Ἡρακλέος;
Ποῦ Παλαμήδους φρόνησις; ποῦ πάντα τὰ ἀρχαῖα;
Κόνις ψυχρὰ τὰ σύμπαντα καὶ τέφρα καὶ σαπρία.
Ὅθεν ἀνθρώπινα φρονεῖν χρεὼν τοὺς σωφρονοῦντας,
Καὶ μὴ γαυροῦσθαι τοῖς ψυχροῖς τοῦ βίου δοξαρίοις,
Μηδ' ἀγεννῶς ἀποβολαῖς ὀδύρεσθαι πραγμάτων,
Πάντα νομίζειν δὲ καπνόν, πᾶσι μετρίους εἶναι,
Θρηνεῖν δ' ἐπὶ τοῖς θνήσκουσι, γνωστοῖς τε καὶ τοῖς ξένοις,
Καὶ λέγειν τὸ Πινδάρειον καθ' ἑαυτοὺς συχνάκις,

---

749. Cd. A. in marg. *ἐν θήβαισιν.*

766. Pro *Βρισέως*, quod aperte est vitiosum, dedi *Περσέως.*

774. Pindar. Pyth. VIII, 135. Heyn.

Τί δ' ἄρα τίς; τί δὲ οὔ τις; σκιᾶς ἄνθρωπος ὄναρ.
Ὁ πενιχρὸς καὶ ἀφνεὸς θνήσκομεν ἅμα πάντες·
Ἀλλὰ ταυτὶ μὲν εἰπόν σοι, δεόντως ὀνειδίζων,
Καὶ παραινῶν τὰ πρέποντα, τὸν τῦφον καταστέλλων,
Ἐν λόγοις ἴσως σκυπτικοῖς, ἀλλὰ λυσιτελοῦσι.
Νῦν δὲ τοῖς ἀστεΐσμασι τὸ σκυθρωπὸν ἐλάσω.

ΤΟΥ ΑΥΤΟΥ ΙΩΑΝΝΟΥ ΤΟΥ ΤΖΕΤΖΟΥ ΕΤΕΡΑΙ ΙΣΤΟΡΙΑΙ ΚΑΙ ΛΕΞΕΙΣ ΙΣΤΟΡΙΩΔΕΙΣ ΤΗΣΔΕ ΤΗΣ ΓΡΑΦΕΙΣΗΣ ΕΠΙΣΤΟΛΗΣ.

Ἄλλων ἡμῶν ἐπιστολῶν καὶ λόγων ἱστορίας
Καὶ λέξεις καινοτέρας δὲ δῆθεν ὡς ἱστορίας
Ἄκουε πᾶς βουλόμενος εὐκρινεστάτῃ τάξει.

ΛΕΞΙΣ ΙΣΤΟΡΙΚΗ ά. ΠΕΡΙ ΕΠΙΦΥΛΛΙΔΟΣ.

Ἐπιφυλλὶς σμικρότατον βοτρύδιον ὑπάρχει
Δυνάμενον καλύπτεσθαι καὶ τῷ τυχόντι φύλλῳ.

ΙΣΤΟΡΙΑ β'. ΠΕΡΙ ΒΕΚΕΣΕΛΗΝΩΝ.

Μία τοῦ Βεκεσέληνοι οὖσα ἡ ἱστορία
Δύο εἰσὶ καὶ μάθε μοι λεπτῶς ἠκριβωμένως.
Ψαμμήτιχος ὁ βασιλεὺς ἐκεῖνος Αἰγυπτίων,
Δικαζομένων πώποτε Φρυγῶν καὶ Αἰγυπτίων
Περὶ τῆς ἀρχαιότητος, πράγματος δυστεκμάρτου,
Τίνες πρῶτοι γεγόνασιν, Αἰγύπτιοι ἢ Φρύγες,
Ἔκρινε δεξιώτατα· καὶ μάνθανε τὴν κρίσιν.
Δύο λαβὼν βρεφύλλια ἐκ γενέτης αὐτίκα,
Τὴν πᾶσαν ἐπιμέλειαν ποιήσας τὴν ἐκείνων,
Πιστοῖς σωματοφύλαξι παρέδωκε φυλάττειν,
Θηλάζειν προτρεψάμενος ἐκεῖνα τὰς μητέρας

---

784. Vid. Schol. ad Aristoph. Ran. 92. quae exscripsit Suidas s. h. v.
786. Herodot. II, 2. sqq.

788. Cd. A. in contextu ψαμήτιχος, et a recentiori manu in margine ψαμμίτιχος.

Ἀφαίνας, πάσῃ προσοχῇ, καὶ ταύτας ὑπεξάγειν,
Καὶ κλείειν δὲ τὸ οἴκημα τὸ τῶν βρεφῶν εὐθέως.
Οὕτω μὲν οὖν ἐπράττετο. μετὰ δὲ τρίτον χρόνον,
Ὡς οἱ σωματοφύλακες ἦλθον τοῦ βασιλέως,
Προτρέχει τὰ βρεφύλλια καὶ βέκος ᾔτει τούτοις.
Ὅπερ μαθὼν ὁ βασιλεύς, πᾶν συναγείρας ἔθνος,
Ἤρετο εἰ παρά τισίν ἐστί τι πρᾶγμα βέκος;
Βέκος μαθὼν τὸν ἄρτον δὲ παρὰ Φρυξὶ καλεῖσθαι,
Ἀρχαιοτέρους ἔκρινεν εἶναι τῶν πάντων Φρύγας,
Αὐτοδιδάκτως τῶν βρεφῶν φύσει φωνὴν εἰπόντων.
Τοῦτο τὸ ἥμισύ ἐστι ταύτης τῆς ἱστορίας,
Φρυγῶν καὶ Αἰγυπτίων δέ, τὸ δ᾽ ἄλλο τῶν Ἀρκάδων.
Ὅπερ ἀκούων μου τανῦν σῆς φρενὸς δέλτοις γράφου.
Φασί τινες ὡς ἔφασκον τὰ γένη τῶν Ἀρκάδων
Εἶναι πρεσβυγενέστερα πρὸς χρόνους τῆς σελήνης,
Ὅθεν ὡς δῆθεν ἄφρονας καλοῦσι προσελήνους.
Ἄλλοι δ᾽ ὡς ὄντας ὑβριστὰς καλοῦσι προσελήνους.
Τὸ γὰρ ὑβρίζειν προσελεῖν καλεῖται τοῖς Ἀρκάσιν.
Ἐγὼ τοὺς ἄνδρας τούτους δὲ λέγω τῶν προσελήνων,
Ὅτι σελήνης εὕρηκε πρῶτον τὰς περιόδους
Καὶ τὰς αὐξομειώσεις δὲ ἃς κατὰ μῆνας πάσχει,
Ἑρμῆς ὁ μέγας Ἕλλησιν, ὢν ἐκ γονῆς Ἀρκάδων,
Καὶ ὅτι πρὸ τῆς ἕνης δὲ ἀεὶ τῆς σεληναίας
Πυρὶ βαλάνους ἕψοντες καθήσθιον ἐκείνας.
Ἔχεις τοῦ Βεκεσέληνοι τὴν ὅλην ἱστορίαν,
Ἁπλῆν διπλῆν ὑπάρχουσαν, καὶ τύπῳ παροιμίας
Πρὸς ἄφρονάς τε καὶ μωροὺς εὐστόχως λεγομένην.
Ἐπεὶ δὲ νῦν σοι καὶ Ἑρμῆν μέγαν Ἑλλήνων εἶπον,
Ἵνα μὴ τὸν τρισμέγιστον καλούμενον νομίζῃς,
Ἄκουε πᾶν καὶ μάνθανε σαφῶς ἠκριβωμένως.

---

814. Scripsi *προσελεῖν* pro *προσελοῦν*, ut II, 882. Vide Passovii Lex. s. h. v.

817. Erat *αὐξιμειώσεις*, quae quidem forma non prorsus videtur repudianda.

819. In margine edit. Basil. haec annotantur: „*unam diem ante lunae coitum, sive ultimam mensis diem.*“

Ἑρμῆς μὲν ὁ Αἰγύπτιος τρισμέγιστος καλεῖται.
Ὃς συγχρονῶν Ὀσίριδι, τῷ Νῶε, Διονύσῳ,
Ἐφεῦρε σέβας τε θεοῦ καὶ τύπους τῶν γραμμάτων,
Καὶ τέχναις κατεκόσμησε καὶ σύμπασι τὸν βίον.
Μετὰ δὲ χρόνους ὁ Ἀρκὰς ἔγγιστα δισχιλίων,
Ἐφεύρηκε παρ' Ἕλλησι πολλὰ τῶν χρησιμούντων.

ΠΕΡΙ ΒΛΙΤΟΜΑΜΜΑΝΤΟΣ. γʹ.

Ἅπαντας βλιτομάμμαντας πρὶν τοὺς μωροὺς ἐκάλουν
Ἔκ τε τοῦ βλίτου, εὐτελοῦς λαχάνου πεφυκότος,
Καὶ τοῦ μαμμᾶν· τὸν ἄρτον δὲ οὕτω φασὶ τὰ βρέφη.

ΠΕΡΙ ΜΕΛΙΤΙΔΟΥ ΚΑΙ ΛΟΙΠΩΝ ΜΩΡΩΝ. δʹ.

Μωροὶ μὲν ἦσαν παλαιοὶ τοῖς ἀριθμοῖς μυρίοι,
Τρεῖς δὲ οἱ ὑπερέχοντες πάντων, ἀλλ' ἀσυγκρίτως,
Ὁ Μελιτίδης, Κόροιβος, σὺν τούτοις ὁ Μαργίτης.
Τῶν ὧν ὁ Μελιτίδης μὲν γάμοις ζυγεὶς νομίμοις,
Ὡς οὐ συνεκοιτάζετο τῇ ἑαυτοῦ συζύγῳ,
Ἀνερωτώμενός τισι, πῶς οὐχ ἑνοῦται ταύτῃ;
Μωρὸν ἔφη με οἴεσθε, ὥστε ποιῆσαι τοῦτο
Καὶ παρὰ τῆς μητρὸς αὐτῆς εἰς δίκην με συρῆναι;
Τοιοῦτος μὲν ὁ νουνεχὴς ὑπῆρχε Μελιτίδης.
Ὁ Κόροιβος ἠρίθμει δὲ διαύλους τῶν κυμάτων.
Ὡς δὲ δεινὸς ἀριθμητὴς μέχρι τριῶν ἠρίθμει,
Καὶ ἀπολύων τὸ ποσὸν ὡς ὂν πολλῆς ὁμάδος
Πάλιν ἐξ ἄλλης ἀπαρχῆς ἐξαριθμῶν πανσόφως,
Ἕν, δύο, τρία, ἔλεγε δι' ὅλης τῆς ἡμέρας.
Ὥσπερ ὁ παῖς τῶν Χαριτῶν ὁ πάνσοφος ἐκεῖνος,

---

833. Cf. Hermann. ad Aristoph. Nub. 999.

836. Vid. Suidas s. vv. *Μελιτίδης*, *Κόροιβος*, *Μαργίτης*.

838. In edit. Bas. *Κόρυβος*.

Versu 845. e cd. A. enotatum est *Κόρυβος* (οι supra).

847. Cd. A. recte ὂν pro ὧν, quod est in editione.

Τὸν ὃν διὰ ἐπήρειαν πρακτορικὴν καὶ τρόπους
Θέλοντες ἔχειν βοηθὸν ἦγον τῇ Κωνσταντίνου,
Ὡς ἀντιλέγειν διδαχθῇ πρακτόρων ἐπηρείαις.
Ὧν δὲ πανευφυέστατος χρημάτων δόσει πόσῃ,
Ἄλφα καὶ βῆτα ἔμαθε, καὶ γάμμα δὲ σὺν τούτοις.
Ὃν καὶ λαβόντες ἐν τιμῇ πάλιν οἱ συμφυλέται,
Πρὸς τὴν πατρίδα τὴν αὐτῶν ἤγαγον καὶ τὴν χώραν,
Δεινὸν ἀντισοφίστευμα πρακτορικῆς πικρίας,
Τοῦ πράκτορος δὲ λέγοντος πολλά τε καὶ ποικίλα,
Αὐτὸς ὢν μεγιστόφωνος καὶ τῶν βαρβαροφώνων,
Ἄλφα, βῆτα καὶ γάμμα τε ἀνέκραζε συχνάκις.
Οἱ βούβαλοι ἐβόων δὲ τερπόμενοι ἐκείνῳ,
Συγκόψει ὁ ἡμέτερος τοῦτον σοφοῖς ἐν λόγοις.
Ὡς οὗτος οὖν ἐγίνωσκεν ἄλφα, βῆτα καὶ γάμμα,
Οὕτως ἠρίθμει Κόροιβος ἕν, δύο τε καὶ τρία,
Καὶ πάλιν ἄλλην ἀπαρχὴν τῶν ἀριθμῶν ἐκράτει.
Ἔχεις μοι καὶ τὸν Κόροιβον. ἄκουε τὸν Μαργίτην,
Εἰς ὃν ὁ γέρων Ὅμηρος ἡρωιάμβους γράφει.
Οὗτος ὢν γέρων νουνεχής, αὐτόχρημα νοῦς, φρένες,
Ἐξανηρώτα, τίς αὐτὸν ἐγκυμονήσας βρέφος
Ἐκ τῆς γαστρὸς ἐγέννησεν, ἆρ' ὁ πατὴρ ἢ μήτηρ.

ΠΕΡΙ ΜΑΜΜΑΚΥΘΟΥ. έ.

Ταυτὸν τῷ βλιτομάμμαντι μαμμάκυθος σημαίνει,
Ἢ τοι μωρὸν συγκρύπτοντα μαμμάν τε καὶ τὸν ἄρτον·
Μωρὲ φησὶ γὰρ προφανῶς σύγκρυπτε τὸ μαμμάν σου.

ΠΕΡΙ ΑΚΚΟΥΣ. ς'.

Μωρὰ γυνή τις ἡ Ἀκκώ, ἣ κάτοπτρον κρατοῦσα
Καὶ τὴν σκιὰν τὴν ἑαυτῆς ὁρῶσα τῷ κατόπτρῳ,

---

851. *πρακτορικὴ ἐπήρεια*, vexatio exactoris tributorum.
862. *βούβαλοι*, *rustici*.
870. In cd. ut in edit. *ἐξανηρώ τίς*. Excidit syllaba *τα*. Interrogabat, quis ipsum embryonem in utero gestatum peperisset, pater an mater. Chil. VI, 597.
872. Vid. Aristoph. Ran. 190.
875. Cf. Etymol. M. s. v. *ἀκκώ*.

Ἄλλην δοκοῦσα γυναικῶν, φιλίως προσηγόρει.
Καὶ τί σοι λέγω τὰ Ἀκκοῦς; πρὶν ἡμερῶν ὀλίγων
Θεράπων τοῦ Κοτέρζη τις τοῦ παντεχνοῦ τῷ οἴκῳ
Κάτοπτρον μέγα κατιδὼν καὶ σφὴν σκιὰν ἐξαίφνης
Ὡς πρὸς αὐτὴν ἐβόησεν· εἶδες τὸν κύριόν μου;
Καὶ μέλλων πρὸς ἀπόπατον ἀποδραμεῖν ἐκεῖνος,
Τὸν τοῦ κυρίου ἐκείνη παρεῖχεν ἐπενδύτην.
Ὡς δ' οὐκ ἐδίδου λαλιὰν, κενόδοξος εἶ, ἔφη,
Ὅτι οὐδ' ἀποκρίνῃ μοι. τοῦτο δ' ἰδόντες πόσοι,
Τούτῳ μὲν εἶπον, τί ποιεῖς; ἔτι δὲ νῦν γελῶσιν.

ΠΕΡΙ ΤΟΥ ΓΡΥ. ζ'.

Τὸ γρῦ ῥύπος τοῦ ὄνυχος καὶ ἡ φωνὴ τοῦ χοίρου.
Καὶ γρύτη δὲ σκευάρια μικρὰ τῶν ὀστρακίνων,
Οἷαί τ' εἰσὶν αἵ τε μικραὶ χῶται τῶν χρυσοχόων,
Αἱ ποτιστρίδες πᾶσαί τε ὀρνέων ἀκανθίδων.
Τὸ γρῦ γοῦν τὸ σμικρότατον ἅπαν σημαίνειν θέλει.

ΠΕΡΙ ΤΗΣ ΠΕΙΡΙΘΟΟΥ ΕΤΑΙΡΕΙΑΣ ΠΡΟΣ ΘΗΣΕΑ. η'.

Πειρίθους ὁ Ἰξίονος, ὁ Λαπιθῶν κατάρχων,
Ἀνδρείᾳ καὶ νεότητι καὶ ῥώμῃ διαπρέπων,
Ὡς τοῦ Θησέως ἤκουσε τὸ θρύλλημα τῆς φήμης,
Πεῖραν αὐτοῦ τῆς ἀρετῆς χρῄζων λαβεῖν τῆς ῥώμης,
Βοῦς βοσκομένας ἤλασε Θησέως Μαραθῶνι.
Τοῦτο δ' ἀκούσας ὁ Θησεὺς, οὐκ ἐνεγκὼν εὐθέως
Τὸν ἵππον ἀναβέβηκε καὶ πρὸς αὐτὸν ἐλαύνει.
Ὡς δ' ἕτερος τὸν ἕτερον κατεῖδεν, ἐκπλαγέντες
Ἀλλήλους περιβάλλουσι, γίνονται τῶν φιλτάτων,
Τοῦ Πειριθόου λέξαντος, εἰς ἀφορμὴν φιλίας

---

878. Ante paucos dies.
879. Pro *παντεχνῇ*, quod est in editione, scripsi *παντεχνοῦ*.
883. Pro *ἑαυτῇ*, quod est in edit., scripsi *ἐκείνῃ*, scil. *σκιᾷ*.

HIST. 8.

890. *Ποτιστρίδες* i. q. *ποτίστραι* s. *πίστραι*.

Τοῦτο καὶ γνωριμότητος ποιήσασθαι μεγίστης.
Τοιούτους ὄντας γὰρ ἡμᾶς ἔδει καὶ φίλους εἶναι.
Ὑπὲρ βοῶν δ' ἐλάσεως ἣν εἴπης τιμωρίαν,
Ἕτοιμος γίνομαι λαβεῖν, εἰ μὴ φιλίας τρόπῳ
Τοῦτο νομίζεις παρ' ἐμοῦ καλῶς μεμηχανῆσθαι.
Οὕτω δὲ συνηρμόσθησαν ἐκ τοῦ τοιούτου τρόπου,
Ὡς καὶ πρὸς Ἅιδου κατελθεῖν διὰ τὴν Κόρην ἄμφω,
Ὡς ἂν ἁρπάξωσιν αὐτήν, ἐρῶντος τοῦ Θησέως
Ἅιδου κρατοῦντος Μολοσσῶν οὖσαν ὡραίαν κόρην.
Ὃς καὶ κατέσχηκεν αὐτούς, καὶ δὴ δεσμοῖ Θησέα,
Κυνὶ Κερβέρῳ δ' ἀναιρεῖ μεγίστῳ τὸν Πειρίθουν,
Ἅτε καὶ ἅρπαγα εἰδὼς τῆς θυγατρὸς ἐκεῖνον·
Τὸν δὲ Θησέα συνεργὸν ἐν φιλικῷ τῷ τρόπῳ.
Πρὸς ὅνπερ Ἅιδην Ἡρακλῆς φίλος ἐλθὼν ὑστέρως
Ἐκ τῆς εἱρκτῆς καὶ τῶν δεσμῶν ῥύεται τὸν Θησέα.
Ἔγνως τὸ ἀλληγόρημα τοῦ Ἅιδου νῦν καὶ Κόρης
Καὶ τοῦ Κερβέρου τοῦ κυνὸς ἀναγωγῆς Θησέως.
Τῆς κόρης δὲ τῆς Δήμητρος, ἣν ἥρπαξεν ὁ Ἅιδης,
Ἄλλο τὸ ἀλληγόρημα εἶπον δ' ἐν Ἡσιόδῳ.
Τὸ λέγειν δὲ καὶ τίς φησιν ἑκάστην ἱστορίαν
Τῶν δημωδῶν τε καὶ κοινῶν, εἰ μή που τῶν σπανίων,
Καὶ χάρτας ἀναλίσκει μου καὶ πλείω ποιεῖ κόπον.

ΠΕΡΙ ΑΠΟΠΕΜΨΕΩΣ ΤΗΣ ΑΝΑΧΑΡΣΙΔΟΣ, ΦΙΛΟΥ ΠΕΡΙΟΥΣΙΟΥ ΣΟΛΩΝΟΣ. θ'.

Ὁ Σκύθης ὁ Ἀνάχαρσις, εἷς τῶν σοφῶν ὑπάρχων,
Ἐν ταῖς Ἀθήναις προσελθὼν τῇ Σόλωνος οἰκίᾳ
Ἤτει φιλίας πρὸς αὐτὸν τὸν Σόλωνα ποιῆσαι.
Σόλωνος δ' ἀποπέμποντος τῷ λέγειν αὐτῷ τάδε,
Πρὸς τὴν πατρίδα τὴν σαυτοῦ ἐλθὼν σοὶ ποίει φίλους,
Ἔφησεν ὁ Ἀνάχαρσις· σὺ τοιγαροῦν, ὦ Σόλων,

---

910. *δεσμοῖ* scripsi pro *δεσμᾶ*.
920. Schol. ad O. et D. 32.
926. *φιλίας* ne mutes in *φιλίαν*. Est pluralis.
928. *σοὶ* ex marg. cd. A. recepi pro *σύ*, quod est in codicis textu.

Τὸν πόθον οἶδας τοῦ κυνὸς οἶμαι τῆς Ἠριγόνης.
Καὶ τοῦ Ξανθίππου τοῦ κυνὸς καὶ τινος δὲ Ῥωμαίου
Ἀνδρὸς μεγάλου στρατηγοῦ ὅστις πεσὼν ἐν μάχῃ
Ἔκειτο πτῶμα τοῖς κυσί, θηρσὶ καὶ τοῖς ὀρνέοις.
Σύμπας στρατὸς ἐτράπη γὰρ ὡς πρὸς φυγὴν Ῥωμαίων,
Μόνος δ᾽ ὁ κύων ὁ αὐτοῦ πιστότερος ὢν πάντων,
Πολλαῖς ἡμέραις καρτερῶν ἐφύλαττε τὸν ἄνδρα
Καὶ τὴν αἰσχύνην ἔκρυπτε τοῦ ἥρωος ἐκείνου,
Ἕως ἐλθόντες ὕστερον οἱ στρατηγοὶ Ῥωμαίων,
Ἀράμενοι κατέκρυψαν ἐν τάφοις τοῖς πατρῴοις.
Ἕτερος πάλιν ἄνθρωπος μετὰ κυνὸς ὁδεύων
Ἐν χρόνοις πάνυ πρὸ ἡμῶν ὀλίγοις ὑπηργμένοις
Ὑπὸ λῃστοῦ ἀνῄρητο· παρέμενε δ᾽ ὁ κύων,
Ἕως τις ἐκ τῆς πόλεως κάπηλος θάπτει τοῦτον.
Ὥσπερ ὁ κύων ἐνδημεῖ καπήλῳ πρὸς τὴν πόλιν.
Τῷ πανδοχείῳ δὲ συνὼν ἥμερος ἦν τοῖς πᾶσι
Πάντας ἐκμειλισσόμενος καὶ σαίνων τοὺς ἀνθρώπους.
Ὡς δ᾽ ὁ φονεὺς ὁ μιαρὸς ἦλθε τῷ πανδοχείῳ,
Ὁ κύων ὥσπερ ἄνθρωπος ἔννους θυμῷ δικαίῳ.
Ἄσπειστον ἔφερεν αὐτῷ τὴν ὑλακὴν, τὸ δῆγμα,
Ἕως ὁ πανδοχεὺς αὐτὸς καὶ πάντες οἱ παρόντες,
Θαυμάσαντες, ἀνέκρινον ἀσφαλεστάτῃ βίᾳ.
Μαθόντες τοῦτον εἶναι δὲ φονέα τοῦ ἀνθρώπου,
Ἐπάρχῳ τῷ τῆς πόλεως ἄγουσι τὸν γεννάδαν.
Καὶ σταυρωθεὶς ἀνῄρητο ὁ μιαρὸς ἐκεῖνος.
Ὀρφέα λέγειν παρεῶ τοὺς ῥυσαμένους κύνας
Καὶ κτείνοντας τὸν δράκοντα τὸν κατ᾽ αὐτοῦ χωροῦντα.
Ἐῶ τοὺς κύνας τοὺς ἐμὲ πολλάκις ῥυσαμένους
Ἀπὸ πληγῶν τε πατρικῶν καὶ συμμειρακίων μάχης,
Τοὺς συναράξαντάς ποτε μάχην Βενετιάνῳ,
Χάριν ἐμοῦ καὶ μετ᾽ αὐτοῦ πεσόντας ἐξ ὑπαίθρου.
Ἐῶ λαλεῖν τὸν ἀετὸν τὸν μείρακα θρηνοῦντα
Καὶ συγκαυθέντα μετ᾽ αὐτοῦ πυρᾷ τῇ θαυασίμῳ·
Ἐῶ ταῦτα, κατάδηλα τυγχάνοντα τοῖς πᾶσιν,
Ἐξ ὧν ἀεὶ προσβλέπομεν τοῖς παρ᾽ ἡμῖν ἀλόγοις·

Παῖς τις ἐν Πάτραις δράκοντα μικρὸν ἐωνημένος
Ἀνέθρεψεν. ὃς μέγιστος γενόμενος ἀπέδρα.
Κατασχεθέντος δέ ποτε λῃσταῖς τοῦ νεανίσκου,
Βοήσαντος, ἐξέθορε κατὰ λῃστῶν ὁ δράκων·
Οὕσπερ καὶ τρέπει πρὸς φυγήν, σώζει τὸν νεανίσκον.
Μὴ γοῦν αὐτὸς καὶ δράκοντα νικήσῃς ἀστοργίᾳ.
Καὶ τί φημι τὰ ἔμψυχα; τὰ Γηρυόνου δένδρα,
Ὑφ' Ἡρακλέος τοῦ ἀνδρὸς ἀνῃρημένου τοῦδε,
Αἵματι καταλείβεται περὶ τὸν τάφον τοῦδε.
Ἐῶ τὰς τοῦ Φαέθοντος αἰγείρους διαγράφειν
Ἠλεκτροφόρον δάκρυον Ἠριδανῷ ῥεούσας.
Ἦν πρὶν συκῆ τις παρ' ἡμῖν ἐκ τῶν ὡραιοκάρπων·
Αὕτη κλῆσιν ἐκέκτητο συκῆ τοῦ λογοθέτου·
Μόνος ἐκ ταύτης γὰρ αὐτὸς κατήσθιεν ἐκεῖνος,
Κἀγὼ βραχέα δέ τινα κλοπῇ τῇ λαθριδίῳ.
Αἴφνης θανόντος τοῦ αὐτοῦ ποτὲ τοῦ λογοθέτου,
Εὐθὺς ἐψύγη τὸ φυτὸν ἐκείνῃ τῇ ἡμέρᾳ,
Παρακρεμάσαν τρομερὰ καὶ ῥυσσηρὰ τὰ φύλλα,
Καὶ πάντες ἐθαυμάζομεν, τί τὸ συμβὰν ἀθρόως.
Πλειόνως δ' ἐθαμβήθημεν πᾶν τὸ συμβὰν μαθόντες.
Ἐῤῥάγη δὲ τῇ αὔριον ἐκ κορυφῆς εἰς ῥίζαν
Καὶ παντελῶς ἀπέφρυκτο, θαῦμα καινὸν καὶ ξένον.
Ὄμνυμι τὴν ἀλήθειαν, τὸν φωταυγῆ φωσφόρον,
Ὡς οὐδ' ἐν ἄλλοις ἔψευσμαι σπουδαίοις, οὐδ' ἐν τούτῳ.
Καὶ τί φημί σοι τὰ φυτά; Ῥόδιόν ἐστιν ὄρος,
Τὴν κλῆσιν Ἀταβύριον, χαλκᾶς πρὶν ἔχον βόας,
Αἳ μυκηθμὸν ἐξέπεμπον χωρούσης Ῥόδῳ βλάβης.
Ἰλλυριοῖς οἱ τάφοι δὲ Κάδμου καὶ Ἁρμονίας,
Κακοῦ τινὸς Ἰλλυριοῖς καὶ βλάβης γινομένης,
Ἀλλήλοις κυλινδούμενοι πάταγον συνεκρότουν,
Ὥσπερ ἐπαλγυνόμενοι ταῖς συμφοραῖς καὶ βλάβαις.
Καὶ τί σοι ταῦτα τὰ μικρὰ καὶ τὰ στενὰ διδάσκω;
Καὶ τὴν μαγνῆτιν πῶς ἐρᾷ φιλίας τοῦ σιδήρου;
Ἡ πόα δὲ χρυσόπολις τοῦ καθαροῦ χρυσίου;
Καὶ τὰ λοιπὰ δὲ τῶν λοιπῶν, ἵνα μὴ γράφω μάτην,

Τὴν πέτρινον Νιόβην τε καὶ Μέμνονος τὴν στήλην.
Ἔχεις τοιαῦτα περισσὰ γιγνόμενα συχνάκις,
Ὡς ἐν σημείοις βλέπομεν στήλας καταπιπτούσας,
Θρόνους καὶ κλίνας καὶ λοιπὰ συγκλώμενα τῷ πάθει.
Μὴ σὺ γοῦν ἀστοργότερος καὶ τούτων μοι φανείης,
Μηδὲ ψευδογαυρούμενος τοῦ βίου δοξαρίῳ,
Ἀλλ' ἔσο στέργων ἅπαντας, εὐόμιλος τοῖς πᾶσιν,
Καὶ ταπεινὸς καὶ προσηνής, ὅλος φιλίας γέμων,
Κἂν πτερωθῇς ὡς Δαίδαλος, ὡς Ἴκαρος ἐκεῖνος,
Κἂν οὐρανίας ἄντυγος δόξης χερσί σου ψαύειν.
Καὶ τί γὰρ τὸ δοξάριον τοῦ ταλαιπώρου βίου;
Κἂν γὰρ μὴ μεταπέσῃ τις ταῖς τύχαις παλιῤῥοίας,
Ἀλλ' οὖν ὁ πανδοκεὺς αὐτὰ θάνατος πάντα φθείρει,
Καὶ λήθης κρύπτει τῷ βυθῷ καὶ τῆς ἀμνημοσύνης,
Μόνας αἰὼν φυλάττει δὲ τὰς ἀρετάς, φιλίας.
Ἦν εὐτυχὴς Τιμόθεος ὁ στρατηγὸς ἐκεῖνος,
Ὑπερπλουτῶν, ὑπερτρυφῶν, πένης, πεινῶν ὑστέρως.
Βελλεροφόντης ἤρθη δὲ πρὸς οὐρανὸν πηγάσῳ,
Ὕστερον τὸ ἀλήϊον τυφλὸν εἶχε τὸν ἄνδρα.
Τύραννος Διονύσιος, γραμματιστὴς ὑστέρως.
Περσεὺς ἦν πρίν σοι βασιλεύς, αἰχμάλωτος εἶτά μοι.
Ὁ Φύτων, ὁ Ψαμήνιτος, ὁ Κροῖσος, ὁ Γελίας.
Ὑπέρπλουτος ὁ Τίμων δέ, πλὴν σκαπανεὺς ὑστέρως.
Σώφρων ὁ Αἴας, συνετός, ἀλλ' ὕστερον παράφρων.
Θερσίτης πρὶν ἀκέραιος, ὕστερον πτῶμα, γέλως.
Ὁ Τούλλιος ὁ Σέρβιος, οἰκέτης ἐστιγμένος,
Ὕστερον Ῥώμης βασιλεύς. ὢ τῶν στροφῶν τῆς τύχης.
Ἀννίβας μέγας στρατηγὸς τῆς ὅλης Καρχηδόνος
Τὸν Παῦλον καὶ Τερέντιον τοὺς στρατηγοὺς νικήσας,

---

721. De forma *ἔσο* vid. Buttmann. Gram. gr. ampl. p. 546. Thierschii Gram. gr. p. 320. c). Utuntur ea etiam Grammatici, ut Moschopulus ad Hesiod. Θ. et D. 639.

729. Pro *μόνος* scripsi *μόνας*.

736. Nomini *Κροῖσος* in cd. A. superscriptum *Ῥόδος*.

Ἄρδην δὲ πᾶν Ῥωμαϊκὸν τότε συγκόψας γένος,
Ἀλλὰ δραπέτης ὕστερον θνήσκει φαρμάκου πόσει.
Θεμιστοκλῆς τὸ ταύρειον αἷμα πιὼν πρὸ τούτου.
Ὁ Εὐμενὴς ἦν ἁμαξεύς, ἀλλ᾽ ἐδοξάσθη μέγα.
Ὁ Φαληρεὺς Δημήτριος μέγας καὶ τιμητέος,
Ἀλλ᾽ ὕστερον εἰς Κόρινθον ἀτίμως γραμματεύει.
Τί τὰ πολλά σοι προσλαλῶ, τὰ τῶν ἀρχαιοτέρων;
Τυφλοῦται Βελισάριος μετὰ τὰς στρατηγίας,
Ἔκπωμα ξύλινον κρατῶν ἐβόα τῷ μιλίῳ,
Βελισαρίῳ ὀβολὸν δότε τῷ στρατηλάτῃ
Ὃν τύχη μὲν ἐδόξασεν, ἀποτυφλοῖ δ᾽ ὁ φθόνος.
Οὕτω τὸ πᾶν ἐκτρέπεται τοῦ βίου τῶν ἀνθρώπων,
Ἄνω καὶ κάτω σφαιρηδὸν εἱλούμενον ἀστάτως,
Κἄνπερ οὐ σχῇ μετατροπὴν ἐκ τῆς ἀστάτου τύχης,
Ἀλλ᾽ οὖν θανάτῳ καταντᾷ πρὸς τὸ μηδὲν ὑστέρως.
Ποῦ γὰρ Ἀλέξανδρος ἐστιν ὁ Μακεδὼν ἐκεῖνος,
Ὃς πρὶν ἐδουλαγώγησε γῆν πᾶσαν τῶν βαρβάρων;
Ποῦ δὲ Σκηπίων ὁ καλός, ποῦ Γάϊος ὁ Καῖσαρ;
Ποῦ κοσμοκράτωρ Σέσωστρις, ὁ βασιλεῖς ζευγνύων,
Καὶ παρ᾽ αὐτῶν συρόμενος, ὥσπερ ὑφ᾽ ἵππων ἄλλοι;
Ποῦ Βαβυλὼν ὀνομαστή; ποῦ δὲ καὶ Τροία πόλις;
Ποῦ νῦν οἱ πρότερον σοφοί; ποῦ κάλλη τὰ ἀρχαῖα;
Ποῦ τοῦ Περσέως ῥώμη δέ, ποῦ τάχος Ἡρακλέος;
Ποῦ Παλαμήδους φρόνησις; ποῦ πάντα τὰ ἀρχαῖα;
Κόνις ψυχρὰ τὰ σύμπαντα καὶ τέφρα καὶ σαπρία.
Ὅθεν ἀνθρώπινα φρονεῖν χρεὼν τοὺς σωφρονοῦντας,
Καὶ μὴ γαυροῦσθαι τοῖς ψυχροῖς τοῦ βίου δοξαρίοις,
Μηδ᾽ ἀγεννῶς ἀποβολαῖς ὀδύρεσθαι πραγμάτων,
Πάντα νομίζειν δὲ καπνόν, πᾶσι μετρίους εἶναι,
Θρηνεῖν δ᾽ ἐπὶ τοῖς θνήσκουσι, γνωστοῖς τε καὶ τοῖς ξένοις,
Καὶ λέγειν τὸ Πινδάρειον καθ᾽ ἑαυτοὺς συχνάκις,

---

749. Cd. A. in marg. *ἐν θήκαισιν.*
766. Pro *Βρισέως*, quod aperte est vitiosum, dedi *Περσέως.*
774. Pindar. Pyth. VIII, 135. Heyn.

τίς; τί δὲ οὔ τις; σκιᾶς ἄνθρωπος ὄναρ·
καὶ ἀφνεὸς θνήσκομεν ἅμα πάντες·
... μὲν εἰπόν σοι, δεόντως ὀνειδίζων,
...ῶν τὰ πρέποντα, τὸν τῦφον καταστέλλων,
... ἴσως σκυπτικοῖς, ἀλλὰ λυσιτελοῦσι.
... δὲ τοῖς ἀστεΐσμασι τὸ σκυθρωπὸν ἐλάσαι.

...Υ ΑΥΤΟΥ ΙΩΑΝΝΟΥ ΤΟΥ ΤΖΕΤΖΟΥ ΕΤΕ-
... ΙΣΤΟΡΙΑΙ ΚΑΙ ΛΕΞΕΙΣ ΙΣΤΟΡΙΩΔΕΙΣ
ΤΗΣΔΕ ΤΗΣ ΓΡΑΦΕΙΣΗΣ ΕΠΙΣΤΟΛΗΣ.

...ων ἡμῶν ἐπιστολῶν καὶ λόγων ἱστορίας
καὶ λέξεις καινοτέρας δὲ δῆθεν ὡς ἱστορίας
...ουσα πᾶς βουλόμενος εὐκρινεστάτῃ τάξει.

ΛΕΞΙΣ ΙΣΤΟΡΙΚΗ ά. ΠΕΡΙ ΕΠΙΦΥΛΛΙΔΟΣ.

Ἐπιφυλλὶς σμικρότατον βοτρύδιον ὑπάρχει
δυνάμενον καλύπτεσθαι καὶ τῷ τυχόντι φύλλῳ.

ΙΣΤΟΡΙΑ β΄. ΠΕΡΙ ΒΕΚΕΣΕΛΗΝΩΝ.

Μία τοῦ Βεκεσέληνοι οὖσα ἡ ἱστορία
Δύο εἰσὶ καὶ μάθε μοι λεπτῶς ἠκριβωμένως.
Ψαμμήτιχος ὁ βασιλεὺς ἐκεῖνος Αἰγυπτίων,
Δικαζομένων πώποτε Φρυγῶν καὶ Αἰγυπτίων
Περὶ τῆς ἀρχαιότητος, πράγματος δυστεκμάρτου,
Τίνες πρῶτοι γεγόνασιν, Αἰγύπτιοι ἢ Φρύγες,
Ἔκρινε δεξιώτατα· καὶ μάνθανε τὴν κρίσιν.
Δύο λαβὼν βρεφύλλια ἐκ γενέτῆς αὐτίκα,
Τὴν πᾶσαν ἐπιμέλειαν ποιήσας τὴν ἐκείνων,
Πιστοῖς σωματοφύλαξι παρέδωκε φυλάττειν,
Θηλάζειν προτρεψάμενος ἐκεῖνα τὰς μητέρας

---

784. Vid. Schol. ad Aristoph. Ran. 92. quae exscripsit Suidas s. h. v.
786. Herodot. II, 2. sqq.

788. Cd. A. in contextu ψαμήτιχος, et a recentiori manu in margine ψαμμίτιχος.

Ἀφώνως, πάσῃ προσοχῇ, καὶ ταύτας ὑπεξάγειν,
Καὶ κλείειν δὲ τὸ οἴκημα τὸ τῶν βρεφῶν εὐθέως.
Οὕτω μὲν οὖν ἐπράττετο. μετὰ δὲ τρίτον χρόνον,
Ὡς οἱ σωματοφύλακες ἦλθον τοῦ βασιλέως,
Προτρέχει τὰ βρεφύλλια καὶ βέκος ᾔτει τούτοις.
Ὅπερ μαθὼν ὁ βασιλεύς, πᾶν συναγείρας ἔθνος,
Ἤρετο εἰ παρά τισιν ἐστί τι πρᾶγμα βέκος;
Βέκος μαθὼν τὸν ἄρτον δὲ παρὰ Φρυξὶ καλεῖσθαι,
Ἀρχαιοτέρους ἔκρινεν εἶναι τῶν πάντων Φρύγας,
Αὐτοδιδάκτως τῶν βρεφῶν φύσει φωνὴν εἰπόντων.
Τοῦτο τὸ ἥμισύ ἐστι ταύτης τῆς ἱστορίας,
Φρυγῶν καὶ Αἰγυπτίων δὲ, τὸ δ' ἄλλο τῶν Ἀρκάδων.
Ὅπερ ἀκούων μου ταννῦν σῆς φρενὸς δέλτοις γράφου.
Φασί τινες ὡς ἔφασκον τὰ γένη τῶν Ἀρκάδων
Εἶναι πρεσβυγενέστερα πρὸς χρόνους τῆς σελήνης,
Ὅθεν ὡς δῆθεν ἄφρονας καλοῦσι προσελήνους.
Ἄλλοι δ' ὡς ὄντας ὑβριστὰς καλοῦσι προσελήνους.
Τὸ γὰρ ὑβρίζειν προσελεῖν καλεῖται τοῖς Ἀρκάσιν.
Ἐγὼ τοὺς ἄνδρας τούτους δὲ λέγω τῶν προσελήνων,
Ὅτι σελήνης εὕρηκε πρῶτον τὰς περιόδους
Καὶ τὰς αὐξομειώσεις δὲ ἃς κατὰ μῆνας πάσχει,
Ἑρμῆς ὁ μέγας Ἕλλησιν, ὢν ἐκ γονῆς Ἀρκάδων,
Καὶ ὅτι πρὸ τῆς ἕνης δὲ ἀεὶ τῆς σεληναίας
Πυρὶ βαλάνους ἕψοντες καθήσθιον ἐκείνας.
Ἔχεις τοῦ Βεκκεσέληνοι τὴν ὅλην ἱστορίαν,
Ἁπλῆν διπλῆν ὑπάρχουσαν, καὶ τύπῳ παροιμίας
Πρὸς ἄφρονάς τε καὶ μωροὺς εὐστόχως λεγομένην.
Ἐπεὶ δὲ νῦν σοι καὶ Ἑρμῆν μέγαν Ἑλλήνων εἶπον,
Ἵνα μὴ τὸν τρισμέγιστον καλούμενον νομίζῃς,
Ἄκουε πᾶν καὶ μάνθανε σαφῶς ἠκριβωμένως.

---

814. Scripsi *προσελεῖν* pro *προσελοῦν*, ut II, 882. Vide Passovii Lex. s. h. v.

817. Erat *αὐξιμειώσεις*, quae quidem forma non prorsus videtur repudianda.

819. In margine edit. Basil. haec annotantur: „*unam diem ante lunae coitum, sive ultimam mensis diem.*“

Ἑρμῆς μὲν ὁ Αἰγύπτιος τρισμέγιστος καλεῖται.
Ὃς συγχρονῶν Ὀσίριδι, τῷ Νῶε, Διονύσῳ,
Ἐφεῦρε σέβας τε θεοῦ καὶ τύπους τῶν γραμμάτων,
Καὶ τέχναις κατεκόσμησε καὶ σύμπασι τὸν βίον.
Μετὰ δὲ χρόνους ὁ Ἀρκὰς ἔγγιστα δισχιλίων,
Ἐφεύρηκε παρ' Ἕλλησι πολλὰ τῶν χρησιμούντων.

ΠΕΡΙ ΒΛΙΤΟΜΑΜΜΑΝΤΟΣ. γ'.

Ἅπαντας βλιτομάμμαντας πρὶν τοὺς μωροὺς ἐκάλουν
Ἔκ τε τοῦ βλίτου, εὐτελοῦς λαχάνου πεφυκότος,
Καὶ τοῦ μαμμάν· τὸν ἄρτον δὲ οὕτω φασὶ τὰ βρέφη.

ΠΕΡΙ ΜΕΛΙΤΙΔΟΥ ΚΑΙ ΛΟΙΠΩΝ ΜΩΡΩΝ. δ'.

Μωροὶ μὲν ἦσαν παλαιοὶ τοῖς ἀριθμοῖς μυρίοι,
Τρεῖς δὲ οἱ ὑπερέχοντες πάντων, ἀλλ' ἀσυγκρίτως,
Ὁ Μελιτίδης, Κόροιβος, σὺν τούτοις ὁ Μαργίτης.
Τῶν ὧν ὁ Μελιτίδης μὲν γάμοις ζυγεὶς νομίμοις,
Ὡς οὐ συνεκοιτάζετο τῇ ἑαυτοῦ συζύγῳ,
Ἀνερωτώμενός τισι, πῶς οὐχ ἑνοῦται ταύτῃ;
Μωρὸν ἔφη με οἴεσθε, ὥστε ποιῆσαι τοῦτο
Καὶ παρὰ τῆς μητρὸς αὐτῆς εἰς δίκην με συρῆναι;
Τοιοῦτος μὲν ὁ νουνεχὴς ὑπῆρχε Μελιτίδης.
Ὁ Κόροιβος ἠρίθμει δὲ διαύλους τῶν κυμάτων.
Ὡς δὲ δεινὸς ἀριθμητὴς μέχρι τριῶν ἠρίθμει,
Καὶ ἀπολύων τὸ ποσὸν ὡς ὂν πολλῆς ὁμάδος
Πάλιν ἐξ ἄλλης ἀπαρχῆς ἐξαριθμῶν πανσόφως,
Ἕν, δύο, τρία, ἔλεγε δι' ὅλης τῆς ἡμέρας.
Ὥσπερ ὁ παῖς τῶν Χωριτῶν ὁ πάνσοφος ἐκεῖνος,

---

833. Cf. Hermann. ad Aristoph. Nub. 999.

836. Vid. Suidas s. vv. Μελιτίδης, Κόροιβος, Μαργίτης.

838. In edit. Bas. Κόρυβος.

Versu 845. e cd. A. enotatum est οι
Κόρυβος.

847. Cd. A. recte ὂν pro ὧν, quod est in editione.

Τὸν ὃν διὰ ἐπήρειαν πρακτορικὴν καὶ τρόπους
Θέλοντες ἔχειν βοηθὸν ἦγον τῇ Κωνσταντίνου,
Ὡς ἀντιλέγειν διδαχθῇ πρακτόρων ἐπηρείαις.
Ὧν δὲ πανευφυέστατος χρημάτων δόσει πόσῃ,
Ἄλφα καὶ βῆτα ἔμαθε, καὶ γάμμα δὲ σὺν τούτοις.
Ὃν καὶ λαβόντες ἐν τιμῇ πάλιν οἱ συμφυλέται,
Πρὸς τὴν πατρίδα τὴν αὐτῶν ἤγαγον καὶ τὴν χώραν,
Δεινὸν ἀντισοφίστευμα πρακτορικῆς πικρίας,
Τοῦ πράκτορος δὲ λέγοντος πολλά τε καὶ ποικίλα,
Αὐτὸς ὢν μεγιστόφωνος καὶ τῶν βαρβαροφώνων,
Ἄλφα, βῆτα καὶ γάμμα τε ἀνέκραζε συχνάκις.
Οἱ βούβαλοι ἐβόων δὲ τερπόμενοι ἐκείνῳ,
Συγκόψει ὁ ἡμέτερος τοῦτον σοφοῖς ἐν λόγοις.
Ὡς οὗτος οὖν ἐγίνωσκεν ἄλφα, βῆτα καὶ γάμμα,
Οὕτως ἠρίθμει Κόροιβος ἕν, δύο τε καὶ τρία,
Καὶ πάλιν ἄλλην ἀπαρχὴν τῶν ἀριθμῶν ἐκράτει.
Ἔχεις μοι καὶ τὸν Κόροιβον. ἄκουε τὸν Μαργίτην,
Εἰς ὃν ὁ γέρων Ὅμηρος ἡρωιάμβους γράφει.
Οὗτος ὢν γέρων νουνεχής, αὐτόχρημα νοῦς, φρένες,
Ἐξανηρώτα, τίς αὐτὸν ἐγκυμονήσας βρέφος
Ἐκ τῆς γαστρὸς ἐγέννησεν, ἆρ' ὁ πατὴρ ἢ μήτηρ.

ΠΕΡΙ ΜΑΜΜΑΚΥΘΟΥ. ε.

Ταυτὸν τῷ βλιτομάμμαντι μαμμάκυθος σημαίνει,
Ἢ τοι μωρὸν συγκρύπτοντα μαμμάν τε καὶ τὸν ἄρτον·
Μωρὲ φησὶ γὰρ προφανῶς σύγκρυπτε τὸ μαμμάν σου.

ΠΕΡΙ ΑΚΚΟΥΣ. ς'.

Μωρὰ γυνή τις ἡ Ἀκκώ, ἣ κάτοπτρον κρατοῦσα
Καὶ τὴν σκιὰν τὴν ἑαυτῆς ὁρῶσα τῷ κατόπτρῳ,

---

851. *πρακτορικὴ ἐπήρεια*, vexatio exactoris tributorum.
862. *βούβαλοι*, *rustici*.
870. In cd. ut in edit. ἐξανηρῶ τὶς. Excidit syllaba τα. Interrogabat, quis ipsum embryonem in utero gestatum peperisset, pater an mater. Chil. VI, 597.
872. Vid. Aristoph. Ran. 190.
875. Cf. Etymol. M. s. v. ἀκκώ.

Ἄλλην δοκοῦσα γυναικῶν, φιλίως προσηγόρει.
Καὶ τί σοι λέγω τὰ Ἀκκοῦς; πρὶν ἡμερῶν ὀλίγων
Θεράπων τοῦ Κοτέρζη τις τοῦ παντεχνοῦ τῷ οἴκῳ
Κάτοπτρον μέγα κατιδὼν καὶ σφὴν σκιὰν ἐξαίφνης
Ὡς πρὸς αὐτὴν ἐβόησεν· εἶδες τὸν κύριόν μου;
Καὶ μέλλων πρὸς ἀπόπατον ἀποδραμεῖν ἐκεῖνος,
Τὸν τοῦ κυρίου ἐκείνῃ παρεῖχεν ἐπενδύτην.
Ὡς δ' οὐκ ἐδίδου λαλιὰν, κενόδοξος εἶ, ἔφη,
Ὅτι οὐδ' ἀποκρίνῃ μοι. τοῦτο δ' ἰδόντες πόσοι,
Τούτῳ μὲν εἶπον, τί ποιεῖς; ἔτι δὲ νῦν γελῶσιν.

ΠΕΡΙ ΤΟΥ ΓΡΥ. ζ'.

Τὸ γρῦ ῥύπος τοῦ ὄνυχος καὶ ἡ φωνὴ τοῦ χοίρου.
Καὶ γρύτη δὲ σκευάρια μικρὰ τῶν ὀστρακίνων,
Οἷαί τ' εἰσὶν αἵ τε μικραὶ χῶται τῶν χρυσοχόων,
Αἱ ποτιστρίδες πᾶσαί τε ὀρνέων ἀκανθίδων.
Τὸ γρῦ γοῦν τὸ σμικρότατον ἅπαν σημαίνειν θέλει.

ΠΕΡΙ ΤΗΣ ΠΕΙΡΙΘΟΟΥ ΕΤΑΙΡΕΙΑΣ ΠΡΟΣ ΘΗΣΕΑ. η'.

Πειρίθους ὁ Ἰξίονος, ὁ Λαπιθῶν κατάρχων,
Ἀνδρείᾳ καὶ νεότητι καὶ ῥώμῃ διαπρέπων,
Ὡς τοῦ Θησέως ἤκουσε τὸ θρύλλημα τῆς φήμης,
Πεῖραν αὐτοῦ τῆς ἀρετῆς χρῄζων λαβεῖν τῆς ῥώμης,
Βοῦς βοσκομένας ἤλασε Θησέως Μαραθῶνι.
Τοῦτο δ' ἀκούσας ὁ Θησεὺς, οὐκ ἐνεγκὼν εὐθέως
Τὸν ἵππον ἀναβέβηκε καὶ πρὸς αὐτὸν ἐλαύνει.
Ὡς δ' ἕτερος τὸν ἕτερον κατεῖδεν, ἐκπλαγέντες
Ἀλλήλους περιβάλλουσι, γίνονται τῶν φιλτάτων,
Τοῦ Πειριθόου λέξαντος, εἰς ἀφορμὴν φιλίας

---

878. Ante paucos dies.
879. Pro *παντεχνῇ*, quod est in editione, scripsi *παντεχνοῦ*.
683. Pro *ἑαυτῇ*, quod est in edit., scripsi *ἐκείνῃ*, scil. *σκιᾷ*.

HIST. 8.

890. *Ποτιστρίδες* i. q. *ποτίστραι* s. *πίστραι*.

Τοῦτο καὶ γνωριμότητος ποιήσασθαι μεγίστης.
Τοιούτους ὄντας γὰρ ἡμᾶς ἔδει καὶ φίλους εἶναι.
Ὑπὲρ βοῶν δ' ἐλάσεως ἣν εἴπῃς τιμωρίαν,
Ἕτοιμος γίνομαι λαβεῖν, εἰ μὴ φιλίας τρόπῳ
Τοῦτο νομίζεις παρ' ἐμοῦ καλῶς μεμηχανῆσθαι.
Οὕτω δὲ συνηρμόσθησαν ἐκ τοῦ τοιούτου τρόπου,
Ὡς καὶ πρὸς Ἅιδου κατελθεῖν διὰ τὴν Κόρην ἄμφω,
Ὡς ἂν ἁρπάξωσιν αὐτήν, ἐρῶντος τοῦ Θησέως
Ἅιδου κρατοῦντος Μολοσσῶν οὖσαν ὡραίαν κόρην.
Ὃς καὶ κατέσχηκεν αὐτούς, καὶ δὴ δεσμοῖ Θησέα,
Κυνὶ Κερβέρῳ δ' ἀναιρεῖ μεγίστῳ τὸν Πειρίθουν,
Ἅτε καὶ ἅρπαγα εἰδὼς τῆς θυγατρὸς ἐκεῖνον·
Τὸν δὲ Θησέα συνεργὸν ἐν φιλικῷ τῷ τρόπῳ.
Πρὸς ὅνπερ Ἅιδην Ἡρακλῆς φίλος ἐλθὼν ὑστέρως
Ἐκ τῆς εἱρκτῆς καὶ τῶν δεσμῶν ῥύεται τὸν Θησέα.
Ἔγνως τὸ ἀλληγόρημα τοῦ Ἅιδου νῦν καὶ Κόρης
Καὶ τοῦ Κερβέρου τοῦ κυνὸς ἀναγωγῆς Θησέως.
Τῆς κόρης δὲ τῆς Δήμητρος, ἣν ἥρπαξεν ὁ Ἅιδης,
Ἄλλο τὸ ἀλληγόρημα εἶπον δ' ἐν Ἡσιόδῳ.
Τὸ λέγειν δὲ καὶ τίς φησιν ἑκάστην ἱστορίαν
Τῶν δημωδῶν τε καὶ κοινῶν, εἰ μή που τῶν σπανίων,
Καὶ χάρτας ἀναλίσκει μου καὶ πλείω ποιεῖ κόπον.

ΠΕΡΙ ΑΠΟΠΕΜΨΕΩΣ ΤΗΣ ΑΝΑΧΑΡΣΙΔΟΣ, ΦΙΛΟΥ ΠΕΡΙΟΥΣΙΟΥ ΣΟΛΩΝΟΣ. θ'.

Ὁ Σκύθης ὁ Ἀνάχαρσις, εἷς τῶν σοφῶν ὑπάρχων,
Ἐν ταῖς Ἀθήναις προσελθὼν τῇ Σόλωνος οἰκίᾳ
Ἤιτει φιλίας πρὸς αὐτὸν τὸν Σόλωνα ποιῆσαι.
Σόλωνος δ' ἀποπέμποντος τῷ λέγειν αὐτῷ τάδε,
Πρὸς τὴν πατρίδα τὴν σαυτοῦ ἐλθὼν σοὶ ποίει φίλους,
Ἔφησεν ὁ Ἀνάχαρσις· σὺ τοιγαροῦν, ὦ Σόλων,

---

910. *δεσμοῖ* scripsi pro *δεσμᾶ*.
920. Schol. ad O. et D. 32.
926. *φιλίας* ne mutes in *φιλίαν*. Est pluralis.
928. *σοὶ* ex marg. cd. A. recepi pro *σύ*, quod est in codicis textu.

Ὢν ἐν πατρίδι τῇ σαυτοῦ, ποίει φιλίας πρός με.
Σόλων θαυμάσας δὲ λοιπὸν γίνεται τούτῳ φίλος.
Τοῖς παραλλήλοις Πλούταρχος γράφει τὴν ἱστορίαν.

ΠΕΡΙ ΚΥΜΑΙΟΥ ΟΝΟΥ. ια΄.

Ἐν Κύμῃ ὄνος γεγονὼς μέγας ὑπὲρ τοὺς ὄνους,
Λέοντος δέρος ἐνδυθεὶς φόβον ἐποίει μέγαν.
Ὡς δ' ἡ φωνὴ τὸν δείλαιον ἔδειξε πᾶσιν ὄνον,
Ἄγεται συγκοπτόμενος ῥοπάλοις τε καὶ ξύλοις
Ὡς πρὸς δουλείαν πρέπουσαν ὄνοις λεοντιῶσιν.
Ὥσπερ που γράφει τὴν γαλῆν ὁ Αἴσωπος ἐν μύθοις,
Μεταπεσεῖν εἰς γύναιον τῇ πρὸς θεοὺς αἰτήσει.
Τῇ νυμφικῇ παστάδι δὲ νύμφην ἐγκαθημένην
Τὴν φύσιν δεῖξαι τὴν αὐτῆς γαλῆς, οὐ γυναικός δέ.
Μυὸς φανέντος γὰρ ἐκεῖ, λιποῦσα τὴν παστάδα,
Ὅλη τε τοῦ θηρεύματος ἐκείνου γενομένη,
Ἔδειξε πᾶσιν ἑαυτὴν γαλῆν, ἀλλ' οὐ γυναῖκα.
Καὶ ὥσπερ πάλιν δὲ φησί· πίθηκον ναυαγίῳ
Ἰδών τις ἀπολλύμενον, ἄνθρωπον δόξας εἶναι,
Τὴν χεῖρα δοὺς ἐξέσωσε κυμάτων θαλασσίων.
Ὡς δ' ἐρωτήσας, πόθεν εἶ; ἤκουσεν Ἀθηναῖον,
Καὶ πάλιν ἤρετο αὐτὸν εἰ Πειραιᾶ γινώσκει;
(Οὗτος λιμὴν δὲ Ἀττικὸς ὁ Πειραιεὺς ὑπάρχει)
Ὁ πίθηκος εἰρήκει δὲ τοῦτον καλῶς εἰδέναι
Καὶ τούτου τέκνα σύμπαντα, σύζυγον καὶ τοὺς φίλους·
Ἀγανακτήσας ὤθισε μᾶλλον αὐτὸν πνιγῆναι.

---

932. Vid. Plutarch. Solon. c. 5.

Deest historia decima.

HIST. 11.

933. Aesopi fab. 141. ed. C. F. Ch. Sch. p. 62.

938. Aesopi fab. p. 23.

945. Aesopi fab. 242. p. 100. Heusing. p. 49. sq.

946. ἄνθρωπον pro ἄλλον ex margine cd. A. recepi. Illud nomen metrum requirit.

949. Heusing. habet ἐρωτᾷ pro ἤρετο, Schneider ἐπανήρετο. Heusinger item γινώσκει pro optativo. Indicativum recepi.

953. ὤθισε pro ὤθησε praebet cd. A.

Οὕτω κἂν λόγοις τοῖς αὑτοῦ Λουκιανός που γράφει·
Τίς τῶν ἐν δόξῃ πίθηκον λαμπραῖς στολαῖς ἀνθρώπων
Κοσμῶν ἐποίει τοὺς πολλοὺς ὡς ἄνθρωπον λανθάνειν.
Τίς δὲ ἀστεῖος θεατὴς κάρυα ῥίψας μέσον
Πίθηκον καὶ οὐκ ἄνθρωπον ἐξήλεγξεν ἐκεῖνον,
Τὰ κάρυα συλλέγοντα τῷ σχίσαι τοὺς χιτῶνας.

ΠΕΡΙ ΤΟΥ ΠΑΡΙΔΟΣ ΛΑΘΡΑΙΟΥ ΤΟΞΕΥΜΑΤΟΣ. ιβʹ.

Ὁ Πάρις ὁ Ἀλέξανδρος τοῖς ἔπεσιν Ὁμήρου
Φέρεται κρύφιος ἑστὼς ἐν τῷ τοῦ Ἴλου τάφῳ
(Ὁ Ἶλος οὗτος δὲ υἱὸς εἷς τοῦ Τρωὸς ὑπῆρχε)
Τὸν Διομήδην εἰς ταρσὸν τὸν τοῦ ποδὸς τοξεῦσαι,
Ἀλλ' οὐχὶ κατὰ πρόσωπον, ὥσπερ ἀνὴρ γενναῖος.

ΠΕΡΙ ΡΗΣΟΥ ΚΑΤΑ ΕΥΡΙΠΙΔΗΝ. ιγʹ.

Τὸν Ῥῆσον Ῥήσῳ δράματι ὁ Εὐριπίδης φέρει
Περὶ Ἑλλήνων στρατηγῶν μαθεῖν ἀνερευνῶντα,
Τίς τούτων πρῶτος, δεύτερος καὶ τρίτος πρὸς ἀνδρείας·
Περὶ τῶν Ὀδυσσέως δὲ δόλων ἠκροαμένον,
Ἀποφαυλίσαντα εἰπεῖν ἅπερ τοῖς στίχοις λέγει·
„Οὐδεὶς ἀνὴρ εὔψυχος ἀξιοῖ λάθρα
Κτεῖναι τὸν ἐχθρόν, ἀλλ' ἰὼν κατὰ στόμα.“

ΠΕΡΙ ΤΟΥ, ΟΥ ΓΑΡ ΕΓΩΝ ΕΡΡΙΓΑ ΜΑΧΗΝ ΟΥΔΕ ΚΤΥΠΟΝ ΙΠΠΩΝ. ιδʹ.

Ὁ Ὅμηρος τὸν Ἕκτορα τῇ ἦτα ῥαψῳδίᾳ
Μέλλοντα μονομάχιον τῷ Αἴαντι συνάπτειν,
Ὡς περισσὰ καὶ κομπηρὰ ὁ Αἴας ἦν στωμύλλων,
Φέρει πρὸς τοῦτον λέγοντα· „παῖ Τελαμῶνος Αἶαν,

---

954. Pro οὕτω in margine ταῦτα. Cf. Lucian. Apolog. pro merc. cond. §. 5.

HIST. 12.

960. Iliad. XI, 369.

HIST. 13.

970. Euripid. Rhes. v. 506. sq. Matth.

HIST. 14.

972. Iliad. VII, 235. sqq.

„Μῆτι μου, ἠΰτε παιδὸς ἀφαυροῦ, πειρήτιζε,
„Ἠὲ γυναικός, ἣ οὐκ οἶδε πολεμήϊα ἔργα.
„Αὐτὰρ ἐγὼν εὖ οἶδα μάχας τ' ἀνδροκτασίας τε."
Καὶ καθεξῆς τὸν Ἕκτορα λέγοντα φέρει ταῦτα,
Μέχρι τοῦ, „οὐ γὰρ ἐῤῥιγα μάχην, οὐ κτύπον ἵππων."
Καὶ ἔτι δὲ περαίτερον· ἀλλὰ παυστέον ἤδη.

ΠΕΡΙ ΤΟΥ, ΟΥ ΓΑΡ ΔΟΚΕΙΝ ΑΡΙΣΤΟΣ ΑΛΛ' ΕΙΝΑΙ ΘΕΛΩ. ιέ.

Ὁ παῖς τοῦ Εὐφορίωνος ὁ τραγικὸς Αἰσχύλος,
Ἐν δράματι, ὃ λέγεται ἑπτὰ οἱ ἐπὶ Θήβαις,
Ἐτεοκλέα τὸν Θηβῶν εἰσφέρει βασιλέα
Περὶ Ἀργείων στρατηγῶν ἑπτὰ διερωτῶντα·
Τίς ποίᾳ πύλῃ τῶν Θηβῶν τὴν μάχην συγκροτήσει;
Καὶ λέγει τις ἐξάγγελος τὰς κλήσεις τῶν Ἀργείων,
Ἑκάστῳ τῶν Ἀργείων δὲ Θηβαῖον ἀντιτάττει,
Λέγων ἑκάστῳ τῶν αὐτοῦ τοὺς πρέποντας ἐπαίνων,
Ὡς ὁ μὲν ἀντιτάξεται τῷ δεῖνι τῶν Ἀργείων,
Καὶ συμβαλών, ὥς μοι δοκεῖ, μάχην οὐκ ἀπαλεύσει,
Ἀλλὰ φανεῖται δόκιμος κατὰ τῶν ἐναντίων·
Ἄλλῳ δὲ πάλιν ἀπ' αὐτῶν φησὶν ὡς ἔστι τούτῳ
Νοῦς μὲν ἀκόμπαστος, χεὶρ δ' ὁρᾷ τὸ δράσιμον.
Οὐ γὰρ δοκεῖν ἄριστος, ἀλλ' εἶναι θέλει.

ΠΕΡΙ ΑΧΙΛΛΕΩΣ ΤΟΥ ΕΝ ΤΩι ΛΥΚΟΜΗΔΟΥΣ ΠΑΡΘΕΝΩΝΙ. ιϛ'.

Πλάττουσιν οἱ νεώτεροι τῶν ποιητῶν τοῦ γένους,
Ὧν εἷς ὁ Τρυφιόδωρος, Λυκόφρων τε καὶ ἄλλοι,
Ὡς ὅτι Θέτις ἐκ χρησμῶν γνοῦσα καὶ μαντευμάτων
Τὸν Ἀχιλλέα, τὸν αὐτῆς ἠγαπημένον παῖδα,
Βραχύχρονον ἐσόμενον, εἰ πλεύσοι κατὰ Τρώων,

---

980. Iliad. XVII, 175. HIST. 15.
991. ἀπαλεύσει dedi pro ἀπηλεύσει.
993. Sept. adv. Theb. v. 550. Blomf. Plutarch. Vit. Aristid. c. 3.

CHILIAS V.

Τῷ Λυκομήδους ἔκρυπτε στείλασα παρθενῶνι,
Ἐνδεδυμένον, ὥς φασιν, ἐσθῆτα γυναικείαν.
Ὁ καὶ Λυκόφρων οὑτωσὶ τῇ Ἀλεξάνδρᾳ λέγει,
„Καὶ θῆλυν ἀμφὶ σῶμα τλήσεται πέπλον,
„Δύναι, παρ' ἱστοῖς κερκίδος ψαύσας κρότων.
Ταῦτα μὲν οἱ νεώτεροι περὶ τοῦ Ἀχιλλέως,
Ἐγὼ δὲ ἠλληγόρησα τῇ βίβλῳ τῆς Αὐγούστης.

ΠΕΡΙ ΤΗΣ ΚΡΑΥΓΗΣ ΤΡΩΩΝ ΚΑΙ ΤΗΣ ΕΛΛΗΝΩΝ ΣΙΓΗΣ. ιζ'.

Τῆς Ἰλιάδος Ὅμηρος τῇ γάμμα ῥαψῳδίᾳ,
Αἰνῶν τὸ πρὸς παράταξιν εὔτακτον τῶν Ἑλλήνων,
Τὸ Τρώων ἀκατάστατον ἔμπαλιν δὲ φαυλίζων,
Οὕτω κατ' ἔπος προσφωνεῖ τῷ μέτρῳ τῷ ἡρῴῳ·
„Τρῶες μὲν κλαγγῇ τ' ἐνοπῇ τ' ἴσαν, ὄρνιθες ὥς.
Περὶ Ἑλλήνων δὲ φησὶ τοῖς προσωτέρω λόγοις·
„Οἳ δ' ἄρ ἴσαν σιγῇ μένεα πνείοντες Ἀχαιοί,
„Ἐν θυμῷ μεμαῶτες ἀλεξέμεν ἀλλήλοισι.
Καὶ ὅσα ἄλλα δὲ φησὶν ἐν τούτῳ τῷ χωρίῳ.

ΠΕΡΙ ΤΟΥ, ΑΛΛΑ Σ' ΕΓΩΓΕ ΑΝΑΧΩΡΗΣΑΝΤΑ ΚΕΛΕΥΩ ΕΣ ΠΛΗΘΥΝ ΙΕΝΑΙ. ιή.

Τῷ Υ Ὁμήρου γράμματι ὁ Ἀχιλλεὺς Αἰνείᾳ
Ταῦτά φησι τὰ ῥήματα διὰ αἰτίαν τήνδε·
Ἐξῆλθεν ὁ Αἰνείας μὲν τούτῳ μονομαχήσων·
Ὁ δὲ πρὸς τοῦτον ἕτερα πολλὰ μὲν εἶπεν ἔπη,
Καὶ εἰ φονεύσας με δοκεῖς γέρας λαβεῖν Πριάμῳ,
Ἐμὲ μὲν οὐ φονεύσειας, ἴσθι καλῶς, Αἰνεία·
Ἀναχωρεῖν ἐς πλῆθος δὲ λέγω, μὴ μάχεσθαί μοι.

HIST. 16.

3. Lycophr. 277. sq. ibique scholia. Intelligit Tzetzes *Allegorias Homericas* ad Irenen Augustam, Manuelis Comneni coniugem, filiam Berengarii, comitis Sulsbacensis in regno Teutonicorum tunc potentissimi. Vid. Fabric. bibl. gr. Vol. XI. ed. Harl. p. 215.

HIST. 18.

17. Iliad. XX, 196.

Οὔπω ἐντετυχήκατε ἀνδρὶ τῶν μελαμπύγων.
Οὗτοί ποτε καθεύδοντι τῷ Ἡρακλεῖ ἐκ κόπου
Ἐλθόντες λάθρα τὴν αὐτοῦ πήραν ἐξανηρεύνων.
Ὃς ἄμφω τούτους κατασχὼν καὶ τῶν ποδῶν δεσμήσας,
Ἀπὸ τοῦ ὤμου τε αὐτοῦ κρεμάσας ἀμφοτέρους,
Τὸν μὲν μερῶν τῶν ἔμπροσθεν, τὸν δ' ἐκ τῶν ὀπισθίων,
Εἴχετο οὕτω τῆς ὁδοῦ καὶ τῆς αὐτοῦ πορείας.
Οὗτοι δὲ ἀντιπρόσωποι κρεμάμενοι ἀλλήλοις,
Ἄνευ ἀναξυρίδος δὲ ὄντος τοῦ Ἡρακλέος,
Ἰδόντες τούτου τὰς πυγὰς καὶ τὴν αἰδῶ σὺν ταύταις,
Δασείας καὶ μελάντριχας καὶ τῆς μητρὸς μνησθέντες,
Πρὸς γέλων ἐκινήθησαν, γέλων πολὺν καὶ μέγαν.
Ὅπερ μαθὼν ὁ Ἡρακλῆς ἀφῆκεν ἐλευθέρους.
Ἡ παροιμία πάνδημος μυρίοις λελεγμένη.
Τίς δ' ὁ χρησάμενός φησι τῇ ἱστορίᾳ πλάτει,
Ἀπὸ τοῦ πλήθους τῶν πολλῶν ἱστορικῶν, οὐκ οἶδα.
Χρᾶται καὶ ὁ Λυκόφρων δὲ αὐτῇ ἐξ ἐναντίου,
Τῷ λέγειν τὸν Ἀλέξανδρον πύγαργον τῶν ἀνανδρῶν.
Καὶ Θεολόγος μέμνηται καὶ ἄλλοι δὲ μυρίοι.

ΠΕΡΙ ΤΟΥ ΚΑΚΟΥ. κά.

Οὗτος ὁ Κάκος ἦν λῃστής, κλέπτης τῶν εὐμηχάνων,
Ἐν τόποις ὅπου νῦν ἐστὶν ἡ πρεσβυτέρα Ῥώμη.
Ὡς δ' Ἡρακλῆς διέβαινε βουσὶ σὺν Γηρυόνου,
Οὗτος πολλοὺς ἐκ τῶν βοῶν λάθρα συλήσας τῶνδε
Σπηλαίῳ εἰσεβίβαζεν αὐτοῦ ἐξοπισθίως,
Ὥστε τινὰ προσβλέποντα τότε βοῶν τὰ ἴχνη
Νομίζειν μᾶλλον ἐξελθεῖν ἐκ τοῦ σπηλαίου βόας,
Ἢ εἰσελθεῖν ὡς πρὸς αὐτό. γνοὺς Ἡρακλῆς δὲ μόλις
Τοὺς βόας μὲν ἀφείλετο, τὸν Κάκον δ' ἐκεῖ κτείνει.
Δίων καὶ Διονύσιος γράφουσι τὰ τοῦ Κάκου,
Ἄλλοι πολλοί τε συγγραφεῖς, γράφοντες τὰ τῆς Ῥώμης.

---

90. ἄνευ initio versus addidi, item δέ. In cd. A. ut in edit. Bas. est ἀναναξύριδος.
97. Vid. Tzetz. ad Lycophr. 91. ibique Mülleri not. 2).

HIST. 21.

109. Dionys. I, 5. Adde Virgil. Aen. VIII, 185. sqq.

ΠΕΡΙ ΑΣΒΟΛΟΥ ΤΟΥ ΚΕΝΤΑΥΡΟΥ. κβ'.

Ὁ Ἡρακλῆς τῷ Εὐρυσθεῖ δωδεκετῶς λατρεύων
Πλὴν τῶν παρέργων ἐκτελεῖ καὶ δώδεκα τοὺς ἄθλους·
Τῶν ὥνπερ ἄθλων πάρεργον ἓν καὶ τὸ τοῦ Ἀσβόλου.
Ἄκουε γοῦν καὶ μάνθανε λεπτῶς τὴν ἱστορίαν.
Μετὰ τὸν ἆθλον Ἡρακλῆς ἐλάφου χρυσοκέρου
Ξενοδοχεῖται παρ' αὐτοῦ τοῦ Φόλου τοῦ Κενταύρου,
Ἀφ' οὗ τὴν κλῆσιν ἔσχηκεν τὸ ὄρος ἡ Φολόη.
Οὗτος ὁ Φόλος Ἡρακλεῖ τῷ μέλλειν δοῦναι πόσιν,
Ἤνοιξε πίθον τὸν κοινὸν τοῦ οἴνου τῶν Κενταύρων.
Διαδραμούσης δὲ ὀδμῆς εὐθέως τῆς τοῦ οἴνου,
Ὁ Ἄσβολος τοὺς σύμπαντας Κενταύρους συγκαλέσας
Ἔπεισε μάχην συγκροτεῖν τῷ Ἡρακλεῖ τῷ τότε.
Ἄκων δὲ καὶ τὸν Χείρωνα, γόνατι τοξευθέντα·
Περαιωθὲν τὸ βέλος γὰρ βραχίονα Ἐλάτου
Καὶ τούτου πίπτει γόνατι καὶ τοῦτον ἀποφθείρει.
Οὕτω τοὺς πλείους Ἡρακλῆς ἀπέκτεινε τοξεύων.
Ἄσβολον δ' ὡς πρωταίτιον τῆς συῤῥαγῆς τῆς μάχης
Ἀνασταυρώσας, ἔγραψεν ἐπίγραμμα πρεπῶδες
Αὐτὸς αὐτοῦ ὁ Ἡρακλῆς. πάνσοφος γὰρ ὑπῆρχε,
Σὺν ἀστρολόγῳ ποιητής, φιλόσοφος καὶ μάγος,
Καὶ ἰατρὸς καὶ ἕτερα ὅσα Ὀρφεὺς καὶ ἄλλοι
Γράφοντές μοι δεικνύουσιν οἷος ὑπῆρχεν οὗτος.
Κεῖται δὲ τὸ ἐπίγραμμα ἐν τῷ ἐπιστολίῳ.
„Ἄσβολος οὔτε θεῶν τρομέων ὄπιν οὔτ' ἀνθρώπων,
„Ὑψικόμοιο κρεμαστὸς ἀπ' εὐλιπέος κατὰ πεύκης
„Ἄγκειται μέγα δεῖπνον ἀμετροβίοις κοράκεσσιν.

HIST. 22.

111. Scripsi δωδεκετῶς pro δωδεκατῶς.

113. Cf. Hesiod. Scut. 185. Apollod. II, 5. 4.

126. Pro γόνατα cd. A. praebet γόνατι. Cf. Heyn. obss. crit. ad Apollod. p. 169. et schol. ad Lycophr. v. 670.

130. Cd. A. αὐτοῦ pro αὑτοῦ.

137. ἄγκειται pro σύγκειται est e cd. A., in cuius margine positum σύγ. Idem epigramma extat in exeges. in Iliada, p. 24. ubi ὀξυκόμοιο.

ΠΕΡΙ ΤΟΥ ΔΙΟΝΥΣΙΟΥ ΣΤΙΧΟΥ ΤΟΥ, ΑΥΤΟΙΣ ΓΑΡ ΕΜΠΑΙΖΟΥΣΙΝ ΟΙ ΜΩΡΟΙ ΒΡΟΤΩΝ. κγ'.

Οὗτος ὁ Διονύσιος, υἱὸς ὢν Ἑρμοκράτους,
Τύραννος ἦν τῶν Σικελῶν, ᾧ τρὶς ἐπράθη Πλάτων,
Ὡς μέν τινες γεγράφασι τῶν φιλοψευδολόγων,
Ὅτι ἐρωτηθείς ποτε παρὰ Διονυσίου,
Τίς ὕλης πάσης τοῦ χαλκοῦ ὁ ἄριστος ὑπάρχει·
Ἀποκριθεὶς ὡς πρὸς αὐτὸν εἶπεν, ὁ ἐν Ἀθήναις
Στήλας Ἀριστογείτονος πλάσας καὶ Ἁρμοδίου.
Οὗτοι δ' ἀνεστηλώθησαν, ὄντες τυραννοκτόνοι·
Ἀνεῖλον γὰρ τὸν Ἵππαρχον, υἱὸν τοῦ Πεισιστράτου.
Ψευδὴς αἰτία πράσεως Πλάτωνος αὕτη μία·
Ἄλλη δευτέρα δὲ ψευδὴς οὐχ ἧττον οὖσα ταύτης
Λέγει τὸν Διονύσιον ἐν συγγραφαῖς τῶν λόγων
Ἡττώμενον τῷ Πλάτωνι τοῦτον ἀπεμπολῆσαι.
Ὅτι καὶ αὕτη δὲ ψευδής, ἄκουε νῦν τοῦ Τζέτζου.
Τότε καὶ ὁ Κυθήριος Φιλόξενος ὑπῆρχεν,
Ὁ διθυράμβων ποιητής. ὃς ἦν ὁποῖος μάθε,
Καὶ πόσων δὲ τῶν πράσεων ἐπάξιός μοι νόει.
Ἀλλὰ καὶ ἀπρεπέστατα τοσαῦτα εἰργασμένος
Οὐκ ἐπωλήθη πώποτε παρὰ Διονυσίου.
Ἅπαξ δὲ δικαιότατα ἐστάλη λατομίαις,
Καὶ πάλιν τοῦτον ἐν βραχεῖ ἐξήγαγεν ἐκεῖνος.
Ἐστάλη δ' εἰς τὸ μέταλλον τότε τῆς λατομίας,
Ὅτι ὁ Διονύσιος ποιήσας τραγῳδίαν
Ἐν ταῖς Ἀθήναις μέλλουσαν λαμπρῶς ἀναγνωσθῆναι,
Δέδωκε Διονύσιος αὐτὴν τῷ Φιλοξένῳ,
Τήρησον, ὦ Φιλόξενε, εἰπών, τὴν τραγῳδίαν.
Εἴ τι δὲ φαῦλον, χίασον, σκοπῶν ἠκριβωμένως.

HIST. 23.

139. De Platonis venditione vid. Plut. Vit. Dion. 5. Diog. Laert. III, 18. sqq. Plut. de tranq. an. §. 12. Tom. X. p. 18. Interpr. ad Cornel. Dion. c. 2.

141. De Antiphonte Tragico hoc narratur. Cf. Plutarch. de discr. am. et adul. c. 27. ibique Wyttenb. Plut. Vit. X orat. T. XII. p. 223.

152. Cf. Diod. Sic. XV, 6. 7.

164. Pro *ἠκριβωμένος*.

Ὁ δ᾽ ἀπ᾽ ἀρχῆς εἰς τελευτὴν χιοῖ τὴν τραγῳδίαν.
Πόσων οὖν ἦν ἐπάξιος πράσεων οὗτος τότε;
Ἀλλ᾽ ὅμως Διονύσιος ἅπαξ εἰς λατομίας
Αὐτὸν βαλὼν ἐξήνεγκε ἀκαριαίῳ χρόνῳ.
Καὶ πῶς ὁ ἄλλους ἑαυτοῦ δοκῶν τῶν σοφωτέρων
Καὶ τούτοις δοὺς συγγράμματα τὰ ἑαυτοῦ ὀρθῶσαι,
Παροινηθείς τε ὑπ᾽ αὐτῶν, μὴ πεπρακὼς δὲ τούτους,
Τὸν Πλάτωνα ἠμπόλησε ταῖς συγγραφαῖς νικῶντα;
Οὐκ ἔστι τοῦτο ἀληθές, τοῦτο τῶν ψευδεστάτων.
Κατασχεθεὶς δ᾽ ἐπίβουλος αὐτοῦ τῆς βασιλείας
(Ἀνεψιὸν γὰρ Δίωνα ὄντα Διονυσίου
Ἐν λόγοις ἐπεῤῥώννυε λαβεῖν τὴν σκηπτουχίαν·)
Ἐπράθη τρὶς οὐχὶ κτανθεὶς ὁ τρίσοφος ὁ Πλάτων.
Οὗτος ὁ Διονύσιος πολλὰς μὲν τραγῳδίας
Ἐν ταῖς Ἀθήναις ἀναγνούς, δεύτερος, τρίτος ἦλθεν.
Εἰς λύτρα δὲ τοῦ Ἕκτορος καλούμενόν τι δρᾶμα,
Ἀναγνωσθὲν ἐνίκησεν πάντας ἐν ταῖς Ἀθήναις.
Ἐν δὲ τῷ κατὰ Πλάτωνος δράματι γεγραμμένῳ,
Πλέον κωμικωτέρῳ μὲν ἢ τραγῳδίας ὄντι,
Δοκῶ τὸν στίχον ἔλεξεν, ὃς τῇ ἀρχῇ ἐγράφη·
„Αὐτοῖς γὰρ ἐμπαίζουσιν οἱ μωροὶ βροτῶν.
Τῆς πρώτης νῦν ἐπιστολῆς ἔχεις τὰς ἱστορίας,
Εἰκοσιτρεῖς εἰς ἀριθμὸν τὰς πάσας ὑπηργμένας.
Νῦν δὲ δεκάδας γράφοντες ἐπιστολῶν τὸ πρῶτον,
Εἶτ᾽ οὖν ὁπόσας κρίνοιμεν αὐτῶν γραφῆναι δέον,
Ἔπειτα διαγράφοιμεν τὰς τούτων ἱστορίας.
Καὶ δὴ μετὰ τὴν πρώτην μὲν ἐπιστολὴν γραπτέον
Τὸ κείμενον δευτέρας τε, τῆς τρίτης καὶ τῶν ἄλλων.

---

170. Vestigia cd. A. deducunt ad *ὀρθῶσαι* vel *ὀρθοῦσθαι*. Illud pro corrupto *ὀρθοῦναι* adscivi.

180. Dionysium tyrannum, poetam, memorat G. I. Vossius de poetis graecis, p. 42.

188. Locus corruptus, in quo nihil auxilii e cd. A. oblatum est. Pro optativo certe scribendum erit *κρίνωμεν* et *διαγράφωμεν*, *nunc autem decades epistolarum primum scribentes, vel quotcunque earum scribi oportere iudicaverimus, tum harum epistolarum historias perscribamus.*

Αἱ δὲ μὲν ἱστορίαι πεντηκόσιαι πισύρων ἄνευ,
Εἴκοσι δ' ἦσαν ὄπισθεν πρὸ τῶνδε, ἰδὲ τρεῖς ἄλλαι,
Γίνονται πεντηκόσιαι δέκα, σὺν δ' αὖ ἐννέα.
Ἄλλαι δ' αὖ ἑκατὸν καὶ τεσσαράκοντα μία τε
Πρώτην τάξιν ἔχουσιν ἐνὶ προθύροισι βίβλοιο·
Λοιπὸν ὁμὰς τελέει τῆσδ' ἱστοριῶν βίβλοιο
Ἓξ ἑκατοντάδες, ἓξ δεκάδες, πλέον οὔτι δὲ τῶνδε.
Ἃς δέ τινες σύλησαν ἀνακτορέων ἀπὸ δόμων,
Τῶνδε τόποι κενεοί. ταύτας γράφε δ' εἴ που ἐφεύρῃς.

Ἱστορίαι ἐξ ἀρχῆς αὐτῆς τῆς δευτέρας ἐπιστολῆς, μέχρι τέλους τῶν ἑκατὸν ἑπτὰ ἐπιστολῶν.

ΠΕΡΙ ΤΟΥ ΑΤΛΑΝΤΟΣ, ΙΣΤΟΡΙΑ ΠΡΩΤΗ.

Ἄτλας ὁ Λίβυς, ὥς φασι παῖδες τῶν Αἰγυπτίων,
Καὶ μᾶλλον ὅσοι πείθονται Σώφιδι χρονογράφῳ,
Ἐν χρόνοις ἦν Ὀσίριδος, τοῦ Διονύσου, Νῶε,
Ὅτ' ἦν Ἑρμῆς τρισμέγιστος, ὃς εὑρετὴς γραμμάτων,
Ἑρμῆς, ὁμοῦ καὶ Προμηθεὺς καὶ Ἡρακλῆς, Τυφῶν τε,

---

193. sqq. Plerique horum versuum usque ad v. 201. scripti sunt numeris hexametri, quibus tamen adversantur vss. 193. 194. 195. Intelligitur autem ex hoc loco, quanta huius operis pars perierit. De eo Fabricius in bibl. gr. Vol. XI. p. 242. Harl. haec disserit: „Historiae digestae per *πίνακας* sive tabulas tres, ita ut primus *πίναξ* historiis CXLI constans desinat in Chiliad IV. versu 466. In illis enarrantur, quorum fecit Tzetza mentionem in prima epistola ad Ioannem Lachanam (quae tota IV, 467 — 780. subiungitur), usque ad versum 715. Ceteras enim historias a militibus surreptas esse notatur ante VI, 600. *αἱ δὲ λοιπαὶ μετ' αὐτὴν ἠφανίσθησαν τοῖς στρατιώταις.* Secundus *πίναξ*, quem *τὸν πάνυ σμικρότατον* appellat XIII, 149. absolvitur historiis XXIII, a Chiliad. IV, 781. ad V, 192. Tertius *πίναξ* historias habet CCCCXCVI, et ad finem usque operis porrigitur.“ Eodem loco a Fabricio memoratur, quum debeant esse historiae sexcentae et sexaginta, extare tantum sexcentas, et sexaginta periisse iam ipsius fortassis Tzetzae aetate surreptas. In margine item editionis Basil. notatum est, hic desiderari multas historias.

193. In marg. cd. A. *ἄτερ* positum.

200. Fabricius scripsit *δώμων.* Hac medicina in Tzetza non opus est.

HIST. 1.

202. Apollod. I, 2. s. 3. Heyn. obss. p. 271. Schol. ad Lycophr. v. 879. — In marg. cd. A. scriptum *Λίβυος ἢ Λίβυς*, in textu, ut in edit. Basil. *λίβους.*

Οἱ σύμπαντες Αἰγύπτιοι· Ἕλληνας νῦν μὴ νόει·
Ὡς δ' Ὄσιρις Διόνυσος, ὅστις ἐστὶ καὶ Νῶε,
Εἰς Νύσσαν, γῆν εὐδαίμονος τελοῦσαν Ἀραβίας,
Εἴτ' οὖν εἰς Νύσαν τὴν Ἰνδῶν, εὗρεν ἀμπελουργίαν,
Εἴτ' οὖν εἰς ὄρος τὸ Λουβάρ, ὅπερ τῆς Ἀρμενίας,
Ὥσπερ Χαλδαῖοι λέγουσι καὶ Ἀρμενίων γένη,
Ὡς οὖν ἐφεῦρεν ὁ ἀνὴρ οὗτος ἀμπελουργίαν,
Φυτουργικήν, γεωργικήν, τῶν χρειωδῶν μυρία,
Χρῄζων ταῦτα τοῖς σύμπασιν ἀνθρώποις ἐκδιδάσκειν,
Τῇ γυναικὶ μὲν σύμβουλον ἀφεὶς Ἑρμῆν τὸν μέγαν,
Τὸν εὑρετὴν τῶν χρειωδῶν σχεδὸν τοῦ βίου πάντων,
Τὸν δ' Ἡρακλέα στρατηγὸν γῆς ὅλης Αἰγυπτίας,
Τὸν Προμηθέα τούτῳ δὲ δοὺς ὑποστρατηγέτην,
Τὸν Βούσιριν φυλάττειν δὲ λιπὼν τὰ τῆς Φοινίκης,
Τὸν δ' αὖ Ἀνταῖον στρατηγὸν ποιήσας τῆς Λιβύης,
Μετὰ στρατοῦ καὶ γεωργῶν καὶ γυναικῶν χορείας,
Αὐτὸς ἐχώρει δι' Ἰνδῶν ὡς πρὸς Ἀσίας τόπους,
Καὶ πανταχοῦ τοὺς σύμπαντας εὐεργετῶν ταῖς τέχναις.
Τούτου Τυφὼν δὲ ἀδελφός, ἀποδημοῦντος τούτου,
Τὸν Βούσιριν Ἀνταῖόν τε καὶ χεῖρα στρατευμάτων
Λαβὼν συμπαρασπίζοντας καὶ χρήματα μυρία,
Νεωτερίζει, τύραννον κράτος λαβεῖν ἐλπίσας·
Ἀλλὰ πτοούμενος Ἑρμῆν, καίγε τὸν Ἡρακλέα,
Ἀποδραμὼν τὴν Αἴγυπτον ἦλθεν εἰς Κιλικίαν
Σὺν ἀποστάταις περιττοῖς καὶ πόροις δὲ χρημάτων.
Σὺν οἷς τῷ αὐτοκράτορι Ὀσίριδι συναίμῳ
Συῤῥάξας ὑποστρέφοντι μάχην ἡττᾶ τὸ πρῶτον.
Ἑρμοῦ δὲ λόγοις πείσαντος σοφοῖς τοὺς ἀποστάτας
Ὡς πρὸς τὸν αὐτοκράτορα πάλιν μεταστραφῆναι,
Ὁ Ὄσιρις Διόνυσος ἥττησε τὸν Τυφῶνα.
Ὅθεν μῦθον ἀνέπλυσαν τὰ μυθογράφων γένη,
Ὡς ὁ Τυφὼν τὰ τοῦ Διὸς ἔκοψε πρώην νεῦρα·

---

207. *μή μοι* pro *νῦν μὴ* videtur vera lectio esse.
209. *Εἰς Νύσσαν, in Nyssa.*
223. *δι'* pro *δ'* cd. A.
238. In cd. A. *τυφῶν*, ut in editione.

Κωρύκῳ ταῦτα κρύψας δὲ λαμπρῶς ἡττᾷ τὸν Δία.
Ἑρμοῦ δὲ ταῦτα κλέψαντος καὶ τῷ Διῒ δὲ δόντος,
Ὁ Ζεὺς τὸ κράτος ἔσχηκε, καθεῖλε τὸν Τυφῶνα.
Ταῦτα πραγματικώτερα ὡς ῥήτωρ ἀλληγορεῖ,
Δία μὲν νῦν τὸν Ὄσιριν καλῶν τὸν βασιλέα,
(Τοὺς βασιλεῖς γὰρ ἅπαντας Δίας οἱ πρὶν ἐκάλουν)
Τυφῶνα τούτου δ' ἀδελφόν· ταύτην γὰρ εἶχε κλῆσιν.
Στοιχειακῶς δὲ γίνωσκε πάλιν καλεῖν μοι Δία
Τὴν κοσμικὴν διάρθρωσιν, τὸν εὔκρατον ἀέρα,
Τὸν ὃν μετὰ διάρθρωσιν παῖδές φασιν Ἑλλήνων
Τυφῶσι, καταιγίσι τε καὶ πνεύμασι βιαίοις
Πρὸς τὴν ἀρχαίαν σύγχυσιν αὖθις μετατραπῆναι,
Εἰ μή, πυρὸς Ἑρμαϊκοῦ καὶ σελασμάτων τότε
Ῥαγέντων, καθηράντων τε συγχύσεις τὰς ἐνύγρους,
Ἔμπαλιν ἡ διάρθρωσις ἀπείληφε τὸ κράτος.
Τοῖς ψυχικοῖς δ' ἀλληγορῶν τὸν Δία νοῦν μοι νόει·
Τὸν νοῦν ὁ τῦφος γὰρ νικᾷ, κόπτων τὰ νεῦρα τούτου,
Ἕως Ἑρμῆς ὁ λογισμὸς πάλιν τὸν νοῦν τονώσῃ.

Ἀλλ' ἕνεκά μοι τοῦ σαφοῦς χρεὼν ἀναλαμβάνειν,
Ὁ Ὄσιρις Διόνυσος ὡς ἥττησε Τυφῶνα,
Αὐτόν τε καὶ τοὺς προὔχοντας ἐκείνου καθειργνύει,
Πρὸς Βούσιριν τὸν Φοίνικα καὶ Λίβυν δὲ Ἀνταῖον,
Τὸν Ἡρακλέα πέπομφε, μάχην αὐτοῖς συνάψαι.
Ὃς Ἡρακλῆς εἰς Λίβυσσαν στρατεύσας τότε χώραν
Αὐτὸν ἑξηκοντάπηχυν ἀπέκτεινεν Ἀνταῖον,
Ἔξω τῆς χώρας πόλεμον συνάψας τῆς ἐκείνου·
Τῇ ἐμπειρίᾳ τόπων γὰρ ἐκεῖ νικᾶν οὐκ εἶχεν.
Ὅθεν τὴν γῆν ἀνέπλασαν μητέρα τοῦ Ἀνταίου
Λέγοντες τοῦτον πίπτοντα ταύτην ἐγείρειν μάχαις.
Τοῦτον οὖν εἰς τὴν Λίβυσσαν ὁ Ἡρακλῆς ἀνεῖλεν.
Ἐκεῖσε καὶ ἐξ Ἄτλαντος τὴν ἀστρικὴν ἐγνώκει,

---

246. *Μοι* post *γίνωσκε* in cd. A. non legitur.

252. In cd. A. *καθηραντων*. Vide de duplici huius verbi forma Lobeck. ad Phryn. p. 25. sq.

Τότε τὴν τέχνην τοῦ ἀνδρὸς τὴν ἀστρικὴν εὑρόντος.
Ὅθεν τὸν Ἄτλαντά φασι τὸν οὐρανὸν βαστάζειν,
Ἐκ τούτου δὲ τὸν Ἡρακλῆν τοῦτον λαβόντα φέρειν.
Ταῦτα περὶ τοῦ Ἄτλαντος λόγοι τῶν Αἰγυπτίων·
Ἑλλήνων λόγοι ταῦτα δὲ ζήλῳ τῶν Αἰγυπτίων
Τῷ Ἡρακλεῖ προσάπτουσιν υἱῷ τῷ τῆς Ἀλκμήνης,
Καὶ Ἄτλαντι τῷ Λίβυϊ, Ἰαπετοῦ μὲν γόνῳ,
Πρὸ δὲ τεσσάρων γενεῶν Πέλοπος ὑπηργμένῳ,
Ὅς Ἄτλας ὕστερός ἐστιν Ἄτλαντος τοῦ προτέρου,
Καθ' Ἑβραίων ἱστορίαν καὶ κατὰ τὴν Ἑλλήνων
Πρόσωπα τεσσαράκοντα σύν γε μιᾷ ἑξάδι,
Καὶ Ἡρακλέος ἄνωθεν ὡς δύο τρία γένη.
Ὅμως τὸ ἀστρατέχνημα τοῦ Ἄτλαντος τοῦ πάλαι,
Ἐξ οὕπερ ὁ Αἰγύπτιος ὁ Ἡρακλῆς ἐγνώκει,
Τῷ Ἡρακλεῖ προσάπτουσιν υἱῷ τῷ τῆς Ἀλκμήνης,
Καὶ Ἄτλαντι τῷ Λίβυϊ, πλὴν ᾧπερ προειρήκειν.
Ὁ Ὅμηρος ὁ πάνσοφος, φυσικωτέρως γράφων,
Σφαίρας κίνησιν οὐρανοῦ τὴν πρὸς τοὺς δύο πόλους
Ἄτλαντα κατωνόμασε. Θεῖ γὰρ ἀστάτῳ δρόμῳ.
Ἀφ' ἧς πρώτης κινήσεως, τοῦ οὐρανοῦ δὲ λέγω,
Ὁ Ἡρακλῆς ὁ ἥλιος τὴν σφαῖραν περιτρέχει.

ΠΑΡΟΙΜΙΑ ΠΕΡΙ ΤΟΥ ΕΥΠΡΟΣΩΠΟΝ ΠΡΟΦΑΣΙΝ ΚΑΙ ΠΕΡΙ ΤΟΥ ΕΙΣ ΚΕΝΟΝ ΨΑΛΛΑΞΑΙ. β'.

Λέξεις μοι ταῦτα γίνωσκε τῶν τροπικῶν τυγχάνειν.
Εἰσὶ δὲ τῆς σεμνότητος, εἰσὶ καὶ τοῦ μεγέθους,
Ὑψοῦσαι τὴν εὐτέλειαν τῷ τροπικῷ τοῦ λόγου.
Ἀντὶ γὰρ τοῦ εὐάφορμον νῦν ἀφορμὴν εἰρήκειν
Μὴ πρόφασιν εὐπρόσωπόν τινά μοι προφασίσῃ·
Κἂν λέξιν μίαν τροπικὴν σκληρὰν ὁ ῥήτωρ λέγῃ,

279. Cd. A. ut edit. Basil. ἱστορίαν adscivi e vers. latina. κατὰ ἑβραίων τε ρὰν καὶ etc.

Ὡς ἔστι τὸ εὐπρόσωπον. οὐκ ἔχει γὰρ δευτέραν,
Λέξιν ἑτέραν τροπικὴν λεαίνουσαν τὴν πρώτην,
Ὡς εἴπερ ἂν εἰρήκειμεν τοιουτοτρόπῳ τρόπῳ·
Μὴ πρόφασιν εὐπρόσωπόν τινά μοι προφασίσῃ,
Μορφαζομένην χρώμασι τῆς πιθανολογίας.
Μὴ δ' εἰς κενὸν ψαλάξαντας, χέαντας μάτην λόγους·
Καὶ αὕτη λέξις τροπικὴ καὶ τῶν σκληρῶν ὁμοίως,
Οὐχ ὥσπερ ἐν Λυκόφρονι τὴν λέανσιν λαβοῦσα
Ἐξ ἑπομένων λέξεων, νευρᾶς καὶ τοῦ φορμίζειν.
Ταῦτα δὲ πρὸς Ἀλέξανδρον σεμνῶς Λυκόφρων εἶπεν,
Ἐκ τῶν κρουούντων τὰς νευρὰς κιθαρῳδῶν ἀμίσθως,
Χρῄζων εἰπεῖν, οὐ συναφθῆς λοιπὸν δὲ τῇ Ἑλένῃ.

ΠΕΡΙ ΤΟΥ ΑΥΤΟΜΑΤΟΣ ΤΕ ΚΑΙ ΚΑΤΑ ΤΟΝ ΟΜΗΡΙΚΟΝ ΜΕΝΕΛΑΟΝ. γ'.

Ὅμηρός που τοῖς τέλεσι τῆς βῆτα ῥαψῳδίας
Φέρει τὸν Ἀγαμέμνονα τοὺς ἀριστεῖς καλοῦντα
Πρὸς τὴν θυσίαν τοῦ Διὸς οὕτω τὰ ἔπη λέγων·
„Κίκλησκε δὲ γέροντας ἀριστῆας Παναχαιῶν,
„Νέστορα μὲν πρώτιστα καὶ Ἰδομενῆα ἄνακτα,
„Αὐτὰρ ἔπειτ' Αἴαντε δύω καὶ Τυδέος υἱόν·
„Ἕκτον δ' αὖ τ' Ὀδυσῆα, Διῒ μῆτιν ἀτάλαντον.
„Αὐτόματος δέ οἱ ἦλθε βοὴν ἀγαθὸς Μενέλαος."

ΠΕΡΙ ΤΗΣ ΒΡΑΧΕΙΑΣ ΑΝΤΙΓΡΑΦΗΣ ΚΑΤΑ ΛΑΚΩΝΑΣ. δ'.

Καὶ τοῦ βραχυλογήματος πρῶτος τοῦ τῶν Λακώνων
Ὅμηρος παραδίδωσι σαφῆ διδασκαλίαν.

---

304. Lycophr. 139. τοιγὰρ ψαλάξεις εἰς κενὸν νευρᾶς κτύπον. ibique schol. Add. Erasmi Adag. p. 422.

HIST. 3.
In inscriptione pro mutilato ἄλη τε, quod plane idem exstat etiam in cd. A., dedi αὐτόματός τε, ex loco Homerico.

309. Iliad. II, 404. sqq.

Περὶ τοῦ Μενελάου γὰρ Λάκωνος ὑπηργμένου
Τάδε φησὶ κατὰ ῥητὸν τῇ γάμμα ῥαψῳδίᾳ.
„Ἀλλ' ὅτε δὴ μύθους καὶ μήδεα πᾶσιν ὕφαινον,
„Ἤτοι μὲν Μενέλαος ἐπιτροχάδην ἀγόρευε,
„Παῦρα μέν, ἀλλὰ μάλα λιγέως, ἐπεὶ οὐ πολύμυθος,
„Οὐδ' ἀφαμαρτοεπής, εἰ καὶ γένει ὕστερος ἦεν."
Περὶ βραχυλογήματος οὕτω τοῦ τῶν Λακώνων
Ὅμηρος πρῶτος ἔλεξεν, ἱστορικῶν τε λόγοι
Γράφουσιν, ὡς οἱ Λάκωνές ποτε μακρηγορούντων
Ἐπιστολὰς δεξάμενοι, ταδὶ περιεχούσας·
Ὡς εἰ ταδὶ μὴ γένοιτο καὶ μὴ συμβαίη τάδε,
Στράτευμα συγκροτήσουσιν, ὁπλίσουσι τὴν ἵππον,
Καὶ τὸν Εὐρώταν ποταμὸν ῥᾶστα περαιωθέντες
Καὶ λόχους συμπυκνώσαντες καὶ προσβαλόντες μάχην
Ἐν ἀκαρεῖ χειρώσονται Σπάρτην καὶ τὴν Λακώνων
Καὶ θήσουσι μηλόβοτον, καὶ ἄλλα δὲ μυρία,
Ὅσα ἂν ἐξ ἐπιστολαῖς μεγάλαις οὐκ ἐγράφη·
Αἴκα μόνον ἀντέγραψαν οἱ Λάκωνες ἐν χάρτῃ·
Καὶ κατασημηνάμενοι ἀντέπεμψαν ἐκείνοις.

ΠΕΡΙ ΤΟΥ ΣΟΛΩΝΟΣ, ΟΤΙ ΤΟΝ ΚΡΟΙΣΟΝ ΚΑΙ ΙΔΩΝ ΟΥ ΤΕΘΑΥΜΑΚΕΝ. ε΄.

Τὰ Σόλωνος πρὶν εἴπομεν τῇ ἱστορίᾳ Κροίσου,
Ἥτις πασῶν ἱστοριῶν ἐνταῦθα κεῖται πρώτη.
Ὅμως καὶ πάλιν λέξωμεν ὅσα χρεὼν συντόμως
Καὶ ὅσα οὐκ ἐγράφησαν ὡς μὴ χρειώδη τότε.
Πρῶτος ὁ Δράκων γέγονεν Ἀθήναις νομογράφος,
Ἅπασι τοῖς ἐγκλήμασι μέχρι κλοπῆς λαχάνων
Φόνον τὸ ἐπιτίμιον ἀνηλεῶς ὁρίζων.
Δι' ὃν Δημάδης ὕστερον ῥήτωρ ὡραῖος κάλλει,

HIST. 4.

320. Iliad. III, 212. sqq.

336. Plutarch. de garrulitate c. 17. Tom. X. p. 118. Hutt.

HIST. 5.

340. λέξωμεν cd. A.

345. Plut. Solon. c. 17. Aelian. V. H. VIII, 10.

Πολὺ δὲ ὡραιότερος ἀποφθεγμάτων λόγοις
Μεγάλως εὐδοκίμησεν ἐν κριτηρίῳ λέξας·
Ἔοικεν, ἄνδρες δικασταί, Δράκων ὁ νομογράφος
Οὐ μέλανι, δι' αἵματος τοὺς νόμους δὲ χαράξαι.
Μετὰ ἑπτὰ τοῦ Δράκοντος ἔτη δὲ νομογράφου
Γίνεται Σόλων Ἀττικοῖς δεύτερος νομογράφος.
Θαλῆς δ' ὢν φίλος Σόλωνος, ἄζυγα ζῶν τὸν βίον,
Πολλάκι συνωθεῖτο μὲν τῷ Σόλωνι πρὸς γάμον.
Οὐδὲν δ' ἀντέλεγεν αὐτῷ· γράφοντι δὲ τοὺς νόμους,
Ἀκαίροις, εἶπε, πράγμασι μάτην πονεῖς, ὦ Σόλων.
Τοῖς ἀραχνίοις νήμασιν ὅμοιοι γὰρ οἱ νόμοι,
Τὰ μὲν μικρὰ καὶ ἀσθενῆ δυνάμενοι κατέχειν,
Ἐκ τῶν δυνατωτέρων δὲ ῥηγνύμενοι ῥαδίως.
Οὕτω λοιπὸν δεκαετῶς ὁ Σόλων ἐκδημῆσαι
Ἠθέλησεν, ἀπόπειραν ποιούμενος τῶν νόμων,
Εἰ τηρηθῶσιν Ἀττικοῖς, εἴτε συμπατηθῶσιν.
Καὶ δὴ καὶ παρὰ Μίλητον ἦλθε Θαλοῦ πατρίδα.
Θαλῆς δὲ συνεσκεύασέν τινα τῶν Μιλησίων,
Ὡς ἐκ τῶν Ἀθηνῶν αὐτοῖς ἄρτι πεφοιτηκέναι.
Σόλων δ' ἠρώτησεν αὐτόν, μήτι καινὸν συνέβη;
Ὁ δ' εἶπε, νέος τέθνηκε πατρὸς ἀποδημοῦντος,
Ἡ πόλις δὲ προέπεμπεν πᾶσα τὸν νεανίαν·
Τοῦ Σόλωνος εἰπόντος δέ, μὴ Σόλωνος ἦν ἄρα;
Κἀκείνου, ναί, εἰπόντος δέ, Σόλωνος παῖς ὁ νέος.
Ὁ Σόλων ἄρχεται θρηνεῖν καὶ κατασπᾷν τὴν κόμην.
Θαλῆς δ' εὐθὺς σὺν γέλωτι περιβαλὼν τὸν ἄνδρα,
Ἐμὸν φησὶ τὸ σκεύασμα, παύου δακρύων, Σόλων.
Ταῦτά με ἀπεστέρησε γάμου καὶ παιδουργίας,
Ἃ νῦν καὶ σὲ τὸν Σόλωνα τὸν μέγαν καταβάλλει.
Ταῦτα μὲν παρὰ Μίλητον τῷ Σόλωνι συνέβη·
Ὡς δ' ἤδη παραγέγονε περὶ Λυδῶν τὰς Σάρδεις,

---

356. Soloni hoc dictum tribuit Diog. Laert. I, 58. (p. 39. Casaub.)

363. Plut. Solon. c. 6.

Κροῖσος αὐτὸν μετάπεμπτον, ὡς πρὶν εἶπον, ποιεῖται,
Τοὺς θησαυρούς τε δείκνυσιν, ἐφ᾽ οἷς αὐχῶν ἐθάῤῥει,
Ὅπως αὐτῷ μακαρισθῇ δόξας τῶν εὐδαιμόνων.
Ὡς τοῦτον δ᾽ ἐμακάρισεν οὐδόλως μὲν ὁ Σόλων,
Τοὺς οὓς δὲ προειρήκειμεν ἀτίμως παρωράθη.
Ἰδὼν δὲ τοῦτον Αἴσωπος οὕτω παῤῥαθέντα,
Σόλων, εἶπε, φιλόσοφε, τοῖς βασιλεῦσι πρέπει
Ἢ τὰ θυμήρη λέγειν μὲν ἢ μηδὲ ὅλως λέγειν.
Ὁ δέ φησιν, ὦ Αἴσωπε, τοῖς βασιλεῦσι πρέπει
Ἢ λέγειν τὴν ἀλήθειαν ἢ μηδὲ ὅλως λέγειν.

ΠΕΡΙ ΟΡΝΕΟΥ ΤΟΥ ΦΟΙΝΙΚΟΣ. ϛ'.

Ὁ φοίνιξ ὄρνεόν ἐστιν ἓν ἐν παντὶ τῷ βίῳ,
Ταῶνος ὡραιότερος καὶ μείζων ἀσυγκρίτως,
Καὶ χρυσοπρεπωδέστερος, θαῦμα καινὸν καὶ ξένον.
Τὰς καλιὰς δὲ πήγνυται δένδροις ἐξ ἀρωμάτων.
Ἐπὰν δὲ θάνῃ, γίνεται σκώληξ ἐκ τούτου πάλιν,
Ὃς φοίνιξ πάλιν γίνεται, θαλπόμενος ἡλίῳ.
Ἐπιδημεῖ δ᾽ εἰς Αἴγυπτον, θνήσκει δ᾽ Αἰθιοπίᾳ,
Ὡς ὁ Φιλόστρατός φησιν Ἀπολλωνίου βίῳ.
Ὡς δ᾽ ὁ Αἰγύπτιος ἱερογραμματεὺς Χαιρήμων
Ἔδειξεν ἐν διδάγμασι τῶν ἱερῶν γραμμάτων,
Ὁ φοίνιξ ἓξ τοῖς ἔτεσι καὶ ἑπτακισχιλίοις
Θνήσκει, παραγενόμενος ἐν τόποις τοῖς Αἰγύπτου.

ΠΕΡΙ ΜΟΝΟΚΕΡΩΤΟΣ. ζ'.

Θηρίον ὁ μονόκερως τυγχάνει φιλευῶδες,
Ἓν κέρας μόνον ἄνωθι φέρων τοῦ σφοῦ μετώπου.
Οὕτω δ᾽ αὐτὸν θηρεύουσιν ἐντέχνως εὐωδίαις·

---

382. Plut. Solon. c. 28.

HIST. 6.

394. Vit. Apollon. 3, 49. Herodot. 2, 73. Veterum loca indicat Harduin. ad Plin. H. N. X. init. Adde Gatack. advers. I. p. 180.

395. De Chaeremone vid. Vossius de histor. gr. p. 164. sq.

HIST. 7.

401. E cd. A. accessit δ'.

Νεόν τινα τῶν κρατερῶν στολίσαντες ὡς κόρην,
Πρώταις ἀρωματίζουσιν ὀσμαῖς εὐωδεστάταις,
Ἱστῶσί τε κατέναντι τῶν τόπων τοῦ θηρίου.
Αὐτοὶ δὲ κατακρύπτονται· τῆς δὲ πνοῆς πνευσάσης,
Εὐθὺς ὁ θὴρ ἐπέρχεται θελγόμενος ἐκεῖσε.
Ὁ δὲ χειρίσι γυναικὸς πλατείαις ὑπηργμέναις,
Ὅλαις οὔσαις ἀρώματος, ἐκεῖνον συγκαλύπτει.
Οὕτω δὲ τοῖς ἀρώμασιν ἐκείνου θελγομένου,
Δραμόντες πάντες οἱ λοιποὶ τῶν θηρευτῶν, οὓς ἔφην,
Τὸ κέρας τούτου κόπτουσιν, ἀντιπαθὲς φαρμάκοις.
Τὸν θῆρα δὲ ψιλόκερων ἐῶσιν ἀποτρέχειν.

ΠΕΡΙ ΙΚΤΙΝΩΝ ΟΡΝΕΩΝ ΑΙ ΚΑΙ ΑΡΠΑΙ ΚΑΛΟΥΝΤΑΙ. η.

Ἰκτῖνος ὄρνις τίς ἐστιν, ὅνπερ καλοῦμεν ἅρπην,
Ἁρπάζων τὰ νεόττια τὰ τῶν ἀλεκτορίδων.
Τοῦτον ἐκ μόνων λέγουσιν ὑδάτων τῶν ὀμβρίων
Πίνειν, καιρῷ καταφορᾶς μόνῳ τῶν ὀμβρημάτων.
Ἰκτίδος καὶ ἰκτίνου δὲ διαφορὰν νῦν μάθε,
Μηδ' ἓν ἄμφω μοι νόμιζε, καθὼς πολλοὶ δοκοῦσιν,
Ἀλλὰ ἰκτῖνον ὄρνιν μὲν οἷον πρὶν ἔφην νόει,
Ἰκτὶς δὲ ζῶον καὶ αὐτὸ τελεῖ ὀρνιθοφάγον,
Χερσαῖον καὶ τετράπουν μὲν ὃ αἴλουρον καλοῦμεν.

ΠΕΡΙ ΤΟΥ, ΟΤΙ ΛΕΟΝΤΕΣ ΝΕΚΡΩΝ ΣΩΜΑΤΩΝ ΟΥΧ ΑΠΤΟΝΤΑΙ. θ'.

Λέοντες θῆρες, σὺν αὐτοῖς καὶ ἀετῶν τὸ γένος,
Νεκρῶν οὐκ ἀπογεύονται τὸ σύνολον σωμάτων.
Καὶ ὃ δὲ ζῶν κατάσχωσι καὶ φάγωσιν ἐκ τούτου,
Ἂν νεκρωθῇ καὶ χρήζωσι πάλιν φαγεῖν ὑστέρως,
Οὐκέτι ἅψαιντο αὐτοῦ. καὶ περὶ ἀετῶν μὲν
Αἰτίαν ταύτην λέγουσιν, ὀζώδη τοῦτον εἶναι,

HIST. 8.

420. In margine edit. Basil. notatum: *alii mustelam rusticam, seu viverram.*

Καὶ σὕπερ ἀπογεύσαιτο, τὸ λεῖψαν ὄζειν μέγα.
Ὅθεν μηδ᾽ ἀπολείμματος γεύεσθαι σφῶν βρωμάτων.
Ἐμοὶ δὲ τοῦτο γίνεσθαι δοκεῖ καὶ ἀμφοτέροις
Ὡς βασιλεῦσιν οὖσί τε καὶ ἀλαζόσιν ἅμα,
Ὀρνέων μὲν τοῦ ἀετοῦ, τοῦ λέοντος θηρῶν δέ.
Περὶ τῶν κρατουμένων δὲ καὶ δεσμωτῶν λεόντων
Καὶ ἀετῶν ὁμοίως δὲ οὐκ ἔχω τί σοι λέγειν.
Ἀλλ᾽ οἶμαι οὗτοι γεύσαιντο οὐχὶ νεκρῶν σωμάτων,
Ἀλλὰ καὶ μελιπήκτων δέ, πλακούντων καὶ τοιούτων.
Οἷος ὑπῆρχε λέων τις Ἀπολλωνίου χρόνοις,
Ὅνπερ Ἀμάσιδος ψυχὴν ἔλεγεν οὗτος ἔχειν.
Εἴπερ δὲ κατακούσειας ἐν ἔπεσιν Ὁμήρου,
„Ὡς δὲ λέων ἐχάρη μεγάλῳ ἐπὶ σώματι κύρσας"
Μήθ᾽, ὡς μωροὶ νῦν, τὸν νεκρὸν σῶμα νομίσῃς λέγειν,
Μήτ᾽ ἀγνοεῖν τὸν Ὅμηρον τὰ περὶ τῶν λεόντων·
Τὸ ζῶν δὲ καὶ τὸ σύναιμον σῶμα νῦν λέγειν νόει.

ΠΕΡΙ ΤΗΣ ΤΟΥ ΤΑΝΤΑΛΟΥ ΚΟΛΑΣΕΩΣ. ι.

Παῖς τῆς Πλουτοῦς ἦν Τάνταλος καὶ Τμώλου βασιλέως,
Τμώλου τοῦ βασιλεύοντος ἐν χώρᾳ τῆς Λυδίας,
Ἀφ᾽ οὗ καὶ Τμῶλος τὸ Λυδῶν ὄρος κατωνομάσθη,
Ὥνπερ Λυδῶν ἐσύστερον καὶ Κροῖσος βασιλεύει.
Πῶς Σοφοκλῆς τὸν ἄνδρα δὲ Φρύγα φησὶν οὐκ οἶδα,
Λέγων, ἀρχαῖον ὄντα Πέλοπα βάρβαρον Φρύγα.
Εἰ Τμῶλος Τάνταλον γεννᾷ τοῖς τόποις τῆς Λυδίας,
Ὁ Τάνταλος δὲ Πέλοπα, πῶς Φρύγες, ὦ Σοφόκλεις;
Τμώλου δὲ τούτου Τάνταλον υἱόν, ὡς ἔφην, ὄντα,
Υἱὸν Διὸς οἱ Ἕλληνές φασιν ὡς βασιλέως·

HIST. 9.

437. Philostr. Vit. Apollon. V, 42.

438. *οὗτος* cd. A. recte, pro *οὕτως*.

440. Iliad. III, 23.

HIST. 10.

448. Sophocl. Aiac. 1279. (1271. Herm.) ibique Lobeck.

452. Cd. A. ut edit. Basil. in textu *Τμῶλον τοῦτον*, in margine autem, quod aperte verum, *Τμώλου τούτου*.

Δίας γὰρ πρὶν οἱ Ἕλληνες τοὺς βασιλεῖς ἐκάλουν·
Τοῖς δὲ Λυδοῖς καὶ Ἴωσι τοῖς ἐν Ἐφέσου τόποις
Πρὶν Πάλμυς βασιλεὺς ὁ σύμπας ἐκαλεῖτο.
Τὰ δέ γε τῆς κολάσεως μάνθανε τοῦ Ταντάλου.
Ἀρχιερεὺς ὁ Τάνταλος καὶ φυσικὸς ἦν ἅμα,
Καὶ τῆς ἱερωσύνης μὲν τῆς τῶν θεῶν ἀπέστη,
Ἀνθ' ὧνπερ τὰ μυστήρια εἶπε τοῖς ἀμυήτοις,
Τὸν ἥλιον δ' οὐ κρύσταλλον, οὐ πῦρ, ἀλλ' οὐδὲ μύδρον,
Τάχα δὲ λίθον ἔλεγε, πλὴν ἀμφιβόλῳ δόξῃ·
Ὅθεν οἱ μῦθοι λέγουσιν, ὡς Τάνταλος τὸ πρῴην
Θεῶν τελῶν συνδίαιτος καὶ κοινωνὸς τραπέζης
Τὴν ἀμβροσίαν, νέκταρ τε παρὰ θεῶν ἔκλεπτεν,
Διδοὺς βροτοῖς ἡλίκεσσιν, ὁ Πίνδαρος ὡς γράφει,
Ἐξέστη ταύτης τῆς τιμῆς καὶ τῆς κοινῆς τραπέζης,
Ἦλθε δ' εἰς τὸ ταχύποτμον ἔθνος τὸ τῶν ἀνέρων.
Ἄλλοι δὲ δι' ἀκόλαστον ἐκπεπτωκέναι γλῶσσαν
Τὸν Τάνταλον μυθεύονται, καθάπερ Εὐριπίδης,
Ὅτι τὰ κρύφια θεῶν ἐξέφερεν ἀνθρώποις.
Ἓν ταῦτα δὲ τυγχάνουσι, νέκταρ καὶ ἀμβροσία,
Καὶ λόγοι κρύφιοι θεῶν λεγόμενοι ἀνθρώποις.
Δι' ἅπερ καὶ ἐκπέπτωκε θεῶν τῆς ὁμιλίας.
Τὸ τὰ μυστήρια εἰπεῖν,, ὡς ἔφην, ἀμυήτοις,
Καθαιρεθέντα τε ἀρχῆς τῆς ἀρχιερωσύνης,
Τοιοῖσδε συνεπλάσαντο οἱ παλαιοὶ τοῖς μύθοις.
Τὸ δὲ φυσιολόγημα τὸ περὶ τοῦ ἡλίου,

---

456. *Πάλμυς* est nomen proprium Iliad. XIII, 792. Caeterum cf. Schol. ad Lycophr. 691. et Welcker ad Hipponact. fragm. I. II. p. 25. sqq. Desunt autem versui duae syllabae.

465. *Ἔκλεπτεν* cum *ν*, margo cd. A.

466. Pindar. Ol. I, 98. sqq. Heyn.

470. Euripides initio Orestis.

472. Quod in margine cd. A. adnotatur *ἐνταῦθα*, nihili est. Versu autem 470. idem margo monstrat lectionem *ὅπερ*.

474. Post *ὁμιλίας* loco commatis posui punctum, et in fine versus 476. comma; nam structura suspensa est e vs. 477.

478. Ad hunc versum in margine cd. A. a prima manu notatur, *ἄλλη του λίθου τοῦ Ταντάλου*.

Τὸ λίθον τοῦτον οἴεσθαι διστακτικῷ τῷ τρόπῳ
Ἔφασαν, ὡς τιμώρημα Ταντάλου πεφυκέναι,
Ἐκβεβλημένου μὲν θεῶν, ἀέρι δ' ἀρτηθέντος,
Καὶ λίθον ἄνω κεφαλῆς κρεμάμενον σκοποῦντος.'
Τοῦτο μὲν τὸ τιμώρημα ζῶντός φασι Ταντάλου.
Παιδευτικῷ τῷ τρόπῳ δὲ τοὺς ζῶντας ἐκπτοοῦντες,
Πράττειν μηδὲν τῶν ἀπρεπῶν καὶ παρανόμων βίῳ,
Ἔπλασαν, ὡς ὁ Τάνταλος καταφρονῶν τῶν νόμων
Ἐνταῦθα μὲν τετύχηκε τοιαύτης τιμωρίας.
Θανὼν δ' ἄλλας ἐφεύρηκε βαρείας τὰς κολάσεις.
Διψῇ γὰρ οὗτος καὶ πεινᾷ δίψαν καὶ πεῖναν οἵαν.
Μέσῳ γὰρ λίμνης ἵσταται χείλεσι προσκλυζούσης,
Καὶ μηλεῶν τε καὶ ῥοιῶν, ἀπίων, ἄλλων δένδρων,
Βριθόντων πάντων τοῦ καρποῦ. ἂν οὖν πιεῖν θελήσῃ,
Εὐθὺς ἅπαν ξηραίνεται τὸ ἔδαφος ἐκεῖνο·
Ἂν δὲ πεινῶν ἐκ μηλεῶν ἢ καὶ ῥοιῶν τι θέλῃ,
Τάσδ' ἄνεμος ῥίπτασκε ποτὶ νέφεα σκιοέντα.
Ἔχεις τὰ τῶν κολάσεων ἄμφω τῶν τοῦ Ταντάλου,
Τῶν ὧνπερ ζῶν τε πέπονθε, αἳ καὶ ἀλληγοροῦνται,
Καὶ τῶν πορ' Ἅιδῃ καὶ ψευδῶν, πλὴν λυσιτελεστάτων,
Ὡς τοὺς κακοὺς ἐκπτοουσῶν, ὥστε μὴ βλάπτειν βίῳ.

ΟΤΙ ΤΟΞΟΦΟΡΟΣ ΕΡΩΣ, ΟΤΙ ΠΤΕΡΩΤΟΣ, ΟΤΙ ΠΥΡΦΟΡΟΣ. ιά.

Ὡραῖον νέον μείρακα τὸν Ἔρωτα ζωγράφοι
Τοξότην ζωγραφοῦσί τε, σύναμα καὶ πυρφόρον,
Καὶ πτερωτόν, κατέχοντα δελφῖνά τε καὶ πόαν,
Τῇ μὲν γραφῇ τοῦ πτερωτοῦ, τῆς πόας, τοῦ δελφῖνος,
Κρατεῖν τοῦτον σημαίνοντες ἀέρος, γῆς, θαλάσσης.
Τοξότην καὶ πυρφόρον δὲ σὺν τούτοις ζωγραφοῦσιν,
Ὡς πλήττοντα καὶ φλέγοντα καρδίας τῶν ἐρώντων.
Νέον δὲ τοῦτον γράφουσι, σύναμα καὶ ὡραῖον,
Ὡς τοῦ ἐρᾶσθαι καὶ ἐρᾶν πρεπώδους νέᾳ φύσει,
Πρεπωδεστέρου μᾶλλον δὲ τῇ νέᾳ καὶ ὡραίᾳ.

ΠΕΡΙ ΤΗΣ ΚΑΤ' ΙΩΣΗΠΟΝ ΑΔΙΚΟΥ ΕΙΜΑΡΜΕΝΗΣ. ιβ'.

Ἐν βίβλῳ τῆς ἁλώσεως τῶν ἱερῶν Σολύμων
Ὁ θαυμαστὸς Ἰώσηπος, ἱστορικὸς Ἑβραῖος,
Τὴν εἱμαρμένην ἄδικον λέγει μεγαλοφώνως,
Δι' ἅπερ εἴωθεν ἀεὶ γίνεσθαι πεφυρμένως,
Μήτοιγε τῷ παρ' ἄρχουσι καὶ παρὰ βασιλεῦσι
Τιμᾶσθαι τὰ ἐκτρώματα πλέον σεμνῶν ἀνθρώπων,
Ἀλλὰ καὶ κύνας, δόρκους δέ, ἐνίοτε καὶ ἄρκτους,
Καὶ κατοικίους δὲ γαλᾶς, καὶ ἄλλα δὲ μυρία,
Ὑπερῃρμένα πρὸς τιμὴν ἀνθρώπων οἵων τότε.
Καὶ γὰρ ὁ Πύῤῥος ἀετόν, ὁ Νικομήδης κύνα,
Περσεὺς ἐτίμα δόρκον δὲ καὶ ἄρκτον σὺν ἑτέροις,
Ἄλλοι μυρίοι ἄλλα δὲ μυρία κνωδαλώδη,
Ὥσπερ γαλῆν κατοίκιον, γαλῆν τῶν μυοκτόνων
Ἡ Μονομάχου σύζυγος ἡμῶν τοῦ στεφηφόρου,
Ἥνπερ γαλῆν ὠνόμαζε καὶ Μεχλεμπὲ τὴν κλῆσιν·
Ὡς χάσμη τούτου πώποτε τοῦ ζώου κρατηθέντος,
Εἰπεῖν ὡς πρὸς τὴν σύγκλητον τὴν θαυμαστὴν Αὐγοῦσταν·
Ἄρχοντες, ἐχασμήσατο τανῦν ὁ Μεχλεμπέ μου.
Οἳ δ' ἠρυθρίων ὑπ' αἰδοῦς, πλὴν μὴ γελᾶν οὐκ εἶχον.
Ἔλεγον πρὸς ἀλλήλους δὲ ἠρέμα μειδιῶντες·
Εἶδες δεσποίνης τῆς ἡμῶν πῶς Μεχλεμπὲ χασμᾶται;
Ἐκεῖνος οὖν ὁ Μεχλεμπὲ τοῖς θρόνοις τοῖς ῥηθεῖσιν
Εἴδη μυρία τῶν τροφῶν ἤσθιε καθεκάστην
Ἐν ὁλοχρύσοις σκεύεσι καὶ παρεστῶσι πόσοις.

HIST. 12.

514. *Μήτοιγε — ἀλλά*, *non sane tantum eo quod — sed etiam* quod canes etc.

515. Cd. A. in contextu *ἐκτράματα*, in marg. a secunda manu *ἐκτρώματα*. Hoc verum. Nec tamen satis clarum, qua vi hoc nomen, improprie quidem positum, sit accipiendum.

517. *Γαλᾶς* pro *γαλεῖς* recte cd. A.

523. *Μονόμαχος* hic est imperator, non gladiator, ut interpretatur Lacisius. Monuit vir doctus in margine edit. Basil., qua utor. Est Constantinus X. Monomachus dictus.

Εἶχε καὶ γὰρ ὀψωνητάς, ὀψοποιούς, δαιτρούς τε,
Κανηφοροῦντας, ἀρτουργοὺς καὶ τοὺς ὑδροκιρνῶντας,
Καὶ πᾶσαν λέγω δὲ λοιπὴν ὑπηρετῶν χορείαν,
Ὁπόσοις οἱ πολύπλουτοι κομῶσι τῶν ἀνθρώπων.
Ὁ Μεχλεμπὲ τῷ τότε μέν· νῦν δὲ κυνίδιόν τι,
Παρὰ ἀρχούσης γυναικὸς φερόμενον τοῖς κόλποις,
Δίαιταν ἔχει τὴν αὐτὴν καὶ τἄλλα δὲ ὁμοίως·
Κἂν οὐ χρυσοῖς ἐν σκεύεσιν, ἀλλ' ἀργυροῖς ἐσθίει,
Ἀνθρώπων οἵων καὶ αὐτοῦ τοῦ ἄρτου στερουμένων;
Τούτων οὖν πάντων ἕνεκα ὁ θαυμαστὸς Ἑβραῖος
Ἄδικον κατωνόμασε καλῶς τὴν εἱμαρμένην.

ΛΕΞΕΙΣ ΙΣΤΟΡΙΩΔΕΙΣ, ΧΕΙΡΟΜΑΚΤΡΟΝ ΚΑΙ ΜΑΓΔΑΛΙΑ. ιγ'.

Χειρόμακτρον, τὸ ὕφασμα τιθέμενον τραπέζαις,
Ὃ τῶν χειρῶν ἐκμάσσεται τὸν ῥύπον καὶ καθαίρει.
Πᾶν δὲ τὸ ἀποκάθαρμα καὶ πλύμα πᾶν τρωξίμων,
Ζύμης, τυρῶν καὶ κρεωδῶν, ἰχθυωδῶν τοιούτων,
Ὃ χοῖροι, κύνες, τρώγουσι, μαγδαλιὰ καλεῖται.

ΠΕΡΙ ΕΘΟΥΣ ΠΑΛΑΙΟΥ ΤΟΥ ΚΑΛΕΙΝ ΕΞΟΝΟΜΑΚΛΗΔΗΝ ΤΡΙΣΣΩΣ ΤΟΝ ΕΠΙ ΞΕΝΗΣ ΘΑΝΟΝΤΑ ΤΟΥΣ ΕΤΙ ΠΕΡΙΟΝΤΑΣ, ΜΕΛΛΟΝΤΑΣ ΠΡΟΣ ΤΗΝ ΠΑΤΡΙΔΑ ΠΑΛΙΝ ΝΟΣΤΕΙΝ. ιδ'.

Τὸ πρότερον τοὺς θνήσκοντας εἰς γῆν τὴν ἀλλοτρίαν
Ἀποδημοῦντες οἱ αὐτῶν τρισσάκις ἀνεκάλουν,
Ὡς Ὅμηρος ἐδίδαξε βίβλῳ τῆς Ὀδυσσείας.
Τοῦτο δ' ἔδρων ὡς μνήμονες τυγχάνοντες φιλίας,
Καὶ ὡς εἰ ἀπελείφθη τις, πρὸς τὴν φωνὴν συνδράμοι.

HIST. 13.

547. *Ἀποκάθαρμα* pro *ἀκάθαρμα* recte cd. A.

HIST. 14.

552. Odyss. IX, 65. ibique scholia. Item vid. schol. ad Pind. Pyth. IV, 281. Heyn.

ΠΕΡΙ ΕΘΟΥΣ ΠΑΛΑΙΟΥ ΡΩΜΑΙΚΟΥ, ΠΩΣ ΟΥΚ ΑΚΗΡΥΚΤΕΙ ΣΥΝΕΚΡΟΤΟΥΝ ΠΟΛΕΜΟΥΣ, ΑΛΛΑ ΤΗι ΧΩΡΑι ΠΡΟΤΕΡΟΝ ΛΟΓΧΗΝ ΕΡΡΙΠΤΟΥΝ ΚΑΙ ΟΥΤΩ ΠΟΛΕΜΟΥ ΚΑΤΗΡΧΟΝΤΟ. ιε.

Τὸ πρότερον τὸ γένος μὲν Ῥωμαίων τῶν Λατίνων
Οὐχὶ συνῆπτε πόλεμον ἀκηρυκτεὶ πρὸς ἔθνος,
Ἀλλὰ τῇ χώρᾳ πρότερον ἔθνους τοῦ πολεμίου
Δόρυ σημεῖον ἔῤῥιπτεν ἔχθρας ἀρχὴν σημαῖνον·
Ἔπειτα δὲ κατήρχετο πολέμου πρὸς τὸ ἔθνος.
Τοῦτό φησι Διόδωρος, πᾶς τε Λατῖνα γράφων·
Καὶ τοῦτο μὲν ἦν παλαιὸν τὸ ἔθος τοῦ πολέμου·
Νῦν δ' ὡς δοκεῖ μοι, πέπαυται· ἀλέκτορα δὲ μόνον
Ῥίπτουσιν, οἵσπερ μέλλουσι πόλεμον συγκροτῆσαι.

ΠΟΘΕΝ ΑΥΣΟΝΕΣ ΛΕΓΟΝΤΑΙ ΚΑΙ ΜΕΧΡΙ ΤΙΝΟΣ ΤΟΠΟΥ ΕΣΤΙΝ ΑΥΣΟΝΙΑ. ιϛ'.

Ἡ Αὐσονία ἔσχηκε τὴν κλῆσιν τῶν Αὐσόνων
Κατά τινας ἐξ Αὔσονος, υἱοῦ τοῦ Ὀδυσσέως·
Ἐκ γὰρ τῆς Κίρκης Ὀδυσσεὺς τῆς πᾶσι θρυλλουμένης
Αὔσονα καὶ Τηλέγονον γεννᾷ καὶ Κασιφόνην,
Ὡς πᾶς φησὶν ἱστορικός, φροντίζων ἀληθείας·
Τζέτζης κἀνταῦθα δέ φησιν, ἱστορικοὶ κτηνώδεις.
Ἕνα μόνον ἐνιαυτὸν συνδιατρίψας Κίρκῃ
Ὁ Ὀδυσσεὺς πῶς ἔτεκε τὰ τρία ταῦτα τέκνα,
Τετραμηναῖα, ἢ γαστρὶ μιᾷ τὰ τρία τίκτει;
Ἀλλ' ἐν Λιβύῃ κεραοὺς ἄρνας εὐθὺς γεννῶσι·
Ἐν καὶ τῇ Ἰταλίᾳ δὲ πρὸς πλέον τῆς Λιβύης,
Ὅτι ἀνθρώπους, ὥς φατε, γεννᾷ τετραμηναίους.

HIST. 15.

560. Cf. Dionys. II, 72. Liv. I, 32. Dio Cass. LXXI, 53. Ovid. Fast. VI, 205.

HIST. 16.

566. Vid. Tzetz. ad Lycophr. 44. ibique Müller. Add. Niebuhr, Röm. Gesch. I. p. 32. p. 48. sqq. Wachsmuth, die ältere Gesch. d. röm. Staats, p. 65.

Ἐκ τοῦ τετραμηναίου μὲν Αὔσονος, ὡς ληροῦσιν,
Ἡ Αὐσονία εὔρατο τὴν Αὐσονίας κλῆσιν·
Ἄλλοι δὲ ἀπὸ Αὔσονός φασι παλαιοτέρου,
Υἱοῦ τελοῦντος Ἰταλοῦ, τῆς χώρας βασιλέως.
Τοὺς δὲ Αὐρούγκους μόνους μοι Αὔσονας λέγειν νόει,
Μέσους Οὐολσκῶν, Καμπανῶν, πρὸς θάλασσαν κειμένους·
Ἐξ ὧν κατὰ κατάχρησιν καὶ πᾶσαν Ἰταλίαν.

ΟΤΙ Ο ΤΖΕΤΖΗΣ ΚΑΤΑ ΜΗΤΕΡΑ ΙΒΗΡΤΩι ΓΕΝΕΙ, ΚΑΤΑ ΠΑΤΕΡΑ ΚΑΘΑΡΩΣ ΕΛΛΑΔΟΣ ΓΟΝΗΣ. ιζ′.

Ἡ τοῦ δὲ μητρομήτωρ μὲν Τζέτζου τοῦ Ἰωάννου,
Τοῦ ἱστοριογράφου τε καὶ συγγραφέως πόσων,
Μητρὸς ἦν Μασσαγετίδος, ἤγουν ἐξ Ἀβασγίδος.
Ἴβηρες δὲ καὶ Ἀβασγοὶ καὶ Ἀλανοὶ ἓν γένος·
Οἱ Ἴβηρες πρωτεύοντες, οἱ Ἀβασγοὶ δευτέραν,
Οἱ Ἀλανοὶ δ' ἐσχήκασι τάξιν τριῶν ὑστέραν.
Τῆς Τζέτζου μητρομήτορος ἡ Ἀβασγὶς ἡ μήτηρ
Σὺν τῇ δεσποίνῃ Μαριάμ, τῇ Ἀβασγίσσῃ λέγω,
Ἣν οἱ πολλοὶ Ἀλάνισσάν φασιν οὐκ ἀκριβοῦντες,
Ἦλθεν εἰς Μεγαλόπολιν ὡς συγγενὴς καθ' αἷμα,
Οἱ δὲ βασκαίνοντές φασιν ὡς ὑπὸ χεῖρα ταύτης,
Ὡς ἡ Ἀσπάη καθ' ἡμᾶς Κατάης ὑπὸ χεῖρα·
Ἀφ' ἧς ὁ περιώνυμος ὁ μέγας Κωνσταντῖνος,
Ὁ μέγας ὁ Δρουγγάριος, εἷς Σεβαστὸς ἐν βίῳ,
Τοῦ λογοθέτου τοῦ κλεινοῦ πατὴρ τοῦ θρυλλουμένου.
Μετὰ θάνατον τῆς αὐτοῦ παρθενικῆς συζύγου
Γεννᾷ τὴν μητρομήτορα, ἣν ἔφημεν, τοῦ Τζέτζου,
Μιᾷ τῶν πρώην θυγατρῶν τῇ ὑπερφιλουμένῃ,

---

578. Schol. ad Lycophr. 702. — Cd. A. in textu *αἰστέρου*, in marg. a sec. manu *παλαιοτέρου*.

HIST. 17.

586. Cf. Cellar. Not. O. A. II. p. 367.

589. Sponte patet, pro mutilato *μητορος* id reponendum esse, quod reposui.

595. Constantinus Druncarius memoratur a Nicephor. Comment. lib. III. 2. p. 69. Paris.

[illegible]ρούντι λέγω δὲ αὐτοῦ τοῦ Ἰασίτου,
Ἰσ[illegible], καὶ τῷ αὐτῷ κλουβῷ συνεμβιβάζων,
Τ[illegible] δ᾽ ἄλλας πάσας παρεῶν ἄλλης τιμῆς λαγχάνειν.
[illegible] καὶ ἡ βασίλισσα γίνεται θέσει μήτηρ,
Ἡ [illegible] ἡ κλεινή, καὶ ζώνην διδοῖ ταύτης
[illegible] ἐξαρκέσασαν τὴν γενεὰν ἐκτρέφειν.
[illegible] γαμβρὸν ἐξάκτωρα γεωργίων ἐσχήκει,
[illegible] ἀρχὰς ἀνύσαντα πρακτορικὰς θεμάτων·
[illegible] καὶ θανόντος ὄνομα βοῦται νῦν ὡς ζῶντος·
[illegible]του θυγάτηρ σὺν δυσὶν ἑτέραις θυγατράσιν
[illegible] κλῆσιν Εὐδοκία μέν, μήτηρ δ᾽ αὐτοῦ τοῦ Τζέτζου.
[illegible]ως κατὰ μητέρα μὲν Ἴβηρα τοῦτον ὄντα·
Πατὴρ δὲ τούτου Μιχαήλ, ὃς καὶ παιδεύει τοῦτον
Ἐν λόγοις καὶ τοῖς πράγμασιν ὡς τὸν υἱὸν ὁ Κάτων.
Υἱὸς οὗτος ὁ Μιχαὴλ ἦν Τζέτζου Ἰωάννου,
Γράμμα μηδέν τι μηδαμοῦ τὸ σύνολον εἰδότος,
Εἰς πάντα χρόνον δὲ σοφοὺς τοῖς οἴκοις ἑστιῶντος,
Οἴκοις ἐν πεντωρόφοις δέ, πλὴν μετ᾽ ᾠδῆς ὀργάνων,
Τρυφαῖς ὑπερεχούσαις τε τὰς γάμων πανδαισίας.
Καὶ τούτου πάλιν ὁ πατὴρ θρέμμα τῆς Βυζαντίδος,
Ὃς μέχρι νῦν ἀκέραιος νεκρὸς τελῶν ἐν τάφῳ
Ἐν Εὐφροσύνης τῇ μονῇ τὴν κλῆσιν καλουμένῃ
Πολίτης ὀνομάζεται ταύτης ταῖς μονοτρόποις,
Μὴ γινωσκούσαις τίς ἐστιν, ὅνπερ φασὶν πολίτην.
Οἷα δὲ δρᾷ θαυμάσια, μοναζουσῶν πυνθάνου.
Οὕτω κατὰ μητέρα μὲν ὁ Τζέτζης ἐστὶν Ἴβηρ,
Κατὰ πατέρα δὲ μητρὸς καὶ τὸν αὐτοῦ πατέρα
Γονῆς Ἑλλάδος καθαρᾶς, γονῆς ἀκραιφνεστάτης.

---

602. *Κλόβος*, *κλοῦβοι*, *κλῶβος*, interprete Dufresn. est *cavea*, *carcer clathratus*. „Filias suas pari honore dignatus est parens et in eadem cavea seu domo educavit.“ Immo ita: Tzetzae aviam pari honore, quo dilectissimam filiarum suarum, dignatus est.

607. *Ἐξάκτωρ*, i. q. *πράκτωρ*. Chil. IV, 859. *ἐκλήπτωρ τῶν δημοσίων φόρων*. Vid. Dufresn. Pro *γεώργων* scripsi *γεωργίων*. Sunt *γεώργια praedia*, agri culti. Vid. Dufresn.

618. *Πεντωρόφοις* pro *πεντορόφοις* e cd. A.

ΠΡΟΡΡΗΣΙΣ ΤΟΥ ΦΑΙΣΤΙΟΥ ΕΠΙΜΕΝΙΔΟΥ ΠΕΡΙ ΜΟΥΝΥΧΙΑΣ ΧΩΡΙΟΝ ΤΕΛΟΥΣΗΣ ΤΩΝ ΑΘΗΝΩΝ. ιή.

Ἐπιμενίδης Φαίστιός τις ἐκ Φαιστοῦ τῆς Κρήτης,
Ὡς εἰς Ἀθήνας ἐπελθὼν εἶδε τὴν Μουνυχίαν,
(Πλησίον τοῦ λιμένος δὲ χωρίον ἐστὶν αὕτη)
Κατανοήσας ἐξ αὐτοῦ βλάβην τοῖς Ἀθηναίοις,
Προφητικῶς προείρηκε τάδε κατ᾽ ἔπος λέγων·
Εἰ Ἀθηναῖοι ᾔδεισαν, ὅσα ἡ Μουνυχία
Εἰς βλάβην συντελέσειε τῆς Ἀθηναίων χώρας,
Ἐν τοῖς ὀδοῦσιν ἂν αὐτὴν κατέφαγον ὡς ἄρτον.

ΠΕΡΙ ΚΕΚΡΟΠΟΣ. ιθ'.

Πρῶτος ἁπάντων Ἀττικῆς ὁ Κέκροψ βασιλεύει,
Ὁ πρῶτος ὁ καλούμενος καὶ διφυὴς τοιῶσδε·
Ἢ ὅτι μέγεθος ἀνδρῶν δύο πρὸς μῆκος εἶχεν,
Ἢ ὡς Ἑλλάδος ἔμπειρος καὶ Αἰγυπτίας γλώσσης,
Ἢ ὡς τὰ κάτω δράκων μέν, ἄνθρωπος δὲ τὰ ἄνω.
Ὁ Δημοσθένης τάχα μὲν ἀλληγορεῖν ἐθέλει,
Συνηγορεῖν δὲ πεφυκώς, ἀλληγορεῖν δ᾽ οὐδόλως·
„Ἤδεσαν Κεκροπίδαι μέν, φησίν, ὡς ὅτι Κέκροψ
„Ἀλκὴν ἐῴκει δράκοντι, τὴν σύνεσιν ἀνθρώπῳ.
Ὁ Τζέτζης βασιλεύειν δὲ πρᾴως τὸν ἄνδρα λέγει,
Ὡς καὶ βαρβάρους, τοὺς αὐτῷ ταῖς μάχαις ἡττημένους,
Τῷ φιλανθρώπῳ τοῦ ἀνδρὸς τοσοῦτον συνδεθῆναι,
Ὡς ἓν σῶμα λογίζεσθαι, μηδ᾽ ἀποσπᾶσθαι θέλειν.

HIST. 18.

629. Cf. Klopfer, mytholog. Wörterb. s. h. v. Add. Epimenides von Heinrich, p. 13. — Plutarch. Solon. c. 12.

634. In cd. A. ἤδεισαν, iota non subscripto.

HIST. 19.

637. Inserui titulum περὶ Κέκροπος, ιθ', qui per negligentiam librarii, qui codicem scripsit, est omissus.

638. Cf. Schol. ad Lycophr. III.

642. Demosthen. orat. funebr. p. 1398. 20. Reisk. (Tom. V. p. 204. Tauchn.)

644. Hic cd. A. ἤδεσαν.
δέσθαι

648. Cd. A. συνδεθῆναι.

649. Cd. A. μὴ δ'.

Καὶ ἄλλως τοῦτον διφυῆ τὸν Κέκροπα καλοῦσιν·
Αἱ τῶν Ἑλλήνων πρότερον γυναῖκες καθ' Ἑλλάδα
Οὐχ ὥσπερ νῦν ἐζεύγνυντο νομίμοις τοῖς ἀνδράσι,
Δίκην κτηνῶν δ' ἐμίγνυντο πᾶσι τοῖς βουλομένοις.
Ἦσαν λοιπὸν μονοφυεῖς οὕτως οἱ παῖδες τότε,
Μόνας ἐπιγινώσκοντες μητέρας, οὐ πατέρας.
Ὡς δὲ ἀπὸ τῆς Σάεως πόλεως Αἰγυπτίας
(Σάϊς δ' ἐστὶν ἡ Ἀθηνᾶ τῇ Αἰγυπτίων γλώσσῃ)
Μετὰ τὸν κατὰ Ὤγυγον κατακλυσμὸν ἐκεῖνον
Ὁ Κέκροψ παραγέγονεν Ἀθήναις τῆς Ἑλλάδος,
Ταύτας Ἀθήνας κεκληκὼς ἐκ Σάεως Αἰγύπτου,
Πολλοῖς ἐλυσιτέλησεν καὶ ἄλλοις τῇ Ἑλλάδι,
Νομοθετεῖ καὶ γυναιξὶ τοὺς γάμους τοὺς νομίμους,
Ἐξ ὧν παῖδες ἐγνώκεισαν τοὺς δύο φυτοσπόρους,
Τὸ πρὶν μόνην γινώσκοντες, ὡς ἔφην, τὴν μητέρα.
Ὅθεν ὁ Κέκροψ διφυής, νόμοις ὡς δείξας ταῦτα·
Οὗτος ἁπάντων Ἀττικῆς πρῶτος ἐμβασιλεύει,
Καὶ Κεκροπίδας ἐξ αὐτοῦ φαμὲν τοὺς Ἀθηναίους.
Καὶ μετ' αὐτὸν ὁ Κραναὸς καὶ τρίτος Ἀμφικτύων,
Ὁ Ἐριχθόνιος δ' αὐτὸν διώξας βασιλεύει,
Ἡφαίστου παῖς καὶ Ἀθηνᾶς τῆς Κραναοῦ ὑπάρχων.
Πανδίων Φρασιθέας παῖς καὶ τοῦ Ἐριχθονίου·
Ζευξίππης καὶ Πανδίονος ὁ Ἐρεχθεὺς ἐξέφυ,
Πρόκνη καὶ Φιλομήλα τε καὶ Βούτης δὲ σὺν τούτοις·
Ἐξ Ἐρεχθέως πάλιν δὲ καὶ Πραξιθέας Κέκροψ·
Πανδίων τούτου Κέκροπος καὶ τῆς Μητιαδούσης·
Πελείας καὶ Πανδίονος παῖς ὁ Αἰγεὺς ἐξέφυ·
Αἰγέως καὶ Αὐτόχθης δὲ γίνονται θυγατέρες·
Αἰγέως καὶ τῆς Αἴθρας δὲ Θησεὺς παῖς νόθος ἔφυ·
Ἀκάμας δὲ καὶ Δημοφῶν Φαίδρας καὶ τοῦ Θησέως·
Ἐξ Ἐρεχθέως τοῦ πατρὸς Κέκροπος τοῦ δευτέρου
Τοὺς Ἀθηναίους ἔλεγον οἱ πρώην Ἐρεχθείδας.

---

668. Κρανὸς cd. A. ut edit. Basil.

ΟΤΙ ΤΟΠΟΣ ΤΟ ΛΕΠΡΕΙΟΝ, ΝΥΝ ΔΕ ΛΕ-ΠΡΕΟΝ ΤΟΝ ΛΕΠΡΟΝ ΛΕΓΩ. κ'.

Τὸ Λέπρειον μὲν τόπος τίς ἐστι τῆς Τριφυλίας,
Ἀπὸ τοῦ πέτρας τὰς ἐκεῖ λεπράδας πεφυκέναι
Καὶ τοὺς ἐκεῖ λεπροῦσθαι δὲ ποιότητι τοῦ τόπου·
Νῦν τὸν λεπρὸν δὲ λέπρεον, ὡς ἔφην, ὀνομάζω,
Ἀπὸ εὐθείας λέπρειος, συστείλας τὸ ἰῶτα,
Οὐκ ἀπὸ τῆς εὐθείας δὲ λεπραῖος τοῦ λεπραίου·
Τὸ πραι γὰρ οὕτω δίφθογγον ὤφειλεν ἐγγεγράφθαι.
Τὰ ἐκ τοῦ αιος γὰρ μιᾷ τῇ συλλαβῇ πρὸ τέλους
Εἰς ου τὴν κλίσιν ἔχοντα πάντα διφθογγιστέον.
Ὀνόματα δὲ λέγομεν ἀνταῖος καὶ ταυραῖος
Καὶ τὸ λεπραῖος σὺν αὐτοῖς καὶ ὅσα τῶν ὁμοίων.
Ἀνταίου καὶ ταυραίου γὰρ κλίνονται, καὶ λεπραίου.
Ταῦτα μὲν πάντα δίφθογγον ἔχειν γραφήν μοι νόει.
Τὰ δ' ἐκ τοῦ εας ἐν μιᾷ τῇ συλλαβῇ πρὸ τέλους,
Εἰς α δὲ κλινόμενα, πάντα μοι ψιλογράφει.
Ἀντέας καὶ ταυρέας δὲ καὶ τὸ λεπρέας λέγω,
Καὶ εἴ τι τοιουτότροπον· τί δεῖ μακρηγορίας;

ΠΕΡΙ ΤΟΥ, ΤΙ ΕΣΤΙ ΤΙΤΑΝΟΣ ΚΑΙ ΤΙ ΣΚΙΡΡΟΣ. κά.

Σκείρων διὰ διφθόγγου μὲν λῃστὴς ἐν Μεγαρίδι,
Τοὺς πόδας πλύνοντας αὐτοῦ λακτίζων, κτείνων πόντῳ,
Ὁ τῆς οὐλῆς δὲ καὶ πληγῆς τύπος μετὰ ὑγείαν
Σκίῤῥον ὁμοῦ καὶ σκίῤῥωμα καὶ σκίῤῥος δὲ καλεῖται,
Ἀπὸ τοῦ σκίῤῥος, ὃ ἐστιν ὁ γύψος κεκλημένον.
Σκίῤῥον τὸν γύψον ἔγνωκας οἷς γράφω τανῦν λόγοις.
Τὸν κεκαυμένον λίθον δὲ τίτανον εἶναι νόει·

HIST. 20.

682. Cf. Cellar. geogr. ant. I. p. 1187.

689. Pro τὴν necessario scribendum τά, quod feci.

691. Cd. A. aperte ταυραίου, quod etiam Lacisius reddit. In edit. Bas. λαμπραίου, vitiose.

HIST. 21.

699. Vid. lectionis varietas in Diod. Sic. IV, 59. ed. Wess. o)

700. Plutarch. Thes. 10.

Αὐτὴν λέγω τὴν ἄσβεστον τὴν πᾶσι θρυλλουμένην.
Πούλβεριν δὲ τὴν ἄσβεστον τὴν ἐκ τῶν χαλασμάτων.
Ἀρῆναν δέ μοι γίνωσκε τὴν ἄμμον ὀνομάζειν.
Ταῦτα δ' ὁ Τζέτζης ἔγραψε τοῖς χρῄζουσι μανθάνειν,
Πᾶσι τοῖς ἐντυγχάνουσι μηχανικοῖς βιβλίοις,
Ἐξ ὧν ἡ λυσιτέλεια γίνεται πόση βίῳ.
Ἀγνοουμένης λέξεως πᾶν ἀπρακτεῖ δὲ πάλιν.
Ἂν οὖν καὶ ταῦτα δέχεσθε καὶ πλέον ἱστορίας,
Εὖ καὶ τοῦ πόνου τοῦ ἡμῶν καὶ τοῦ ὑμῶν δὲ τρόπου·
Εἰ δ' οὔ, ὁ Τζέτζης μάταιος τῶν χρειωδῶν τοιάδε
Συγγράφων εἰς ἀγνώμονας ἀνθρώπους, παχύφρονας.

ΤΙ ΤΟ ΜΟΡΜΟΛΥΚΕΙΟΝ. κβ'.

Γοργόνες τρεῖς τὸ παλαιὸν λέγονται πεφυκέναι,
Σθενὼ καὶ Εὐρυάλεια καὶ Μέδουσα τὴν κλῆσιν.
Αἵσπερ τρισὶν εἷς ὀφθαλμὸς τὸ φῶς ἐπεχορήγει.
Ἦσαν δ' αἱ τρεῖς καὶ πτερωταὶ καὶ δρακοντοτριχοῦσαι,
Προσώπων ἀγριότητι τοὺς βλέποντας λιθοῦσαι.
Ταύτας καὶ Μορμολύκεια καλοῦσι καὶ Μορμόνας,
Ὡς ὁ Ἀριστοφάνης πού φησιν, Μορμὼ τοῦ θράσους.
Τζέτζης δὲ μορμολύκειον νυκτὸς πᾶν φάσμα λέγει,
Μορμώ, μερίμνης ἄξιον, λύκειον σκότους φάσμα.

---

707. Loci sententia haec est: *Πούλβερις appellatur calx ex destructionibus.* Nam *χάλασμα* significat *destructionem, eversionem.* Vid Dufresn. s. h. v. De reliquis conf. Schneideri adnotat. ad Eclog. phys. p. 89. sq.

716. Scripsi *παχύφρονας* pro *παχυφρένους.* Vide ad Chil. IV, 562.

HIST. 22.

717. Cf. Hesiod. theog. 276. ibid. schol.

722. In Etymol. M. scribitur *Μορμολυκεῖον.*

723. Equit. 693.

725. Erat *λύγειον*, quod quum possit derivari a *λύγη*, huic originationi non convenit.

ΤΙ ΤΟ ΚΑΘΑΡΜΑ. κγ'.

Ὁ φαρμακὸς τὸ κάθαρμα τοιοῦτον ἦν τὸ πάλαι.
Ἂν συμφορὰ κατέλαβε πόλιν θεομηνίᾳ,
Εἴτ' οὖν λιμὸς εἴτε λοιμὸς εἴτε καὶ βλάβος ἄλλο,
Τῶν πάντων ἀμορφότερον ἦγον ὡς πρὸς θυσίαν,
Εἰς καθαρμὸν καὶ φάρμακον πόλεως τῆς νοσούσης.
Εἰς τόπον δὲ τὸν πρόσφορον στήσαντες τὴν θυσίαν,
Τυρόν τε δόντες τῇ χειρὶ καὶ μάζαν καὶ ἰσχάδας,
Ἑπτάκις γὰρ ῥαπίσαντες ἐκεῖνον εἰς τὸ πέος
Σκίλλαις, συκαῖς ἀγρίαις τε καὶ ἄλλοις τῶν ἀγρίων,
Τέλος πυρὶ κατέκαιον ἐν ξύλοις τοῖς ἀγρίοις,
Καὶ τὸν σποδὸν εἰς θάλασσαν ἔῤῥαινον εἰς ἀνέμους
Καὶ καθαρμὸν τῆς πόλεως, ὡς ἔφην, τῆς νοσούσης,
Ὡς καὶ Λυκόφρων μέμνηταί που περὶ τῶν Λοκρίδων,
Ὡδέ πως λέγων, ἀκριβῶς τὸν στίχον οὐ γινώσκω·
„Ὅταν ἀκάρποις γυῖα συμφλέξας κλάδοις
„Ἥφαιστος εἰς θάλασσαν ἐκβράσσῃ σποδὸν
„Τῆς ἐκ λόφων Τράρωνος ἐφθιτωμένης.
Ὁ δὲ Ἱππώναξ ἄριστα σύμπαν τὸ ἔθος λέγει·
„Πόλιν καθαίρειν καὶ κράδησι βάλλεσθαι.
Καὶ ἀλλαχοῦ δέ πού φησι πρώτῳ ἰάμβῳ γράφων·
„Βάλλοντες ἐν χειμῶνι καὶ ῥαπίζοντες
„Κράδῃσι καὶ σκίλλησιν ὥσπερ φαρμακόν.
Καὶ πάλιν ἄλλοις τόποις δὲ ταῦτά φησι κατ' ἔπος·
„Δεῖ δ' αὐτὸν ἐς φαρμακὸν ἐκποιήσασθαι. —
„Κἄφη παρέξειν ἰσχάδας τε καὶ μάζαν,

HIST. 23.

726. Vid. Fischer. ad Aristoph. Plut. 454. Schleusneri Lex. in N. T. s. v. κάθαρμα et περικάθαρμα. Photius ex Helladio p. 1590. sq.

731. Cd. A. in contextu habet τῇ θυσίᾳ, in margine accusativum, quem recepi.

733. Coniunctio γὰρ hic est inepta. Πέος autem est lectio cd. A. pro ποτέ. Nimirum scriptum ibi est. πέ with ο above. Etiam Lacisius vertit *veretrum.*

738. Vs. 1157. sqq.

743. Vid. Hipponact. fragm. ed. Welcker. p. 68. sqq.

750. κἄφη i. e. καὶ ἔφη pro καφῆ est correctio Welckeri. In cd. A. κάφη.

„Καὶ τυρόν, οἷον ἐσθίουσι φαρμακοί.
„Πάλαι γὰρ αὐτοὺς προσδέχονται χάσκοντες,
„Κράδας ἔχοντας, ὡς ἔχουσι φαρμακοί.
Καὶ ἀλλαχοῦ δέ πού φησιν ἐν τῷ αὐτῷ ἰάμβῳ·
„Λιμῷ γένηται ξηρός, ἐν δὲ τῷ θυμῷ
„Φαρμακὸς ἀχθεὶς ἑπτάκις ῥαπισθείη.

Ταῦτα περὶ τοῦ ἔθους μὲν τῆς φαρμακοῦ θυσίας.
Φαρμακουργὸς δὲ καὶ φαρμακεὺς καὶ φαρμακὸς διοίσει.
Φαρμακουργὸς ἐργάτης τε καὶ πωλητὴς φαρμάκων,
Ὡς φαρμακεὺς ὁ χρώμενος φαρμάκοις ὡς πρὸς βλάβην,
Ὁ φαρμακὸς δὲ καθαρμὸς τῆς πόλεως, ὡς ἔφην.

ΠΕΡΙ ΤΟΥ ΜΗΛΟΥ ΤΗΣ ΕΡΙΔΟΣ. κδ΄.

Οἱ Μοῦσαν τὴν οὐρανίαν Ὁμήρου καθελόντες
Εἰς γραϊκὰ μυθύδρια μηναγυρτῶν τε λόγους,
Γάμους Πηλέως λέγουσι καὶ Θέτιδος Πηλίῳ
Συνέλευσίν τε τῶν θεῶν, Ἔριδος ἄνευ μόνης·
Στάζει γὰρ αὕτη καὶ βρωμεῖ καὶ τόπον ἀφανίζει,
Ὡς γραῖες ἐπαείδουσι στάζοντας ἰατρείαις.
Ἡ Ἔρις δ᾽ ἀθυμήσασα ταύτῃ τῇ παροράσει,
Εἰς μῆλον γράψασα χρυσοῦν, λάβε καλὴ τὸ μῆλον,
Ἐξ ὀροφῆς τε ῥίψασα μέσον τῆς γαμηλίας,
Τὴν γαμικὴν συνέχεε τράπεζαν καὶ τὸν τόπον
Καὶ μάχην ἀνεῤῥίπισεν ἑλληνοτρωοφθόρον·
Κατὰ τοὺς μύθους καὶ αὐτὸς Ἐρίδος μῆλον εἶπον·

---

753. φαρμακοὶ pro φαρμακεῖς Welcker.

755. ξηρός pro ξηρόν cd. A. obtulit.

756. Articulum ante φαρμακός, metrum evertentem, delevi. Hoc vocabulum enim penultimam hic habet longam, ut in Oracul. Sibyll. lib. 3. p. 361. ed. Gall.

HIST. 24.

767. Versus in edit. Bas. sic corrupte legitur: ὡς γράες ἐπαοίδουσι στάσοντος ἰατρείαις. E cd. A. nihil adnotatum est, unde corrupta corrigas. Legi possit: ὡς γραῖς ἐπαείδουσαι στάζουσιν —.

771. Vid. Tzetzae Exegesin in Iliad. p. 39. sqq. Schol. ad Lycophr. 92. ibique Thryll.

Τὸ δ' ἀλληγορικώτερον· περὶ κοσμογενείας
Τοῦτο προεῖπεν Ὅμηρος οὐρανοδρόμοις λόγοις,
Αὐτὸς δὲ ὑπεφήτευσα γράφων ἀλληγορίας.

ΠΕΡΙ ΤΟΥ, ΟΤΙ ΟΣΜΥΛΟΣ ΟΝΟΜΑ ΙΧΘΥΟΣ ΕΣΤΙΝ, ΝΥΝ ΔΕ ΟΣΜΙΛΟΣ ΤΟΝ ΟΖΩΔΗ ΦΗΜΙ ΟΝΟΜΑΤΟΠΟΙΗΣΑΣ ΑΥΤΟΝ. κέ.

Ὀσμύλος τις ἰχθύς ἐστι, καθάπερ ὁ πολύπους,
Ἀμφίβιος, ἐλαίας τε καὶ σῦκα κατεσθίων.
Νῦν τὸν ὀζώδη εἴρηκα ὀσμίλον δι' ἰῶτα,
Ὡς ὄνομα Ζωΐλον τε τάχα καὶ τὸν Τρωΐλον.

ΠΕΡΙ ΓΡΑΜΜΑΤΕΩΣ, ΠΕΡΙ ΕΡΜΟΥ ΚΑΙ ΟΣΙΡΙΔΟΣ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΑΙΓΥΠΤΟΥ. κϛ'.

Ἑρμῆς, ὁ καὶ τρισμέγιστος, γοναῖς ταῖς Αἰγυπτίων
Λέγεται πρῶτον ἐφευρεῖν γραμμάτων τὰς συνθέσεις,
Κἂν Σὴθ Ἑβραῖοι λέγωσιν ἐφευρετὴν γραμμάτων.
Ἑρμῆς, ὁ καὶ τρισμέγιστος, ὅνπερ τανῦν εἰρήκειν,
Γραμμάτων ὢν ἐφευρετὴς καὶ χρειωδῶν μυρίων,
Καὶ σύγχρονος καὶ σύμβουλος καὶ γραμματεὺς ὑπῆρχε
Ἐπὶ τῶν διοικήσεών τε πάντων τῶν πραγμάτων
Τοῦ Αἰγυπτίων ἄνακτος, ὃς κατὰ Αἰγυπτίους
Ὄσιρις ὀνομάζεται, ἤτοι τῶν περιβλέπτων,
Κατ' Ἰνδοὺς δὲ Διόνυσος, δεῦνος καὶ ἄναξ Νύσσης,
Νῶε *κατὰ Ἑβραίους δέ. παῦσιν δ' ὁ Νῶε λέγει,*
Ὡς τοῖς Λυδοῖς ὁ Ἄτταλος παῦσιν ὁμοίως λέγει.

---

775. Quod ego posui *τοῦτο* pro *τούτου*, etiam Lacisius expressit.

HIST. 26.

781. Noli *γοναῖς* mutare in *γραφαῖς*. Est circumlocutio Aegyptiorum, quibus opponuntur Hebraei. Cons. v. 824.

787. *Ἐπὶ διοικήσεων*. Dignitas in Aula Constantinopolitana *dispensator*. Idem videtur, qui *διοικητής*. Chil. IX, 290. et v. 367. *Dufresn.*

790. Vid. Etymol. M. s. v. *Διόνυσος*, et confer quae collegit Klopfer in mythol. Wörterb. s. Bacchus, not. pag. 374.

Καθ' Ἕλληνας Διόνυσσος δ' ἀπείληφε τὴν κλῆσιν,
Εἰδότας τοῦτον παλαιὸν Διόνυσσον τυγχάνειν,
Οὐ τὸν χεζοκαρκάλην δὲ υἱὸν τὸν τῆς Σεμέλης.

ΠΕΡΙ ΒΕΛΕΣΥΟΣ ΤΟΥ ΒΑΒΥΛΩΝΙΟΥ ΚΑΙ ΑΡΣΑΚΟΥ ΤΟΥ ΜΗΔΟΥ. κζ'.

Τῷ γένει Βαβυλώνιος ὁ Βελεσὺς ὑπῆρχεν,
Ἀνὴρ σοφὸς καὶ συνετός, ὀξὺς τὸ δέον κρῖναι·
Χρησμῶν δὲ πλάσας λόγια καὶ θεοπροσπείας,
Ἀρσάκη Μῆδον ἔπεισε λαβεῖν τὴν βασιλείαν,
Τὴν βασιλείαν λέγω δὲ τοῦ κράτους Ἀσσυρίων,
Τὸν θῆλυν Σαρδανάπαλον ἡττήσαντα τῇ μάχῃ.
Εἰς πλάτος ἔχεις ὄπισθεν τήνδε τὴν ἱστορίαν,
Πέμπτην καὶ ἐννενηκοστὴν ταῖς προσγραφαῖς κειμένην.

ΠΕΡΙ ΠΑΛΑΜΗΔΟΥΣ ΤΟΥ ΥΙΟΥ ΝΑΥΠΛΙΟΥ. κη'.

Ὁ Παλαμήδης ὁ υἱὸς Ναυπλίου καὶ Κλυμένης
Λέγεται τοῖς πανέλλησιν ἐφευρετὴς γραμμάτων,
Γραμμάτων δὲ ἑκκαίδεκα· τὰ δὲ ὀκτὼ τὰ ἄλλα
Ὕστερον ἐφευρέθησαν παρὰ μὲν Σιμωνίδου,
Τὸ ἦ λέγω καὶ τὸ ῶ, ἃ καὶ μακρὰ καλοῦμεν,
Παρ' Ἐπιχάρμου τὰ διπλᾶ, τὸ ζῆτα, ξῖ καὶ ψῖ δέ,
Τῷ Μιλησίῳ Κάδμῳ δὲ τὰ τρία τῶν δασέων,
Τὸ θῆτα λέγω, καὶ τὸ φῖ, σύναμα καὶ τὸ χῖ δέ.
Καὶ τὰ ὀκτὼ μὲν ἀληθῶς ἐν τοῖς τρισὶν εὑρέθη·
Τὰ δ' ἄλλα τὰ ἑκκαίδεκα, μὴ κρύψω σὲ καὶ Τζέτζην,

---

795. *χεζοκαρκάλην* Lacisius interpretatur *cacatum Arcalem.* Chil. VIII, 586. vocatur idem graecus Dionysus *Ζαβοσκουτέλης.*

HIST. 27.

Pro *ἀρσάκου* in inscriptione a manu secunda positum *ἀρβάκου* ut Chil. IV, 613.

HIST. 28.

805. Addidi articulum *τοῖς.*

807. Vid. Fischeri animadvers. ad Welleri gramm. gr. I. p. 5. sqq.

813. Dedi *κρύψω* pro vitioso *θάψω.* Etiam Lacisius vertit *celabo.*

Οὐ Παλαμήδης εὕρηκεν, οὐ μὲν οὖν οὐδὲ Φοίνιξ,
Οὐ Κάδμος, οὐδ' αὐτὸς Ἑρμῆς ὁ ὢν ἐξ Ἀρκαδίας,
Ἰσόχρονοι τυγχάνοντες ἀμφότεροι τῷ χρόνῳ.
Ἀλλ' ἦσαν, ὡς ὁ Τζέτζης σοι δεικνύει, καὶ πρὸ Κάδμου,
Χρησμὸν ῥηθέντα πρὸς αὐτὸν τὸν Κάδμον παρεισφέρων,
„Φράζεο δὴ τὸν μῦθον, Ἀγήνορος ἔκγονε, Κάδμε,
„Ἠοῦς ἐγρόμενος προλιπὼν ἴθε Πυθὼ δῖαν,
„Ἐνθάδ' ἔχων ἐσθῆτα καὶ αἰγανέην μετὰ χερσί.
Καὶ τὰ λοιπὰ δὲ τοῦ χρησμοῦ, ὅπερ ἐν στήθει φέρων
Τῷ γράφειν οὐχὶ βούλομαι παραταλοῦν τοὺς χάρτας.
Οὕτω γινώσκων παλαιὰν τὴν εὕρεσιν γραμμάτων,
Καὶ τῶν Ἑλλήνων ταῖς γοναῖς, οὐχὶ τοῖς Αἰγυπτίοις,
Ὅμως βουβάλοις πείθομαι καὶ τοῖς ἀσκεπτοτέροις,
Μὴ θέλων πάντῃ τοὺς μωροὺς προῤῥίζους ἀνατρέπειν,
Καὶ Παλαμήδους εὕρεσιν καὶ Κάδμου ταῦτα λέγω.

ΠΕΡΙ ΣΙΣΥΦΟΥ ΤΟΥ ΚΩΟΥ. κθ'.

Σίσυφον Κῷον λέγουσι τοῦ Τεύκρου γραμματέα,
Καὶ πρὸ Ὁμήρου γράψαι δὲ τοῦτον τὴν Ἰλιάδα
Τεύκρῳ συνεκστρατεύσαντα καὶ καθορῶντα πάντα·
Ἀφ' οὗ πρὸς πλάτος ὕστερον Ὅμηρον μεταφράσαι.
Ταῦτα μὲν Ἰωάννης τις Μελέλης χρονογράφος.

ΠΕΡΙ ΔΙΚΤΥΟΣ ΤΟΥ ΚΡΗΤΟΣ. λ.

Οὗτος ὁ χρονικός φησι, καὶ Δίκτυν δὲ τὸν Κρῆτα
Ἰδομενεῖ ἕπεσθαι καὶ τὰ τῆς μάχης γράψαι·
Ἐξ ὧν, ὡς ἔφην, ὕστερον Ὅμηρον μεταφράσαι.

---

819. In oraculis veteribus adiunctis Serv. Gallaei edit. oracul. Sibyll. p. 38.

822. Λοιπάδε, cd. A.

HIST. 29.

833. De hoc nomine vide Bentleii epist. ad Millium p. 517. sq. ed. Lips.

ΠΕΡΙ ΤΕΥΚΡΟΥ ΓΡΑΜΜΑΤΕΩΣ ΤΟΥ ΦΑΛΑΡΙΔΟΣ. λά.

Οὗτος ὁ Τεῦκρος γραμματεὺς Φαλάριδος ὑπῆρχεν
Ἐπὶ τῶν διοικήσεών τε πάντων τῶν πραγμάτων.
Φαλάριδος, ὃς κλῆσιν μὲν ἐκέκτητο τυράννου,
Τοῖς δ' ἔργοις ἄλλος δίκαιος ὑπῆρχεν Ἀριστείδης.
Τὸν Ἀττικὸν γὰρ χαλκουργὸν Περίλαον ἐκεῖνον,
Ταῦρον δημιουργήσαντα χαλκοῦν, ἔργον ὁποῖον,
Θύραν τε παραπλεύριον ἐνθέμενον τῷ ταύρῳ,
Αὐλίσκους τε τεκτήναντα τοῖς μυξωτῆρσι τούτου,
Ὥστε τινὰ ἐμβάλλεσθαι τῷ ταύρῳ τῷ χαλκέῳ
Καὶ πῦρ ὑποστρωννύεσθαι καὶ τοῦτον ὀδυνᾶσθαι,
Τὴν δὲ βοὴν τοῦ πάσχοντος αὐλεῖν ἐν τοῖς μυκτῆρσι,
Αὐτῷ τε προσκομίσαντα δῶρον τὸν ταῦρον τοῦτον
Φαλάριδι γε θέλοντι πέμπειν Δελφοῖς τὸν ταῦρον,
Αὐτὸν αὐτὸν δ' ἀπείργοντα πέμπειν θεῷ τὸν ταῦρον,
Λέγοντα, τιμωρεῖσθαι μὲν τῷ ταύρῳ τοὺς ἀνθρώπους,
Αὐτὸν δὲ καταυλούμενον χαίρειν ταῖς τιμωρίαις,
Ὁ Φάλαρις ἐνέβαλε πρῶτον αὐτὸν τῷ ταύρῳ.
Ἐξάξας ἡμιθνῆτά τε κατὰ πετρῶν ἐκρίπτει.
Εἰς χαλκουργὸν Περίλαον εἰργάσατο μὲν τοῦτο.
Τὸν δ' ἰατρὸν Πολύκλειτον τὸν ἀπὸ τῆς Μεσήνης,
Νοσοῦντα ἰασάμενον τοῦτον, δωρεῖται πόσοις
Χρήμασι καὶ χρυσώμασιν, ἀργυρωμάτων πλήθει,
Δούλοις, θεραπαινίσι τε καὶ ἄλλοις δὲ μυρίοις.
Ἔγραψε καὶ τῷ Τεύκρῳ δὲ σύνταξιν ἐτησίαν
Ὁπόσην οἱ ταξίαρχοι λαμβάνουσι, διδόναι·
Τοσαῦτα δοὺς, μὴ ἄξιον ἔγραψεν ἔχειν δοῦναι·
Καὶ τοῦτο δὲ ᾐτήσατο καὶ πρὸς ἑτέρους λέγειν,
Ὡς Φάλαρις ἐπάξιον λέγει μὴ ἔχειν δοῦναι

HIST. 31.

850. Ut hic *αὐτός*, repetitur *εἰς* Chil. VII, 332. *ὁ εἰς εἰς ἕκαστος αὐτῶν.*

856. Vid. Phalaridis epist. 107. 108. 109. — Ante *ἀπὸ* addidi articulum.

Τῆς ἰατρείας, ἢ αὐτοῦ ἰάτρευσε τὴν νόσον.
Ταῦτα καὶ πρὸς Πολύκλειτον Φαλάριδος τὰ ἔργα·
Ὡς δὲ τὸν Πολύκλειτόν τις διέβαλε προδότην,
Οὐ μόνον οὐκ ὑπέκλινε τὰς ἀκοὰς ἐκείνῳ,
Ἀλλ' ὑπ' ὀργῆς ἐχάραξεν ἐπιστολὴν βαρεῖαν·
Πολύκλειτος ὁ ἰατρὸς ὃν σὺ προδότην λέγεις,
Νόσον ἐμοῦ ἰάσατο, νόσον τῶν ἀνιάτων.
Ἅνπερ γνωσιμαχήσας οὖν τὴν σιωπὴν σὺ στέρξῃς,
Εὖγε ὡς ἐσωφρόνησας· εἰ δ' οὔ, κατάκουέ μου.
Νόσους ἰᾶται ἰατρός, θάνατος ἀφροσύνην.
Τῷ δὲ Παυρόλᾳ τῷ υἱῷ γράφει· φρόντισον λόγων,
Εἰ μή που μέλλεις τυραννεῖν, ὃ δυσχερὲς τυγχάνει.
Τοῦ γὰρ λαβεῖν μοι γίνωσκε, τέκνον, τὴν τυραννίδα
Τυγχάνον δυσχερέστερον τὸ ἀποθέσθαι ταύτην.
Τῇ Ἐρυθείᾳ τε μητρὶ γράφει προσάπτειν σέβας·
Καὶ αἰτιᾶται δὲ αὐτὸν χρήματα μὴ ζητοῦντα
Εἰς δόσιν φίλων τῶν αὐτοῦ, γράφων αὐτῷ τοιῶσδε·
Ἀκούω, τέκνον, δεῖσθαί σε χρημάτων εἰς τοὺς φίλους,
Αἰδεῖσθαι δέ μου ἐξαιτεῖν· ἀλλὰ μὴ οὕτω ποίει.
Μὰ τοὺς θεοὺς γὰρ οἴομαι οὕτω σου δρῶντος, τέκνον,
Μᾶλλον λαμβάνειν παρὰ σοῦ, ἢ σοὶ αὐτὸς διδόναι.
Γράφει καὶ Περισθένει δὲ δουκὶ τινῶν θεμάτων,
Τὸν Ἀριφάνην, Εὔβουλον ὡς πρὸς αὐτὸν ἐκπέμψαι,
Εἶναι τοὺς ἄνδρας γὰρ αὐτῷ τῶν ἐπιβουλευόντων.
Τούτων ἐκδρασκασάντων δὲ ὁ Περισθένης στέλλει
Τὰς τούτων, ὧνπερ ἔφημεν, πρὸς Φάλαριν συζύγους.
Ὥσπερ ἐτάζων Φάλαρις περὶ τῆς προδοσίας,
Εἰ σφῶν συζύγοις καὶ αὐταὶ ὑπῆρχον συνειδυῖαι;
Ὡς λεγουσῶν κατήκουσεν, αὐτὰς αὐτοχειρίᾳ
Ἐκεῖνον μέλλειν διασπᾶν· τί δὲ παθοῦσαι; εἶπεν·

---

867. Inserui τις.

875. Cd. A. in contextis habet φροντίζον, in margine a sec. manu φροντίζων ἢ φροντίζον. Scripsi φρόντισον. Conf. Phalar. epp. 2. 3.

879. Epist. 103. 104.

886. Epist. 15. Cf. etiam Aelian. V. H. 2, 4.

ΠΕΡΙ ΤΕΥΚΡΟΥ ΓΡΑΝ· τειπεσσῶν τοιάδε,
ΛΑΡΙΔ ιπασα πατρὶς δέ,
ιν τῇ πατρίδι;
Οὗτος ὁ Τεῦκρος γραμμ ιοι δευτέρως Περισθένει·
Ἐπὶ τῶν διοικήσεων τ γυναῖκάς μοι τὰς δύο,
Φαλάριδος, ὃς κλῆς καὶ γὰρ ἐρωτηθεῖσαι
Τοῖς δ' ἔργοις ἀλ ιν αὐταί με κτείνειν θέλων.
Τὸν Ἀττικὸν γα ξὶ ταύταις οὖν σῶσον πάντα,
Ταῦρον δημιο ιτῶν, ἀνταποστρέψας πάλιν.
Θύραν τε π ου Φαλάριδος τῶν φίλων τεθνηκότος,
Αὐλίσκους ἔχοντος, ἀνέκδοτον δὲ παῖδα,
Ὥστε τι ρον ἔστειλε τῇ γυναικὶ ἐκείνου,
Καὶ τὴν σύζυγον ἐκείνου τοῦ θανόντος,
Τὴ ἀνέκδοτον ἐᾷ τὴν θυγατέρα.
Α ιαν αἴτιον προβάλληται τοῦ γάμου,
πέντε τάλαντα ταῦτα καὶ δὸς ἐκείνῃ
κα ταύτης τῆς παιδός, ἐκ ταύτης τοῦ συζύγου
τῷ Φαλάριδι λέγων εἰς παραθήκην.
ὡς παραθήκην μὲν δὸς τοῦ ἀνδρὸς ἐκείνης,
ἡμῶν δὲ δωρεὰν ἀργύριον βραχύ τι,
ντε θεραπαίνας δὲ καὶ σπεῦσον εἰς τοὺς γάμους.
δὲ σοι τοὺς θεούς, οὕτως αὐτά σε δοῦναι,
εἰ ἐδίδου τις, ἔλαβες προθυμίᾳ.
Καὶ πᾶσι φίλοις ἔστελλε, λαμβάνειν δοκῶν μᾶλλον·
ιετο τῶν ἀφίλων δὲ τοὺς μὴ δηλοῦντας τοῦτο,
τινος χρείαν ἔχοιεν, καὶ ὅσοι μὴ αἰτοῖεν.
Τινὰς κακούργους ἔκαυσεν ἐν ταύρῳ τῷ χαλκείῳ,
Καὶ τὸν φαρμάκοις κτείναντα αὐτοῦ τὴν ὁμευνέτην,
Μητέρα τοῦ Παυρόλα δὲ ἀεὶ δι' ἔχθρας εἶχε·
Τοῖς δ' ἄλλοις πᾶσι δίκαιος ὑπῆρχεν Ἀριστείδης.

---

910. Cd. A. in margine λα- ... Voluit scriba λαβών, aut ...

922. Sic margo cd. A. In contextis τῷ — κτείναντι.

924. Δὲ pro γὰρ e margine cd. A.

καὶ Στησίχορος ἐχθρὸς ὢν κατεσχέθη,
ὀπόννησον περῶν ἐκ τῆς Παχύνου
Δρωπίδα τε καί γε τισὶν ἑτέροις.
ἀπεσφάγη μὲν Φαλάριδι εὐθέως,
ὀπίδας ἐν τιμῇ στέλλεται τῇ πατρίδι.
ὀρος δ' ὁμόψυχος ἦν τούτῳ τε καὶ φίλος.
νους δὲ βουλόμενος Φαλάριδι συγγράφειν,
ὀγεται παρακλήσεσι τούτου, μὴ γράψαι ταῦτα,
Εἰ θέλεις γράφειν, λέγοντος, γράψον ἐμοῦ τὸν τρόπον,
Οἷος αὐτὸς καθέστηκα καὶ ποδαπὸς δοκῶ δέ.
Θανόντος Στησιχόρου δέ, ὁ Φάλαρις ὑστέρως
Μεθ' ὅλα ἔτη δώδεκα τῆς τελευτῆς ἐκείνου
Ὡς δι' αὐτὸν χαρίζεται λύτρα Ταυρομενείταις,
Ποσῷ ταλάντων ἑκατόν, γραφαῖς τῶν θυγατέρων
Πολλὰς ὀφείλειν χάριτας γράψας τῷ Στησιχόρῳ.
Τοιαῦτα μὲν ὁ τύραννος ὁ Φάλαρις ἐκεῖνος.
Οἱ χρηστοήθεις δ' ἄρχοντες νῦν ἀμφοτέρου μέρους,
Μὴ μόνον προῖκα μηδαμῶς μηδὲν ἡμῖν διδόντες,
Σεμνοῖς δ' ἀνθρώποις δωρεὰς ἀεὶ διδόντες πόσας,
Ὡς Ἅρπυιαι τὸ πρότερον ἐκ γέροντος Φινέως,
Καὶ βρῶσιν ἀφαρπάζουσι στόματος ἡμετέρου,
Προῖκα τὰς συγγραφὰς ἡμῶν λαμβάνειν ἐξαυτοῦντες,
Ἐξ ὧν ἡμεῖς τρεφόμεθα, πολλῶν μεταγραφέντων.
Ὡς Ἐρυσίχθων γὰρ ἐγὼ ταῖς θυγατράσι ταύταις
Ταῖς παντευμόρφοις τρέφομαι, πλὴν οὐχὶ πορνευούσαις,
Ἀπόρνοις δὲ καὶ καθαραῖς, αἷς τρέφομαι καὶ μόναις,
Ἄλλοθεν οὐ δεχόμενος, οὐδ' ἀφ' ἑρμηνευμάτων.
Φαλάριδι, ὡς ἔφημεν, κλῆσιν τυράννου σχόντι,
Ἐξ μῆνας συνδιέτριψεν ὁ μέγας Πυθαγόρας,
Ὁ πᾶσι δυσαρέστητος τελῶν εἰς συμβιώσεις.
Τίς ἂν τὰ τοῦ Φαλάριδος πάντα λεπτῶς ἐξείποι;
Ἄξιον καὶ τὸν θάνατον νῦν τοῦ ἀνδρὸς μοι γράφειν.

956. φᾶναι in cd. A. marg. positum. Posait γράφειν haberi pro explicatione verbi φᾶναι.

Ἴρηξ ποτὲ περιστερὰς ἐδίωκε μυρίας·
Τοῦτο δ' ἰδὼν ὁ Φάλαρις εἶπε τοῖς παρεστῶσιν·
Ἄνδρες, ὁρᾶτε, πόσα δρᾷ ἡ ἀγενὴς δειλία;
Εἰ μόνη μία γὰρ πασῶν τῷ ἴρηκι ἀντέστη,
Εὐθὺς ἂν ἔσχε τὴν ὁρμὴν τῶν γαύρων διωγμάτων.
Τοῦτό τις γέρων παρεστὼς ὡς ἤκουσε τὸ ῥῆμα,
Ἁρπάξας λίθον ἔβαλε τὸν Φάλαριν εὐθέως,
Καὶ καθεξῆς καὶ οἱ λοιποί, καὶ ὥς τινες μέν, θνήσκει,
Ὡς ἄλλοι δέ τινές φασι, δεσμώτης κατεσχέθη,
Καὶ μολιβοῦν ἱμάτιον ἀμφιεσθεὶς ἐτάχθη,
Ἕως ἐξήχθη τοῦ πικροῦ καὶ ταλαιπώρου βίου.
Τούτου ὁ Τεῦκρος γραμματεὺς ὑπῆρχεν, ὥσπερ ἔφην,
Ἐπὶ τῶν διοικήσεών τε πάντων τῶν πραγμάτων,

ΠΕΡΙ ΑΡΧΙΜΗΔΟΥΣ, ΠΕΡΙ ΟΥ ΠΡΟΕΙΠΟΝ ΤΗι λέ. ΙΣΤΟΡΙΑι. λβ'.

Οὗτος ὁ Συρακούσιος πάνσοφος Ἀρχιμήδης
Ἱέρωνι τῷ βασιλεῖ τῶν Σικελῶν ὑπῆρχεν
Σύμβουλος, φίλος, γραμματεύς, μηχανουργὸς παντοῖος.
Τριακοστῇ καὶ πέμπτῃ δὲ ἱστοριῶν τῶν πρώην
Εὕρῃς τὰ Ἀρχιμήδους μοι πρὸς πλάτος γεγραμμένα.

ΠΕΡΙ ΓΡΑΜΜΑΤΕΩΝ ΔΑΡΕΙΟΥ ΚΑΙ ΞΕΡΞΟΥ ΠΕΡΣΙΚΩΝ ΒΑΣΙΛΕΩΝ. λγ'.

Τὰ περὶ τοῦ Δαρείου τε καὶ τὰ περὶ τοῦ Ξέρξου,
Ἐν τῇ τριακόστῃ πρώτῃ ἱστοριῶν τῶν πρώην,
Καὶ ἐν τῇ μετὰ ταύτην δὲ ἐγράφη ἱστορίᾳ.
Καὶ στρέψας ταύτην μάνθανε· τὰ δὲ τῶν γραμματέων
Ἤδη στενῶς λεκτέον σοι Δαρείου καὶ τοῦ Ξέρξου.
Οὗτοι ταῖς μάχαις ταῖς αὐτῶν καθήμενοι τοῖς θρόνοις
Ἑώρων τὰ τῆς συμβολῆς, καὶ γραμματεῖς δὲ κύκλῳ
Ἑστῶτες ἀπεγράφοντο πάντα τὰ τοῦ πολέμου.

---

959. Erat ἀγεννής.

ΠΕΡΙ ΚΕΦΑΛΟΥ. λδ'.

Ὁ ῥήτωρ Κέφαλος πατὴρ ἦν ῥήτορος Λυσίου,
Ἀπὸ Θουρίου πόλεως μιᾶς τῶν Ἰταλίδων,
Πλούτῳ κομῶν καὶ εὐγενής, σωτὴρ τῶν Ἀθηναίων.
Ἐπὶ γὰρ τῶν τριάκοντα τυράννων, πρὸ Εὐκλείδου,
Τὸν Πειραιᾶ κατέλαβόν τινες τῶν Ἀθηναίων,
Καί γε πρὸς τοὺς τριάκοντα τὰς μάχας συγκροτοῦντες
Ἔμελλον ἄρδην ὑπ' αὐτῶν ἐκθαμνισθῆναι βίου.
Ὀκτακοσίας δὲ αὐτοῖς ὁ Κέφαλος ἀσπίδας
Δοὺς νίκην ἐπρυτάνευσε κατὰ τῶν τυραννούντων.
Ὕστερον ἐζημίωσαν τοῦτον δραχμαῖς χιλίαις,
Λέγοντες ἀπροβούλευτον ψήφισμα γεγραφέναι.
Ὁ δέ, οὐχ οὕτως ἔπρεπεν, ἀλλὰ θανάτῳ, εἶπε.
Τί γὰρ τοιούτους ἔσωζον ἐξ ἀπηνῶν τυράννων;
Οὗτος καὶ δικαιότερος ἁπάντων ἦν ῥητόρων,
Παρ' ὅλην τούτου τὴν ζωὴν μὴ σχὼν κατηγορίας·
Ἀριστοφῶν δὲ τοὔμπαλιν ὑπῆρχε τῷ Κεφάλῳ
Ἀεὶ κατηγορούμενος, νικῶν δὲ ἀντιδίκους.

ΠΕΡΙ ΚΤΗΣΙΦΩΝΤΟΣ, ΟΥ ΤΗΣ ΠΟΛΕΩΣ. λε'.

Ἡ Κτησιφῶν τυγχάνει μὲν πόλις Περσίδος μία·
CHILIAS VI. Νῦν δὲ περὶ τοῦ ῥήτορος λέγομεν Κτησιφῶντος,
Τοῦ στεφανοῦν ψηφίσματι γράφοντος Δημοσθένην·
Αἰσχίνης εἰς ὃν ἔγραψε τὸν κατὰ Κτησιφῶντος.

ΠΕΡΙ ΤΙΜΑΡΧΟΥ. λς'.

Τίμαρχος Ἀριζήλου μὲν υἱὸς ἦν ῥήτωρ, πόρνος.
Φίλος τῷ Δημοσθένει δέ, τιμώμενος μεγάλως,
Οὗ κατὰ Διονύσιον ἁγνεύεται τὸ στόμα

HIST. 34.
983. Vid. Lysiae vitam a Tayloro conscriptam, Vol. VI. orat. graec. ed. Reisk. p. 104.
986. Euclides archon fuit Olymp. XC, 2. ante Chr. 403.

Ἐξαποπτύον βόρβορον ἀῤῥήτων αἰσχροτήτων,
Οἵας ἂν οὐδὲ πόρνη τις εἴπε πορνείου τόποις.
Πρὸς ἄνθρωπον σεμνότατον γὰρ λέγει τὸν Αἰσχίνην, —
Ὃν μᾶλλον ἄσεμνόν φασι τὰ γένη τῶν βεβήλων,
Ἀντιστροφαῖς τὰ πράγματα καλοῦντες ἐναντίως· —
Πρὸς τοῦτον οὖν τὸν θαυμαστὸν Αἰσχίνην οὗτος λέγει·
Ἡ μήτηρ σου Αἰσχίνη γὰρ τοῖς μεθ' ἡμέραν γάμοις
Πρὸς τῷ πορνείῳ ᾧ φησὶν ἥρωϊ κεχρημένη
Σὲ ἀνδριάντα τὸν καλὸν ἐξέθρεψε, καὶ τἄλλα.
Κατὰ Δημάδου λέγει δὲ καὶ φλυαρεῖ ὁπόσα,
Ἐπὶ υἱῷ τὸν Φίλιππον γαμβρὸν κατονομάζων,
Ἀνθ' ὧν ὑπῆρχεν ἐραστὴς εἰρήνης ὁ Δημάδης
Φάσκων, ἀνάνδρους οὐ καλῶ καθάπερ Δημοσθένης,
Ἀναῤῥιπίζων πόλεμον, εἰρήνην ἀπελαύνων,
Δειλός εἰμι καὶ ἐραστὴς καθέστηκα εἰρήνης,
Οὐ στέργω μάχης ἀραγμούς, οὐδέ πολέμων κρότους,
Οὐδὲ πρὸς πολυάνδριον θέλω φιλοτιμεῖσθαι.
Περὶ εἰρήνης λέγοντι, ὦ ἄνδρες, πείθεσθέ μοι,
Μὴ ὀχλοκόπῳ δὲ ἀνδρὶ μάτην ὀχλοκοποῦντι·
Ἀντιστροφὴ γὰρ γίνεται πραγμάτων τῷ πολέμῳ.
Θάπτει πατὴρ τὸν παῖδα γάρ, γέρων τὸν γηροτρόφον.
Εἴθ' ὤφελον Δημάδην μὲν ἔχειν καὶ οἱ Θηβαῖοι·
Ἔτι γὰρ ἄν, Δημόσθενες, ἦσαν αἱ Θῆβαι πόλις·
Νῦν δ' εἰσὶ πολυάνδριον καὶ τόπος οἰκοπέδων.
Δακρύσει καὶ πολέμιος νῦν παριὼν τὸν τόπον.
Τοιαῦτα κατησχρεύσατο καὶ κατὰ τοῦ Δημάδου
Τὸ στόμα τὸ ἁγνόστομον παρὰ Διονυσίῳ,
Ἀνθ' ὧν εἰρήνην ὁ ἀνὴρ προυτίθει τοῦ πολέμου.

HIST. 36.

7. Consentit cd. A. cum edit. in *αἰσχροτωτάν*, pro quo posui *αἰσχροτήτων* propter *οἵας*, quod sequitur, et propter vs. 37. In marg. positum *αἰσχρομάτων*.

13. Demosth. pro corona c. 40. p. 262. Harl.

16. *Κατὰ* pro *καὶ τὰ* scripsi. De Demade vid. Ruhnken. histor. crit. orat. gr. Vol. VIII. p. 150. sqq. Reisk. Hauptmanni dissert. de Demade, Vol. IV. p. 243. sqq.

Πάλιν σεμνοστομώτερόν φησι κατὰ Νεαίρας,
Ἀπὸ τριῶν ἐργάζεσθαι ὀπῶν τὴν ἐργασίαν.
Καὶ ἄλλων αἰσχροτήτων δὲ βορβόρους ἀποπτύει,
Οὕσπερ ὁ Διονύσιος ἀρώματα νομίζει.
Τὴν δ' ἐργασίαν ἥν φησι τριῶν ἐκτρυπημάτων,
Ἐκ τοῦ Λυσίου ῥήτορος σεμνῶς, γλαφυρωτάτως
Ῥηθεῖσαν ἔκλειψεν, αἰσχρῶς ἐξαναπτύξας ταύτην·
Ἡ Ἀντιόπη μόνον γὰρ εἶπε Λυσίας πόρνη,
Ἤτοι ἡ ἄμφω ταῖς ὀπαῖς τῇ μίξει κεχρημένη,
Παναίσχρως δ' οὗτος ηὔξησεν ἀναφανδὰ ληρήσας,
Τὸ ἔργον Νέαιραν τελεῖν τριῶν ἐκτρυπημάτων.

Οὗτος ὁ Ἀριζήλου μὲν Τίμαρχος παῖς, ὁ πόρνος,
Ὁ φίλος Δημοσθένους δὲ τοῦ παρασεμνοστομοῦντος,
Καὶ γραμματεῖς καὶ ῥήτορες ὄντες τῶν Ἀθηναίων,
Ἑπτά τε ἄλλοι πρέσβευται τοῦ γένους Ἀθηναίων,
Οἷς καὶ ἡ πᾶσα χώρα δὲ τῶν Ἀθηνῶν συνήργει,
Κατὰ Αἰσχίνου ἔστησαν δίκην παραπρεσβείας,
Ἣι καὶ Συντεὺς κατήγορος ἐνίκησεν ἂν πάντας·
Ὅμως οὕτω τὸν ἥττονα λόγον Αἰσχίνης ἔχων,
Πρῶτα καθεῖλε Τίμαρχον δείξας πεπορνευκότα,
Ὡς Μισγολάου φίλον μὲν ὄντα τοῦ φιλονέου,
Καὶ φίλον Πιτταλάκου δὲ πάλιν τοῦ ὀρνιθία.

Οὕτω πρῶτα τὸν Τίμαρχον δείξας πεπορνευκότα
Τοῖς Ἀθηναίοις ἄτιμον ἐποίησε γενέσθαι,
Ὕστερον κτεῖναι δὲ αὐτὸν αὐτὸν δι' ἀτιμίαν.
Ταῦτα μὲν οὖν εἰς Τίμαρχον εἰργάσατο Αἰσχίνης·
Τὸν Δημοσθένη δ' ἔδειξε λύκον χανόντα, μάτην.
Ἐκπέφευγε τὴν δίκην γάρ, νενίκηκε κἀκεῖνον,
Εὐβούλου μόνου ῥήτορος τούτῳ συναραμένου.

---

36. Vid. Reisk. indic. graecit. Demosth. s. τρύπημα.

46. Vid. Taylori praefatio ad Aeschinis Timarcheam. Vol. III. orat. gr. p. 23. 66. 79.

61. Cd. A. in textu λύμον, in marg. λύκον.

ΠΕΡΙ ΔΗΜΟΣΘΕΝΟΥΣ ΚΑΙ ΕΤΕΡΩΝ. λζ.

Ἐκ λήθης νῦν συνέμιξα καὶ τὰ τοῦ Δημοσθένους.
Ὅμως τοῦ Δημοσθένους σὺ καὶ πάλιν ἱστορίας
Ὡς ἑκατόν, εἰ βουληθῇς, ἐκ Τζέτζου κατακούσεις,
Ὡς καὶ περὶ τῶν ἄλλων δὲ ὥνπερ ἁπλῶς ζητήσεις.
Ὁ Τζέτζης οὐ στενοῦται γάρ, εἰ καὶ στενοῦται νόσῳ
Τῇ ὀρθοπνοίᾳ τῇ δεινῇ, τῇ ἀπαγχούσῃ τοῦτον·
Ἀλλ᾽ ἐξ ἀδήλων τῶν πηγῶν ἐξαναβρύει χύσεις.
Λοιπὸν πάλιν κατάκουε περὶ τοῦ Δημοσθένους,
Ὁ Δημοσθένης στρατηγὸς υἱὸς ἦν Ἀλκισθένους,
Ὃς ἦν καὶ φιλοινότατος καὶ τῶν φιλαμπελούντων.
Ὁ ῥήτωρ Δημοσθένης δὲ υἱὸς ἦν Δημοσθένους,
Ἀνδρὸς Παιανιέως τε καὶ ἐλευθέρου φύσιν,
Μητρὸς Σκυθίδος δὲ υἱός· ὅπως δὲ τοῦτο μάθε.
Μητρὸς πατὴρ τοῦ ῥήτορος ἦν κεραμεύς τις Γλίκων,
Ὅσπερ προδοὺς τὸ Ποντικὸν Νυμφαῖον πολεμίοις
Καταγνωσθεὶς θανάτου τε πρὸς Βόσπορον ἐκφεύγει,
Καὶ δῶρον εἶλε παρ᾽ ἐχθρῶν τοὺς λεγομένους κήπους,
Καὶ γυναικὶ συζεύγνυται Σκυθίδι τῶν πλουσίων.
Δύο τεκὼν ἐκ ταύτης δὲ κόρας Ἀθήναις πέμπει·
Τῶν ὧν ἡ μία γίνεται μήτηρ τοῦ Δημοσθένους,
Ἡ δ᾽ ἄλλη ἄλλῳ ζεύγνυταί τινι τῶν Ἀθηναίων.
Σκύθης μὲν ἦν, ὡς ἔφημεν, ὁ ῥήτωρ Δημοσθένης.
Τὸ δ᾽ ἦθος τούτου μάνθανε καὶ τρόπους βραχεῖ λόγῳ.
Χλανίδας τῶν εὐσήμων μὲν θηλυπρεπῶς ἐφόρει
Καὶ σύρων τὸ ἱμάτιον μεγάλως ἐφωνάσκει.
Ἔβηττε δὲ καὶ κεφαλὴν ὑπέκνηθε τὸ πρῶτον.
Ἔπειτα δὲ κατήρχετο συνηγορεῖν ἢ λέγειν,
Κινῶν τὴν χεῖρα συνεχῶς. δεινὸς δ᾽ ἦν πανουργίας,
Ὡς ἅπας ῥήτωρ δείκνυσι καὶ τὴν γραφὴν προφέρει.

HIST. 37.

75. Cd. A. aperte *παιανιέως.*
76. Cd. A. *συντίδος*, in marg. *σκυθίδος.*
79. Erat *θανάτῳ.*
85. *οὖν* in marg. cd. A. pro *μὲν*, haud inepte.

Ἐν τῷ κατὰ τῶν παρανόμων γὰρ τοῦ Ὑπερίδου
Ἀριστογείτων οὑτωσὶ τάδε κατ᾽ ἔπος λέγει·
Κνώδαλα τὰ ἐξάγιστα τῶν τρισαλιτηρίων,
Ὁ Δημοσθένης, ἅμα τε καὶ ὁ Λυκοῦργος, λέγω.
Καὶ πάλιν Διοπείθη δὲ τὸν Σουνιέα λέγει,
Ἐκ τῆς πρὸς τὸν Ἑλλήσποντον συστάσης ναυμαχίας
Ὠνήσασθαι αἰχμάλωτον Λυκοῦργον, Δημοσθένην.
Οὗτοι δὲ τὸ ἀργύριον ἐκείνῳ οὐκ ἐδίδουν,
Ἀλλὰ πρὸς δικαστήριον εἵλκυσαν μᾶλλον τοῦτον.
Καὶ ἐκινδύνευσε θανεῖν ὁ ἄνθρωπος ἐκ τούτων,
Εἰ μὴ συνηγωνίσαντο Δημέας, Καλλικλῆς τε.

Πάλιν κατὰ Τιμάρχου δὲ καὶ Δημοσθένους λέγει·
Ἄρχοντα ἀποστέλλετε τὸν Τίμαρχον, ὦ ἄνδρες,
Οὐκ ἐὰν νεῦρα ἔχητε καὶ τὰ σεμνὰ τηρῆτε,
Τίμαρχον, ὃς τῷ σώματι τὰ πλείω τούτου μέρη
Φέρει γυναικός, ἅπαν δὲ πράττει τῶν μισουμένων.
Ἀλλ᾽ οὐ Λυκούργῳ φίλος μέν, τῷ δέ γε Δημοσθένει.
Ὧν γὰρ τοῖς ἄλλοις βδελυρὸς ἐκεῖνος μισεῖ τοῦτον,
Ὁ Δημοσθένης δὲ φιλεῖ. ἀφίημι τὰ ἄλλα.

Ὁ δὲ Δημάδης ἀνελεῖν τὸν Δημοσθένην λέγει,
Συγκείμενον ἀνθρώπιον ἐκ συλλαβῶν καὶ γλώττης.
Καὶ πάλιν, κόλαξ πού φησι καὶ ἄνθρωπος δὲ γόης
Δυστήνους λόγους μελετῶν κυκᾷ τε καὶ ταράσσει,
Τυρβάσας, οἰκτισάμενος, ἄλλα ποιῶν μυρία,
Προσποιητά τε δάκρυα σὺν τούτοις ἐκδακρύων.
Πάλιν ἐναντιούμενος Ἁλονησίταις λέγει,
Ὑπὲρ μικρᾶς τῆς νήσου τε καὶ πόρων ἐλαχίστων
Μέλλετε διαφέρεσθαι πρὸς Φίλιππον, ὦ ἄνδρες,
Ἀνδρὸς ὀχλοκοποῦντός τε καὶ στασιώδους λόγοις.
Καὶ πάλιν, ὑπὸ ῥήτορος ἀνδρὸς καὶ γυναικείου.
Πάλιν, γυναικιζόμενος χλανίσι τῶν εὐσήμων

---

93. Ruhnken. hist. crit. or. gr. Vol. VIII. p. 188. Reisk.

104. Ex cd. A. accessit. δὲ.

115. Cd. A. κυκᾷ, recte.

Καὶ σύρων τὸ ἱμάτιον, καὶ φωνασκῶν ὡς ἔθος,
Δειλοὺς ἀνάνδρους τε καλεῖ τοὺς πρεσβευτὰς συμβούλους.
Καὶ πάλιν, τρίβων κεφαλὴν καὶ συνεχῶς ἐκβήττων,
Ὡς καὶ κατακλύσειν λόγοις μέλλων τὴν ἐκκλησίαν,
Ἑλλάδα συνταράξειν τε καὶ σύμπαντας φιμώσειν,
Οἳ καὶ αὐτὸν ἐπίστανται καὶ τὴν αὐτοῦ πατρίδα
Καὶ τίς τελῶν καὶ πόθεν ὢν ὑπὲρ αὐτῶν φυσᾶται,
Καὶ τὰς ὀφρύας ἀνασπᾷ, καθάπερ ὁ Κριτίας,
Ὁ εἷς ἐκ τῶν τριάκοντα, μὴ παῖς μαχαιρουργοῦ δὲ
Ὁ βδελυρὸς καὶ βάναυσος. καὶ πάλιν, πλάνης, γόης,
Ῥήτωρ οὐκ ἐπιχώριος, ξένος τελῶν καὶ Σκύθης,
Ὡς παῖς δ' οὐκ ὢν μαχαιρουργοῦ, μητρὸς δὲ τῆς Σκυθίδος,
Κυκᾷ, ταράττει, θορυβεῖ τὴν σύμπασαν Ἑλλάδα.
Αἰσχίνης δὲ τὸν Τίμαρχον ἡταιρηκότα λέγει,
Μᾶλλον πεπορνευκότα δέ. καὶ περὶ Δημοσθένους
Κομψά φησι χλανίσκια καὶ μαλακοὺς χιτῶνας,
Τεκμήρια σαφέστατα δεινῆς ἀπαιδευσίας,
Κοὐδὲν μέρος τοῦ σώματος ἔχων ἐκ τῶν ἀπράτων
Οὐδ' ὅθεν ἵεται φωνήν, δῆθεν αὐτοῦ τὴν γλῶτταν.
Καὶ κέρκωψ καὶ παιπάλημα καὶ βάταλος, ἄργας τε
Καὶ πονηρὸς καὶ γόης δέ. καὶ ἀλλαχοῦ φησί που,
Οὗτος ῥᾳδίως κλαίει μέν, εἴπερ γελῶσιν ἄλλοι.
Ἑλκοποιεῖ τὸ κάθαρμα σύμπασαν δὲ τὴν πόλιν.
Κνωσίωνι κατέκλινε τὴν ἑαυτοῦ γυναῖκα
Ὁ Δημοσθένης ὄν φημι. τὸ δ' ἄλλο σιγητέον.
Καὶ πάλιν, Δημοσθένης δὲ ἀνίσταται, φησί που,
Ὡς ἔθος, τρίψας τε αὐτοῦ τὴν κεφαλὴν εἰρήκει.
Τίς πᾶν ῥητόρων λέξεις ῥηθὲν εἰς Δημοσθένην;

---

127. Inserui *καὶ* ante *κατακλύσειν*, quod pro *καταλύσειν* praebet margo cd. A.

137. Cf. Aeschines adv. Timarch. p. 142. ed. Reisk. ibique a Tayloro citatus Gellii 1, 5.

141. Aeschin. *π. τ. παραπρεσβ.* p. 209. 224. 273. Cd. A. non agnoscit *ἀπράκτων*, quod in marg. ed. Bas. notatum Lacisius reddidit *ex otiosis*. Loci sensus est: *nullam corporis partem habet non venalem.*

143. Vid. Plut. Demosth. 4. In cd. A. accentus perperam positus in *ἀργάς*.

Αὐτὸς αὐτόν πη πλούσιόν φησιν ὁ Δημοσθένης,
Τάλαντα δεκατέσσαρα οὐσίαν κεκτημένον.
Ἄλλῃ δὲ πάλιν πού φησιν: εἰ ἦμεν τῶν πλουσίων,
Στεφάνους οὐκ ἐπλέκομεν, οὐδ᾽ ἦμεν τῶν ἀπόρων.
Ἡ τίτθαι καὶ τρυγήτριαι καὶ ἔριθοι ὑπῆρχον.
Τὴν σφὴν μητέρα λέγει δὲ τὸν ἑαυτοῦ πατέρα
Ἐν διαθήκαις σύγκοιτον ἐᾶσαι Θηριππίδῃ.
Καὶ ξένον ἄκων καὶ ἑκὼν αὐτὸν δεικνύει λόγοις·
Πατέρα μου διέβαλον ὡς ξένον, καὶ τὰ ἄλλα.
Αὐτοῦ θανούσης δὲ μητρός, δεῖται τῶν Ἀθηναίων,
Θάψαι αὐτὴν ἐν μνήμασιν ἐᾶσαι τοῖς πατρῴοις.
Χρεὼν παρέντα τὰ πολλὰ θάνατον τούτου φράσαι.
Ἅρπαλός τις ταξίαρχος ὑπῆρχεν Ἀλεξάνδρου.
Ὢν δὲ Φοινίκης στρατηγὸς καὶ φύλαξ τῶν χρημάτων,
Ἀποσυλήσας περισσὰ χωρεῖ πρὸς Ἀθηναίους.
Πολλοῖς ταλάντοις χρῆται δὲ φίλῳ τῷ Δημοσθένει.
Γράψαντος Ἀλεξάνδρου δὲ πρὸς Ἀθηναίους ταῦτα,
Αἰτοῦντος καὶ τὸν Ἅρπαλον στεῖλαι καὶ Δημοσθένην,
Ἔφυγεν εἰς Καλαύρειαν εὐθὺς ὁ Δημοσθένης,
Νῆσον κειμένην ἔγγιστα τῆς χώρας Τροιζηνίων.
Ἐν ἱερῷ δ᾽ ἐκάθητο δραπέτης Ποσειδῶνος.
Ὡς τέθνηκε δ᾽ Ἀλέξανδρος, ἦρξαν δὲ Μακεδόνων
Ἀντίπατρος καὶ Κάσσανδρος, οὔπω δὲ Δημοσθένης,
Οὐδὲ οἱ ἄλλοι ῥήτορες δεδώκασι τὴν δίκην,
Ἀρχίας ὁ Βουραῖος μὲν ἐκ πάσης τῆς Ἑλλάδος
Σταλεὶς ἀνεῖλε ῥήτορας εἰς ἀριθμὸν ἀπείρους.
Δημάδου δὲ αἰτήσαντος οἱ Ἀθηναίων μόνοι
Ῥήτορες ἀπετμήθησαν τὰς γλώσσας ἐν Ἀθήναις,
Νόμῳ καὶ ψήφῳ Ἀττικῶν οὕτω πως δικασάντων.
Ὁ Δημοσθένης δὲ αὐτὸς ὢν ἐν τῇ Καλαυρείᾳ,
Ὡς ὁ Ἀρχίας πέφθακε τῇ νήσῳ τῇ ῥηθείσῃ,
Ἐκ Ποσειδῶνος δ᾽ ἱεροῦ θανεῖν ἐξεῖλκε τοῦτον,

---

156. In Eubulid. p. 1313. Reisk. 158. Contra Aphob. I. init. 168. E cd. A. δὲ accessit.

Φάρμακον ἔχων πρὸ πολλοῦ σφενδόνῃ δακτυλίου,
Τοῦτο πιὼν μετήλλαξεν ἐξαποπνεύσας βίον.

ΠΕΡΙ ΒΥΖΑΝΤΙΟΥ ΠΥΘΩΝΟΣ ΟΝ ΔΗΜΟΣΘΕΝΗΣ ΟΙΜΑΙ ΚΑΙ ΠΑΡ' ΑΔΗΝ ΕΤΙ ΠΤΟΕΙΤΑΙ. λη'.

Ὁ Πύθων ὁ Βυζάντιος Φιλίππῳ τῷ μεγάλῳ
Ἦν γραμματεὺς καὶ ῥήτωρ δὲ καὶ συνεργῶν ἐν λόγοις,
Ὃν Δημοσθένης δεδορκὼς ἔτι παρ' Ἅιδην τρέμει.
Ὡς γὰρ Αἰσχίνης πού φησιν, ἔλεγε Δημοσθένης
Ἐν ὁλοσχοίνῳ βρόχῳ μὲν ῥάψαι Φιλίππου στόμα.
Ὡς δ' ἀπελθὼν εἰς Φίλιππον τὸν Πύθωνα κατεῖδε,
Καὶ τῶν βροντῶν κατήκουσε τῆς Βυζαντίδος γλώττης,
Τρὶς ἄφωνος ἐγένετο, τρισάκις ἀνεκτήθη,
Τρισάκις ἐξελάθετο τῶν, ἃ λαλεῖν ἐσκόπει.
Ὡς μόλις ἀνεκτήθη δὲ τὸ κάθαρμα, ὥς λέγει,
Καὶ σκοτεινὸν καὶ τεθνηκὸς προοίμιόν τι λέγει.
Ὅτι δ' Αἰσχίνης ἀληθής, ἄκουε Δημοσθένους.
Ὅστις πολλῷ τῷ Πύθωνι ῥέοντι, δῆλον λόγοις,
Οὐκ εἶξα οὐδ' ἐχώρησα, οὐ νίκην εἶπεν ἴσχον.
Οἷος ἦν ὁ Βυζάντιος ῥήτωρ ὁ Πύθων, ἔγνως.

ΠΕΡΙ ΚΛΟΥΣΙΝΟΥ ΓΡΑΜΜΑΤΕΩΣ ΥΠΑΡΧΟΝΤΟΣ ΠΟΡΣΕΝΝΑ ΤΟΥ ΤΥΡΡΗΝΩΝ ΒΑΣΙΛΕΩΣ, ΟΝ ΩΣ ΠΟΡΣΕΝΝΑΝ Ο ΜΩΚΙΟΣ Ο ΡΩΜΑΙΟΣ ΑΝΕΙΛΕΝ. λθ'.

Λάρτας Πορσέννας Τυῤῥηνὸς ἢ Κλάρας γε Πορσέννας
Κατὰ τῆς Ῥώμης ἦν χωρῶν στρατεύματι μεγάλῳ.
Μώκιος δὲ Ῥωμαῖός τις γενναῖος στρατιώτης

---

185. Conf. Luciani Encom. Demosth.

HIST. 38.

186. Cf. Plutarch. Demosth. c. 9: Tom. 8, ed. Tauchn. Wesseling. ad Diod. Sic. XVI, 85. p. 147.

189. Vid. Aeschin. de falsa legat. p. 206. Reisk. ibique not.

199. Demosth. pro corona, p. 276. Harl. ibique not.

Ὅπλα καὶ σχῆμα Τυῤῥηνῶν ἠμφιεσμένος τότε,
Χωρεῖ κατόπτης κατ᾽ αὐτῶν, κτεῖναι Πορσένναν θέλων.
Συγκαθημένου τούτῳ δὲ τότε τοῦ γραμματέως,
Ὃς ἦν τῇ γλώσσῃ Τυῤῥηνῶν Κλούσινος κεκλημένος,
Ἀμφιγνοῶν ὁ Μώκιος τίς βασιλεὺς τυγχάνει,
Ἀπέκτεινε τὸν Κλούσινον ἀντὶ τοῦ βασιλέως.
Ὡς συσχεθέντα τοῦτον δὲ ἀνέκρινε Πορσέννας,
Τί ποτε τοῦτο δέδρακας; τί προπαθὼν ἐκ τούτου;
Οὐ Τυῤῥηνὸς ἐβόησε, Ῥωμαῖος δὲ τυγχάνω,
Ἄλλοι τε τριακόσιοι ὁμοῖοί μοι τὴν γνώμην
Σὲ νῦν θηρῶσιν ἀνελεῖν. τοῦτο ψευδῶς δ᾽ εἰρήκει.
Τῆς δὲ χειρὸς τῆς δεξιᾶς εἰς πῦρ ἐμβεβλημένης,
Αὐτὸς ὡς ἄλλου πάσχοντος ἔβλεπε πρὸς Πορσένναν.
Τούτου δ᾽ εἰπόντος, πρὸς ἡμᾶς τί ἀτενῶς προσβλέπεις;
Ἔφη τὸ πῶς πεπλάνημαι καὶ σὲ μὲν οὐκ ἀνεῖλον,
Ἀντὶ δὲ σοῦ ἀπέκτεινα ὃν ἔδοξα Πορσένναν.
Εἰπόντος τοῦ Πορσέννα δέ, γενήσῃ νῦν μου φίλος,
Ὁ Μώκιος ἀντέλεξεν· εἰ γένῃ σὺ Ῥωμαίων.
Θαυμάσας ὁ Πορσέννας δὲ τῆς ἀρετῆς τὸν ἄνδρα,
Φίλος Ῥωμαίοις γίνεται, καὶ παύει τὰ τῆς μάχης.

HIST. 39.

217. Pro *ἡμᾶς* in marg. cd. A. notatum *ἐμέ*.

ΠΕΡΙ ΔΙΟΝΥΣΙΟΥ ΤΟΥ ΣΙΚΕΛΙΑΣ ΤΥΡΑΝΝΟΥ ΥΣΤΕΡΟΝ ΕΝ ΚΟΡΙΝΘΩι ΓΡΑΜΜΑΤΕΥΟΝΤΟΣ, ΚἊΝ ΠΑΛΙΝ ΕΙΣ ΤΗΝ ΒΑΣΙΛΕΙΑΝ ΑΠΟΚΑΤΕΣΤΗ. μʹ.

(Ἔκειτο δὲ ἡ ἱστορία ἐν τῇ πολυΐστορι πρώτῃ ἐπιστολῇ. Στρατιῶται δὲ ἐν τῷ παλατίῳ βιβλίδια πολλὰ τῶν ἐμῶν ποιημάτων εὑρόντες ἐν κέλλῃ τινὸς τῶν ἐμῶν ὁμιλητῶν, τεθνηκότος ἐκείνου, ἀπημπολήκασιν, ὃ μὲν τεσσάρων χαλκῶν, ὃ δὲ ἕξ, καὶ τἆλλα πάντα ὁμοίως, ὡς ἀναζητῶν ταῦτα παρά τινος ἔμαθον τῶν περὶ τὴν βασιλέως αὐλήν.)

Οὗτος ὁ Διονύσιος ὁ πρότερος τῶν ἄλλων,
Ὢν ἰδιώτης γραμματεύς, υἱὸς τοῦ Θερμοκράτους,
Περιπεσὼν ζημίᾳ δὲ καὶ ταύτην ἀποτίσας,
Τοὺς ὑπερόχους κτείνεσθαι διαβολαῖς ἐποίει.
Τέλος διπλάσας τοὺς μισθοὺς στρατιωτῶν πανούργως,
Τὴν βασιλείαν ἔλαβε· δρῶν δὲ δεινὰ μυρία
Ἀναιρεθῆναι μέλλων τε, φυγὼν ἐν τῇ Κορίνθῳ
Γράμματά τε ἐπαίδευε καὶ μέσῳ λεωφόρων
Καὶ καπηλείων ἔσωθεν καπήλοις καὶ χυδαίοις
Ἀεὶ διεπληκτίζετο καὶ λοιδορῶν ἦν πόσα,
Ὥστε δοκεῖν τοῖς βλέπουσι φρενῶν ἐξεστηκέναι.
Οὕτω λοιπόν, οὐδ' ἀριθμῷ ταττόμενος ἀνθρώπων,
Καιρὸν λαβὼν τὸν πρόσφορον πραγμάτων συνεργέτην
Καὶ φίλοις κοινωσάμενος, ἔσχε τὸ κράτος πάλιν.

HIST. 40.
233. Confudit patrem et filium. Cf. Iustin. XXI, 5.
243. In marg. cd. A. τοὺς βλέποντας, quod item probum, si δοκεῖν est *putare*.

ΠΕΡΙ ΥΙΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΜΑΚΕΔΟΝΩΝ ΠΕΡΣΕΩΣ, ΑΙΧΜΑΛΩΤΟΥ ΓΕΓΟΝΟΤΟΣ ΚΑΙ ΓΡΑΜΜΑΤΕΥΟΝΤΟΣ ΠΑΡ' ΙΔΙΩΤΗι ΛΑΤΙΝΩι ΚΑΙ ΟΥ ΒΑΣΙΛΕΙ. μά.

Περσεὺς ὁ φιλοχρήματος, τῶν Μακεδόνων ἄναξ,
Συμμάχους ἀπεπέμψατο στοργῇ τῇ τῶν χρημάτων.
Αἰχμάλωτος εἰς Ῥώμην δὲ σὺν τούτοις ἀπηγμένος,
Αὐτὸς ὡς χοῖρος ἐνειρχθεὶς σιρῷ ζοφώδει θνήσκει.
Ὁ τούτου παῖς δ' Ἀλέξανδρος οἶμαι τὴν κλῆσιν φέρων,
Τινὸς Λατίνου γραμματεὺς γίνεται πλὴν τῶν κάτω.

ΠΕΡΙ ΣΟΜΝΑ ΚΑΙ ΕΛΙΑΚΕΙΜ, ΓΡΑΜΜΑΤΕΩΝ ΟΝΤΩΝ ΕΖΕΚΙΟΥ ΒΑΣΙΛΕΩΣ ΙΕΡΟΥΣΑΛΗΜ. μβ'.

Ὁ Ἐζεκίας βασιλεὺς ἦν ἱερῶν Σολύμων·
Τούτου δ' ὑπῆρχον γραμματεῖς Σομνᾶς Ἑλιακεὶμ τε.
Οὗπερ ἀποστατήσαντος, τοὺς φόρους μὴ διδόντος
Τῷ Ἀσσυρίων βασιλεῖ τοὺς συμπεφωνημένους,
Οἳ ἦσαν τριακόσια τάλαντα μὲν χρυσίου,
Ἕτερα τριακόσια πάλιν δὲ ἀργυρίου,
Ὁ Ἀσσυρίων βασιλεὺς Σενναχηρεὶμ τὴν κλῆσιν,
Ἔτος τετρακαιδέκατον ἄρχοντος Ἐζεκίου,
Ἀνέβη καὶ ἐπόρθει δὲ τὰς πόλεις Ἰουδαίας·
Τοῖς ἱεροῖς Σολύμοις δὲ δυνάμει βαρυτάτῃ
Πέμπει Θαρθὰν καὶ τὸν Ῥαφεὶς καὶ τὸν Ῥαψάκην ἅμα,
Οἳ καὶ τοὺς φόρους ἔλαβον τοὺς πρὶν κεκρατημένους,
Διὰ αὐτοῦ Ἑλιακεὶμ τοῦ ἐπὶ τῶν χρημάτων,
Σομνᾶ τοῦ γραμματέως τε καὶ Ἰωὰς σὺν τούτοις.
Καὶ στόμα δὲ πρὸς οὔρανον ἤνοιξαν βλασφημίας,

HIST. 41.
247. Cf. Plut. Aemil. c. 37.
248. Cd. A. cum edit. Bas. ἀπέμψατο.

HIST. 42.
253. Ioseph. Ant. Iud. I. c. 10. §. 2.

Καὶ ῥάβδον καλαμίνην τε καὶ κατατεθραυσμένην
Τὴν Αἴγυπτον ὠνόμασαν εἰς τούτων συμμαχίαν.
Ὧν τῇ νυκτὶ ἀπέκτεινεν ἄγγελος χιλιάδας
Πέντε ὁμοῦ καὶ ἑκατὸν σὺν ὀγδοηκοντάδι,
Ὡς ἡ τετραβασίλειος ταῦτα διδάσκει βίβλος.

ΠΕΡΙ ΔΙΟΦΑΝΤΟΥ ΓΡΑΜΜΑΤΕΩΣ ΗΡΩΔΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ. μγ'.

Διόφαντος ἦν γραμματεὺς Ἡρώδου βασιλέως,
Χειρὸς ἁπάσης γράμματα δυνάμενος μιμεῖσθαι,
Ὡς καὶ ὁ Τίτος βασιλεὺς ἐκεῖνος ὁ Ῥωμαίων.
Ὃς βασιλέως γράμματα ληφθεὶς ἐπιχαράττων
Θνήσκει, κατὰ Ἰώσηπον. Διόφαντον δὲ λέγω.
Τίτος δὲ θνήσκει βεβρωκὼς λαγῶν τῶν θαλασσίων.

ΠΕΡΙ ΓΡΑΜΜΑΤΕΩΝ ΤΗΣ ΒΑΣΙΛΙΣΣΗΣ ΚΛΕΟΠΑΤΡΑΣ. μδ'.

Τῇ Κλεοπάτρᾳ τῇ σοφῇ, τῇ καὶ ὡραιοτάτῃ,
Καὶ τοῖς λοιποῖς δὲ σύμπασι πολλῶν ὑπερφερούσῃ,
Πρὸς ἐπιμέλειαν τριχῶν καὶ τῶν ὀνύχων ἦσαν
Χαρμιουνὼ καὶ Τάειρα. τί δὲ δηλοῦσι τάδε;
Σύρον τὸν Τζέτζην βλέπε νῦν, Ἰσμαηλίτην ἅμα,
Καὶ ταῦτα διαρθροῦντά σοι ταῖς γλώσσαις ταῖς ἐκείνων.
Κατὰ Ἑβραίων γλῶσσάν τε καὶ τὴν τῶν Σύρων ἅμα
Χαρμὶ δηλοῖ τὴν ἄμπελον, Οὐνὼ περιστερὰν δέ,
Τὴν ἥν φασιν οἱ Ἕλληνες περιστερὰν οἰνάδα·
Κατὰ Ἰσμαηλίτας δὲ τοὺς Ἄγαρ γόνους λέγω·
Περιστερὰν τὴν Τάειραν συμαίνουσάν μοι νόει.
Αὗται πρὸς ἐπιμέλειαν τριχῶν καὶ τῶν ὀνύχων
Τῆς Κλεοπάτρας τῆς σοφῆς ἦσαν τῆς βασιλίδος.

---

268. Cd. A. in textu κατα-θετρασμένην, in marg. illud quod reposuimus. Versu praecedenti pro βλασφημίας malim βλασφημίαις.

272. II Reg. c. 19.

HIST. 43.

276. τοῦ Ἡρώδου margo cd. A. pro βασιλέως.

Μηχανικοὶ καὶ ἰατροὶ καὶ γραμματεῖς δὲ ταύτης
Καὶ ῥήτορες καὶ σύμβουλοι ἦσαν μυρίοι ἄλλοι,
Καὶ Δεξιφάνης δὲ αὐτός, μηχανικὸς ἐκ Κνίδου,
Μεθ' οὗ πολλὰς λυσιτελεῖς τὰς μηχανὰς ἐποίει,
Καὶ θάλασσαν ἐχέρσωσε μέχρι τετρασταδίου,
Αὐτὴν εἰς Ἀλεξάνδρειαν καὶ πύργον ἀνεγείρει,
Φῶς ἐν νυκτὶ σωτήριον τοῖς πλέουσι δεικνύειν.
Τῷ Δεξιφάνει τούτῳ μὲν εἰς μηχανὰς ἐχρῆτο,
Τοῖς Ἐφεσίοις δ' ἰατροῖς, τῷ Σωρατῷ καὶ Ῥούφῳ,
Εἰς πάντα τὰ καλλύνοντα μορφὰς τὰς τῶν προσώπων,
Εἰς πᾶν τε πάθος γυναικῶν καὶ ἰατρείας ἄλλας.

ΠΕΡΙ ΦΙΛΟΣΤΡΑΤΟΥ ΤΟΥ ΡΗΤΟΡΟΣ, ΓΡΑΜΜΑΤΕΩΣ ΤΕΛΟΥΝΤΟΣ ΙΟΥΛΙΑΣ ΤΗΣ ΒΑΣΙΛΙΣΣΗΣ. μέ.

Φιλόστρατος ὁ Φλαύϊος, Τύριος οἶμαι ῥήτωρ
(Ἄλλος δ' ἐστὶν ὁ Ἀττικός)· ὁ Τύριος οὖν οὗτος
Ἦν, ὡς αὐτὸς ἐν τοῖς αὐτοῦ βιβλίοις διαγράφει,
Εἷς τοῦ χοροῦ ῥητόρων τε καὶ τῶν γραμματευόντων
Τῇ Ἰουλίᾳ κραταιᾷ τελούσῃ βασιλίδι.
Σύζυγος αὕτη δ' οὐ φησὶ τίνος ἦν βασιλέως.

ΠΕΡΙ ΕΤΕΡΩΝ ΤΙΝΩΝ ΓΡΑΜΜΑΤΕΩΝ ΑΝΩΝΥΜΩΣ ΚΕΙΜΕΝΩΝ. μς'.

Κάτωνι τῷ προτέρῳ μέν, ἀλλ' οὐχὶ τῷ δευτέρῳ,
Σαλώνιός τις γραμματεὺς ἐν ταῖς γραφαῖς ὑπούργει.
Ὧι τὸν υἱὸν οὐκ ἔδωκεν ἐν λόγοις ἐκπαιδεῦσαι,
Ὅπως μὴ χρέος μέγιστον ἐκείνῳ χρεωστοίη.

HIST. 45.

303. Cf. Praefation. Olearii ad Philostrat. p. XIV. sq. et Meursii dissertat. de Philostratis, ibi repetitam a pag. XV.

308. Fuit uxor Severi Augusti.

HIST. 46.

309. Plut. Cat. mai. c. 24.

311. Sic cd. A. pro *ἐμπαιδεῦσαι*, quod irrepsit in edit. Basil.

Αὐτὸς δ' ἐπῆγε τὸν υἱὸν καὶ πράξεσι καὶ λόγοις.
Τῆς δὲ μητρὸς τῆς τοῦ παιδὸς τοῦ Κάτωνος θανούσης,
Τῇ Σαλωνίου θυγατρὶ συζεύγνυται ὁ Κάτων,
Εἰπὼν πρὸς τὸν Σαλώνιον· ἔζευξας σαυτοῦ παῖδα;
Εἰπόντος, οὐδὲ ζεύξω δέ, εἰ μὴ σοι βουλευθείην·
Ὁ Κάτων, εὗρόν σοι γαμβρὸν ἄμεμπτον, λέξας τούτῳ,
Εἰ μὴ τὸ γῆράς μου μισεῖς, τῇ κόρῃ συνεζύγη.
Τοῦ δὲ υἱοῦ πρὸς Κάτωνα φάντος τὸν φυτοσπόρον,
Μή τί σοι παρηνώχληκα καὶ γάμοις συνεζύγης;
Οὔκουν, ὁ Κάτων ἔφησεν, ὡς δὲ καὶ ἄλλους παῖδας
Τεκνοποιήσω κατὰ σέ, ζεύγνυμαι πάλιν γάμῳ.
Τούτῳ μέν, ὥσπερ εἴπομεν, Κάτωνι τῷ προτέρῳ
Ἦν γραμματεὺς Σαλώνιος, ὁ Σαρπηδὼν δευτέρῳ.
Ἦσαν καὶ οὗτοι γραμματεῖς καὶ τῶν φιλοσοφούντων.
Ἐῶ τὸν Βροῦτόν τε αὐτὸν καὶ τούτου γραμματέα,
Ἐῶ Ἰουλιάνειον Ἱμέριόν σοι λέγειν,
Καὶ τὸν Θεμίστιον αὐτὸν τὸν τοῦ Θεοδοσίου,
Καὶ τοὺς λοιποὺς δὲ τῶν λοιπῶν, μακρηγορεῖν μὴ θέλων.

ΠΕΡΙ ΛΕΜΦΟΥΣ Ο ΚΑΙ ΚΟΡΥΖΑ ΛΕΓΕΤΑΙ, ΚΑΙ ΟΤΙ ΑΦΩΝΟΙ ΟΙ ΙΧΘΥΕΣ ΠΛΗΝ ΣΚΑΡΟΥ ΚΑΙ ΚΑΣΤΟΡΙΔΟΣ. μζ'.

Κόρυζαν, μύξαν, βλένναν τε καὶ λέμφος δὲ σὺν τούτοις
Ἓν εἶναι πάντα νόει μοι· λέμβον δὲ πάλιν νόει
Εἶδος τυγχάνειν πλοίου τι. πολλὰ γὰρ εἴδη πλοίων,
Κέρκουροι, στρατιώτιδες, ἱππαγωγοί, τριήρεις.
Λέμβοι καὶ μυοπάρωνες, γαῦλοι καὶ ἐπακτρίδες,
Στρογγύλαι καὶ φορτίδες τε, πορεῖα, ἐφολκίδες,
Ἄλλα τε εἴδη περιττά· φόρτος δ' ἐστί μοι λέγειν.

---

316. Sic scripsi, monstrante item margine cd. A., pro *σαυτήν*.

319. Potius *συνεζύγην*.

328. Erat *Ἡμέριον*. Correxit manus docta in edit. Basil. qua utor.

HIST. 47.

331. Scripsi *τούτοις* pro *τούτῳ*.

Πάντες δ' ἰχθύες ἄφωνοι, πλὴν σκάρου, καστορίδος·
Ὃς σκάρος ἰκμαλέην μὲν πέμπει φωνήν, ὡς λόγος,
Καὶ μηρυκᾶται τὴν τροφήν, ὡς αἱ γοναὶ προβάτων·
Ἡ καστορὶς δ' ὠρύεται. ὃς δ' ἂν ἀκούσῃ ταύτης,
Χρόνῳ βραχεῖ παρέρχεται τοῦ ταλαιπώρου βίου.

ΠΕΡΙ ΒΑΤΤΟΥ ΚΥΡΗΝΗΣ ΒΑΣΙΛΕΩΣ ΚΑΙ ΤΟΥ ΣΙΛΦΙΟΥ.

κεῖται ἡ ἱστορία ρί. ἀλλὰ στενῶς μη'.

Ὁ Βάττος πρὶν Θηραῖος ἦν, ὁ κτίσας τὴν Κυρήνην·
Ἀριστοτέλης οὗτος δὲ καλούμενος τὴν κλῆσιν,
Ἀπὸ φωνῆς βατταρισμοῦ Βάττος μετωνομάσθη.
Περὶ φωνῆς γὰρ χρώμενος ἦλθεν εἰς τὸ μαντεῖον,
Εἰ πῶς μετατρέψει πρὸς ὀρθὸν ἐκ τῶν βατταρισμάτων·
Ὁ δὲ θεὸς ἀνῄρηκε τούτῳ κατ' ἔπος τάδε·
„Βάττ', ἐπὶ φωνὴν ἦλθες· ἄναξ δέ σε Φοῖβος Ἀπόλλων
„Ἐς Λιβύην πέμπει μηλοτρόφον οἰκιστῆρα.
Οὕτω λοιπὸν ἐκ Θήρας μὲν εὐθέως ἀποτρέχει.
Ἐλθὼν εἰς τὴν Λιβύην δὲ κτίζει Κυρήνην πόλιν.
Πολλὰς εὐεργεσίας δὲ ποιήσας Κυρηναίοις,
Ἔσχηκε δῶρον παρ' αὐτῶν φυτὸν τὸ τοῦ σιλφίου.
Λάχανον δὲ τὸ σίλφιον, Συνέσιός μοι λέγει.
Πάντες φυτὸν δὲ λέγουσιν ἐκεῖνο πεφυκέναι,
Φυτὸν πολυτιμότατον, καί γε τῶν δυσευρέτων,
Οὗ καὶ καυλὸς ἀνέκειτο ναῷ τῷ τοῦ Πυθίου·
Ὅπερ καταμελούμενον μᾶλλον κομᾷ καὶ θάλλει.
Ἂν γεωργῆται, φεύγει δὲ τὸν τόπον καὶ τὴν χώραν.
Δύο δ' εἰσὶ τὰ σίλφια, τὸ μὲν ἐκ τῶν εὐώνων,
Τὸ δὲ πολυτιμότατον, ὅπερ οἱ Κυρηναῖοι
Τῷ Βάττῳ προσηνέγκαντο χάριν εὐεργεσίας.

---

339. Oppian. *Ἁλιευτ.* α, 134. sq. *Καὶ σκάρον, ὃς δὴ μοῦνος ἐν ἰχθύσι πᾶσιν ἀναύδοις φθέγγεται ἰκμαλέην λαλαγήν.*

HIST. 48.

343. Cf. Schol. ad Pind. Pyth. IV, 10.

347. Versus syllaba longior.

Βάττος δ' ἀνταμειβόμενος προαίρεσιν τὴν τούτων,
Ἐν τῷ νομίσματι αὐτοῦ ἐχάραξε τυπώσας
Τοὺς Κυρηναίους φέροντας τὸ σίλφιον ἐκεῖνο.

ΠΕΡΙ ΑΝΔΟΚΙΔΟΥ ΤΟΥ ΡΗΤΟΡΟΣ, ΟΥ ΜΕΜΝΗΤΑΙ ΛΥΣΙΑΣ Ο ΡΗΤΩΡ ΩΣ ΤΟΝ ΕΑΥΤΟΥ ΠΑΤΕΡΑ ΜΕΜΗΝΥΚΟΤΟΣ. μθ'.

Ὁ Ἀνδοκίδου ῥήτορος πατὴρ ὁ Λεωγόρας.
Ὑπ' Ἀνδοκίδου προδοθεὶς νικήσας τε τῇ δίκῃ
Τοὺς δικαστὰς ἱκέτευσε γυναῖκα σχεῖν εἰς γάμον,
Ὅπως δὴ παῖδας ἐξ αὐτῆς γεννήσῃ τῶν γνησίων.
Ὁ Ἀνδοκίδης γὰρ θετὸς ἦν παῖς τῷ Λεωγόρᾳ,
Χρήμασιν υἱοποιηθεὶς αὐτῷ δι' ἀπαιδίαν.
Καὶ τὴν αὐτοῦ ἀνεψιὰν ὁ Ἀνδοκίδης οὗτος
Πυρῶν πωλεῖ τῷ βασιλεῖ τῷ τότε τῶν Κυπρίων.
Τοῦ Ἀριστείδου δὲ ἡ παῖς θυγάτριον ὑπῆρχεν.

ΠΕΡΙ ΔΗΜΟΣΘΕΝΟΥΣ ΜΗΝΥΟΝΤΟΣ ΔΗΜΟΜΕΛΗ ΑΝΕΨΙΟΝ ΕΑΥΤΟΥ, ΩΣΠΕΡ ΑΙΣΧΙΝΗΣ ΦΗΣΙΝ. ν'.

Ὁ Δημοσθένης ἑαυτοῦ ἀνεψιὸν μηνύει,
Ὧι κλῆσις Δημομέλης ἦν, ὥσπερ Αἰσχίνης γράφει.
Ἀνεψιοὶ ἀλλήλοις δὲ τῶν ἀδελφῶν οἱ παῖδες,
Τοὺς οὕσπερ ἡ συνήθεια νῦν ἐξαδέλφους λέγει.
Ἀδελφιδοῖ τῷ ἀδελφῷ τῶν ἀδελφῶν οἱ παῖδες,
Ἀνεψιοὺς οὓς εἴωθε λέγειν δημώδης λόγος.
Τῶν ἐξαδέλφων τοὺς υἱοὺς πρὸς μὲν ἀλλήλους λέγε
Ἀνεψιούς, ὥσπερ τοὺς πρίν, ἤτοιγε ἐξαδέλφους.
Ἀνεψιοὺς μὲν καὶ αὐτούς, ἀλλὰ βαθμοῦ δευτέρου,

HIST. 49.

371. Cd. A. ut edit. Bas. in textu *θεός*, in marg. *νόθος*. Tzetzes scripsit *θετός*, *adoptatus*.

HIST. 50.

376. Aeschin. contra Ctesiphont. p. 440. Reisk.

Λέγε μοι δ' ἀνεψιαδοῦς πατράσι τοῖς ἀλλήλων.
Τοὺς θυγατέρων δὲ υἱοὺς καὶ τοὺς υἱῶν υἱοὺς δὲ
Θυγατριδοῦς καὶ ὑϊδοῦς καὶ υἱωνοὺς δὲ λέγε.
Ἀλλὰ στενοῦν ὡς δυνατὸν πάντα χρεὼν ἐντεῦθεν.
Ἂν γὰρ ὡς Τζέτζης πλατυσμῷ τὰς ἱστορίας γράφω,
„Πολλαί κεν δεκάδες δευοίατο οἰνοχόοιο,"
Πολλαὶ ἂν ἀπολείψειαν γραφῆναι ἱστορίαι
Τῶν προσγραφῇ τοῦ πίνακος οὐσῶν συντεθειμένων.
Ἡ βίβλος γραφομέναις γὰρ εἰς πλάτος οὐκ ἀρκέσοι·
Μὴ καὶ στενῶς δέ, δέδοικα. μέχρι γὰρ οὗ νῦν γράφω,
Ἐχρῆν κατ' ἀναμέτρησιν καὶ τὸ ποσὸν τῆς βίβλου
Τρίτην πρὸς ἑβδομήκοντα γράφειν με ἱστορίαν·
Γράφω δὲ νῦν πεντηκοστήν· διὸ στενοῦν με δέον,
Ὡς προσγραφῆς τοῦ πίνακος τὴν πᾶσαν ἱστορίαν
Ἐν τῇ παρούσῃ δυνηθῶ συμπερικλεῖσαι βίβλῳ.
Εἴπερ στενῶς ἐντεῦθεν δέ τις ἱστορίας βλέπων,
Τζέτζην κακὸν καὶ ἄναλκιν πρὸς ἱστορίας φήσει:
„Ἀλλ' οὐ πείσονται Τρῶες καὶ Δαρδανίωνες,
„Καὶ Τρώων ἄλοχοι μεγαθύμων ἀσπιστάων,
„Τάων ἐν κονίῃσι βάλεν θαλεροὺς παρακοίτας.
Οἱ ποιηταὶ καὶ συγγραφεῖς, ῥήτορες, λογογράφοι,
Ἱστορικοὶ καὶ χρονικοὶ καὶ τεχνικοὶ παντοῖοι,
Ὥνπερ κατέχων ἐν χερσὶ τὰς βίβλους, ὢν ἀβίβλης,
Ἐκείναις παρενέγραφε τοὺς λογισμοὺς οὓς ἔδει,
Αἳ μέχρι νῦν κατάγραπτοι γραφαῖς τελοῦσι τούτου.

---

387. In cd. A. hic locus ita scriptus est: υἱωνούς. Deletae autem syllabae in margine sic repetitae: ὑϊδοὺς. Locum ita restituendum fuisse, ut a me factum est, res ipsa loquitur.

390. Iliad. II, 128.

391. Erat ἀπολείψειεν.

407. Erat τούς.

ΠΕΡΙ ΠΑΡΜΕΝΙΩΝΟΣ ΚΑΙ ΝΙΚΑΝΟΡΟΣ. να΄.

Νικάνορα διέβαλε Φιλίππῳ Παρμενίων,
Δυσφήμους λόγους κατὰ σοῦ λέγων, ὦ κράτορ, λέγει.
Ὡς δ' ἐρευνῶν ὁ Φίλιππος αἰτίαν ὑβρισμάτων
Τὴν ἔνδειαν ἐφεύρηκε, χρήματα στέλλει τούτῳ.
Αἰνοῦντος τούτου δ' ἔμπαλιν, τὶς λέγει τῷ Φιλίππῳ.
Φίλιππος δ' εἰς ἐπήκοον πάντων βοήσας λέγει·
Ἡμεῖς ἐσμὲν οἱ ἄρχοντες αὐτοῖς τῶν ὑπαιτίων
Τοῦ λοιδορεῖσθαι τοῖς ἡμῶν, καὶ ἐπαινεῖσθαι τούτοις.
Ὁ Τύρταμος Θεόφραστος τοῦτο δοκεῖ μοι λέγειν·
Ὡς Πλάτων γὰρ Ἀριστοκλῆς καλούμενος τὸ πρώην,
Πλάτων οἷα πλατύσωμος ἐκλήθη τῷ Σωκράτει,
Οὕτω καὶ οὗτος Τύρταμος καλούμενος, ὑστέρως
Τῷ φράζειν λόγους ἄριστα, Θεόφραστος ἐκλήθη,
Ἀριστοτέλῃ τῷ σοφῷ τῷ τούτου διδασκάλῳ.

ΠΕΡΙ ΤΩΝ ΗΡΩΔΟΥ ΠΑΙΔΩΝ, ΩΣ ΙΩΣΗΠΟΣ ΜΕΜΝΗΤΑΙ. νβ΄.

Τρεῖς παῖδες τῷ Ἡρώδῃ μὲν ἦσαν τῷ στεφηφόρῳ,
Ὃς παῖς ἦν Ἀντιπάτρου τε καὶ Κύπριδος, ἡ Ἄραψ,
Ἐξ ἰδιώτιδός τινος Δωρίδος Ἰουδαίας.
Πανοῦργός τις Ἀντίπατρος. ἐκ δὲ τῆς Μαριάμμης,
Τῆς Ἀλεξάνδρου θυγατρός, υἱοῦ Ἀριστοβούλου,
Ἣν ἔσχεν ἤδη βασιλεὺς τυγχάνων ὁ Ἡρώδης,
Ἀλέξανδρος γεγένηται μετὰ Ἀριστοβούλου.
Οὗτος οὖν ὁ Ἀντίπατρος, ὁ παῖς ὁ τῆς Δωρίδος,
Τῆς Μαριάμμης τοὺς υἱοὺς διέβαλεν Ἡρώδῃ·
Καὶ δὴ μικροῦ Ἀλέξανδρος ἔμελλε τεθνηκέναι,
Εἰ μὴ ὁ τούτου πενθερός, πατὴρ ὁ τῆς Γλαφύρας,

HIST. 52.

424. Cf. Noldii historia Idumaea, s. de vita et gestis Herodum diatribe. Tom. II. Iosephi edit. Havercamp.

425. Cd. A. ἣ pro ἡ.

427. Alibi Μαριάμνη.

Ἀρχέλαος καλούμενος, Καππαδοκῶν ὢν ἄναξ,
Ὑπὲρ γαμβροῦ καὶ τῆς παιδὸς δεινῶς ἐπτοημένος,
Συντόμως τέμνων τὴν ὁδὸν ἀλλεπαλλήλοις ἵπποις,
Ὡς πρὸς Ἡρώδη πέφθακε, θυμούμενός τε δῆθεν
Ὁ μιαρὸς, ἐβόησεν, ἔτι ἐστὶ τῷ βίῳ,
Ἔτι τὸν ἥλιον ὁρᾷ; ὦ γνώμης βασιλέως,
Ὦ πατρικῆς πρᾳότητος, ὦ ἀνεξικακίας.
Ἀλλ' οὖν ἐγὼ τῆς θυγατρὸς αὐτὸν διαζευγνύω,
Ὡς μὴ τὸν πατραλίτορα θέλων γαμβρὸν κεκτῆσθαι.
Οὕτω γὰρ δράσας καὶ εἰπὼν δεινότητος μεθόδῳ,
Πρὸς τὸ κρατοῦν δὲ τοῦ θυμοῦ πάθος μὴ ἀντιτείνας,
Ἤνυσεν ὅσον ἔχρηζεν, οἷα δεινὸς ὢν ῥήτωρ.
Ὑπὲρ γὰρ οὗ ὠργίζετο, ἱκέτευεν Ἡρώδης,
Μήπως ὁ παῖς διαζυγῇ τῆς θυγατρὸς ἐκείνου.
Ὁ παῖς Ἡρώδου καὶ γαμβρὸς τοῦ Ἀρχελάου τοῦδε
Παράδοξον ἐφεύρισκε τότε τὴν σωτηρίαν·
Αὐτὸς παραδοξότερον Ἀρχέλαος εὐτυχεῖ,
Σώσας θανάτου τὸν γαμβρὸν σὺν τῷ λαβεῖν καὶ δῶρα.
Χρυσοῦ γὰρ ἑβδομήκοντα ταλάντοις ὁ Ἡρώδης
Καὶ θρόνῳ διαλίθῳ δὲ καὶ ἄλλοις δώροις οἵοις
Ἀρχέλαον καὶ σύμπαντας τοὺς τούτου δεξιοῦται.
Καὶ οἱ Ἡρώδου σύμπαντες τούτοις διδοῦσι δῶρα,
Ὑπὲρ τοῦ τὸν Ἀρχέλαον γαμβροῦ μὴ στερηθῆναι.
Ἀνύσας οὗτος δὲ τὸ πᾶν, πρὸς τὸν Ἡρώδην λέγει·
Σκόπει μὴ ἄρα, βασιλεῦ, ψευδεῖς εἰσὶν οἱ λόγοι,
Ἢ παραινέσεις τῷ παιδὶ πρός τινων κακοσχόλων.
Τότε καὶ ὁ Διόφαντος ἐκεῖνος ἀνῃρέθη,
Ἀνθ' οὗ γραφὴν ἐχάραξεν ὡς ἀπὸ Ἀλεξάνδρου.
Σὺν τοῖς υἱοῖς Ἡρώδῃ δὲ ὑπῆρχε καὶ θυγάτηρ,
Ἣν ἀδελφῷ τῷ ἑαυτοῦ Φερώρᾳ συνεζεύγνυ,

---

436. Cd. A. in marg. *θυγατρός*.
443. Addidi articulum *τόν*. Reliqui tamen intactum *πατραλίτορα*, neque in *πατρολίτορα* aut *πατραλοίαν* mutare sum ausus. Significare potest *delinquentem in patrem*.

Τάλαντα τριακόσια διδοὺς φερνὴν τοῦ γάμου.
Ὅς ταῦτα πάντα παριδὼν ἔρωτα δούλης ἔσχε.
Μετὰ τῶν ἄλλων τῶν λοιπῶν δουλομικτῶν μοι τάττε,
Τοὺς τέσσαρας, ὡς κάλλιστον ἅρμα δουλομιξίας,
Ἀριστοτέλην, Πλάτωνα, Μενέλαον, Φερώραν,
Δύο κρατούντων ἀδελφούς, φιλοσοφοῦντας δύο.

ΠΕΡΙ ΞΕΡΜΟΔΙΓΕΣΤΟΥ, ΠΕΡΙ ΟΥ ΔΙΟΔΩΡΟΣ ΜΕΜΝΗΤΑΙ. νγ'.

Οὗτος ὁ Ξερμοδίγεστος, Διόδωρος ὡς γράφει,
Οἶμαι τοῦ Αὐδολέοντος Παιόνων βασιλέως
Φίλος τελῶν πιστότατος, τοὺς θησαυροὺς μηνύει,
Ἢ Λυσιμάχῳ ἤ τινι τῆς Θρᾴκης βασιλέων.
„Ἀργαλέον δέ μοί ἐστι, θεὸν ὡς πάντ' ἀγορεύειν,"
Ἀβίβλῃ πεφυκότι μοι· οἴδατε οἵσπερ λέγω.
Τοὺς θησαυροὺς ἐμήνυσε τῷ Θρᾴκης στεφηφόρῳ
Τοῦ Σαργεντίου ποταμοῦ κάτωθεν κεκρυμμένους,
Τοὺς οὓς αὐτὸς κατέκρυπτε σὺν αἰχμαλώτοις μόνοις,
Τρέπων τὴν κοίτην ποταμοῦ καὶ κατορύττων κάτω.
Εἶτα τὸν ῥοῦν ἐπαφιείς, τοὺς δ' αἰχμαλώτους σφάττων.

ΠΕΡΙ ΤΗΣ ΚΑΝΔΑΥΛΟΥ ΓΥΝΑΙΚΟΣ, ΠΡΟΔΟΥΣΗΣ ΤΟΝ ΣΥΖΥΓΟΝ. νδ'.

Νυσσία οὖσα σύζυγος Μυρτίλου τοῦ Κανδαύλου·
Τὸ δὲ Κανδαύλης Λυδικῶς τὸν σκυλοπνίκτην λέγει·
Ἐπεὶ Κανδαύλης ἔδειξε γυμνὴν αὐτὴν τῷ Γύγῃ,
Κτανεῖν τὸν Γύγην ἔπεισεν αὐτῆς τὸν συνευνέτην.

HIST. 53.

471. Cf. Diod. fragm. in Wesseling. edit. p. 641.

474. Iliad. XII, 176.

HIST. 54.

481. Herodot. I, 7. *Κανδαύλης, τὸν οἱ Ἕλληνες Μυρσίλον ὀνομάζουσι.* Plin. H. N. XXXV, 34. Bip.

ΠΕΡΙ ΛΑΙΤΟΥ ΚΑΙ ΕΚΛΕΚΤΟΥ, ΩΝ ΗΡΩΔΙΑΝΟΣ ΕΝ ΤΗι ΧΡΟΝΙΚΗι ΜΕΜΝΗΤΑΙ. νέ.

Ὁ Λαῖτος ἀρχιστράτηγος ἦν τοῦ στρατοῦ Κομμόδου,
Ὁ Ἔκλεκτος ὑπῆρχε δὲ τούτου κοιτωνιάρχης,
Καὶ τῆς Κομμόδου παλλακῆς μοιχὸς ἦν, τῆς Μαρκίας.
Ὡς τῇ ἀρχῇ τοῦ χρόνου δὲ (ἡ ἑορτὴ μεγάλη,
Ἐν ᾗ καὶ δώροις δέχονται ἀλλήλους οἱ Ῥωμαῖοι)
Ἐκ τοῦ μονομαχίου μέν, οὐκ ἐκ τοῦ παλατίου
Ὁ Κόμμοδος ἠθέλησε προέλευσιν ποιῆσαι.
Ἐκώλυεν ἐκεῖνον δὲ ἥ τε Μαρκία πρῶτα,
Εἶτα Λαῖτος καὶ Ἔκλεκτος· γράφει, κτανθῆναι τούτους,
Τήν τε Μαρκίαν παλλακήν, ἐκείνους δὲ ὁμοίως.
Ὑπὸ τὴν κλίνην τὴν αὐτοῦ τίθησι δὲ τὸν χάρτην.
Μικρὸν δέ τι παιδάριον στεργόμενον Κομμόδῳ,
Τὴν κλῆσιν Φιλοκόμμοδος, ἔπαιζε σχὼν τὸν χάρτην.
Φιλοῦσα τοῦτον εἶδε δὲ τὸν χάρτην ἡ Μαρκία,
Καὶ γνοῦσα τούτου δύναμιν, ἐπιβουλεύει τούτῳ·
Καὶ φάρμακον σκευάσασα τούτῳ διδοῖ πρὸς πόσιν.
Ἐμοῦντος τοῦ Κομμόδου δέ, Νάρκισσος πνίγει τοῦτον,
Νέος τις σθεναρώτατος, καὶ παρεξάγει βίου
Τρισκαίδεκα κρατήσαντα τῆς σκηπτουχίας ἔτη.

ΠΕΡΙ ΦΑΙΔΡΑΣ ΚΑΙ ΙΠΠΟΛΥΤΟΥ, ΩΝ ΕΥΡΙΠΙΔΗΣ ΚΑΙ ΕΤΕΡΟΙ ΜΕΜΝΗΝΤΑΙ. νς'.

Τὰ Φαίδρας Ἱππολύτου τε δῆλα τελεῖ τοῖς πᾶσιν.
Ὡς ἤρα τούτου Φαίδρα μὲν προγονοῦ πεφυκότος,
Αὐτοῦ δ' αὐτὴν ἀπώσαντος, ψεύδεται τούτου βίαν
Θησεῖ τῷ τούτου δὲ πατρί, θνήσκει δειναῖς κατάραις.

HIST. 55.
485. *Κομόδου* cd. A., item in iis quae sequuntur.
486. Herodian. I, 17.
495. Margo cd. A. *καὶ ἐκείνους*. Si scribas *κἀκείνους*, etiam hoc probum in Tzetza, qui particulam *δέ* ubivis inferciat.

ΠΕΡΙ ΕΛΕΝΟΥ ΠΡΟΔΙΔΟΝΤΟΣ ΤΗΝ ΤΡΟΙΑΝ ΜΑΝΤΕΥΜΑΣΙΝ. νζ'.

Ἕλενος παῖς Πριάμου μέν, ἦν δὲ τὴν τέχνην μάντις,
Ἐκ λίθου σιδηρίτου δὲ γνοὺς πόρθησιν τῆς Τροίας
Μόνος προσῆλθεν Ἕλλησι, καὶ λέγει τὰς μαντείας·
Ὡς τέως δείκνυσιν Ὀρφεύς, ὁ δ' Εὐριπίδης λέγει,
Ἀνθ' οὗπερ ὁ Δηΐφοβος ἔλαβε τὴν Ἑλένην,
Ὁ τούτου σύναιμος, φθονῶν, τοῖς Ἕλλησιν ἐπῆλθε.
Τὸν δ' Ὀδυσσέα Σοφοκλῆς λέγει θηρᾶσαι τοῦτον,
Ἄκοντά τε τὴν πόρθησιν Ἕλλησι Τροίας φράσαι.

ΠΕΡΙ ΤΟΥ Ο ΧΑΛΚΙΔΕΥΣ ΠΟΙΗΤΗΣ ΤΟΝ ΑΝΤΗΝΟΡΑ. νη'.

Λυκόφρων τὸν Ἀντήνορα Τροίας προδότην λέγει,
Ἀναψαλάξαντα ζυγὰ δουρείου γαστρὸς ἵππου.

ΠΕΡΙ ΤΟΥ Ο ΧΑΙΡΩΝΕΥΣ ΟΥΪΝΔΙΚΙΟΝ. νθ'.

Ἐν παραλλήλοις Πλούταρχος τοὺς Βρούτου παῖδας λέγει
Τίτον καὶ Οὐαλέριον καὶ τοὺς τοῦ Κολλατίνου
Ἐν κοπρεῶνι ζοφερῷ ἄνθρωπον καταθῦσαι,
Καὶ τῶν ἐγκάτων δὲ αὐτοῦ φαγόντας συνομόσαι,
Ὅπως ἂν τυραννήσωσι τῆς παλαιτέρας Ῥώμης.
Δοῦλος δὲ Οὐΐνδίκιος ἐκεῖσε κεκρυμμένος
Λέγει τὸ ἐπιβούλευμα Βρούτῳ καὶ Κολλατίνῳ·
Βροῦτος δ' ἐλέγξας ἔκτεινε πελέκει τοὺς υἱέας,
Τῷ Κολλατίνῳ παρεικὼς παῖδας ἰδίους κρῖναι.

HIST. 57.

510. *Μαντείας* dedi pro *μαντίας*. Haec est lectio marginis, illa videtur esse lectio contextus.

511. Orph. Lith. v. 383.

514. Sophocl. Philoct. 605. sqq.

HIST. 58.

516. Lycophr. 343.

HIST. 59.

518. Plutarch. Publicol. c. 4. sqq.

ΠΕΡΙ ΤΟΥ Ο ΚΟΚΚΕΙΑΝΟΣ ΚΟΡΙΟΛΑΝΟΝ. ξ'.

Δίων αὐτὸς Κοκκειανὸς καὶ ἄλλοι δὲ μυρίοι,
Ὁπόσοι συνετάξαντο τὰς πράξεις τῶν Ῥωμαίων,
Τὰ κατὰ Κοριόλανον τοῦτόν φασι τὸν Μάρκον.
Ὁ Μάρκος οὗτος, πρότερον καλούμενος καὶ Γναῖος,
Ὕστερον Κοριόλανος σὺν τούτοις ἐπεκλήθη.
Ῥωμαῖοι Κοριόλανον τὴν πόλιν πολεμοῦντες,
Ὡς πρὸς αὐτὴν ἐτράπησαν οἱ πάντες ἀνὰ κράτος,
Αὐτὸς δ' εἰς τὴν πολέμιον πόλιν στραφεὶς καὶ μόνος
Ἠνεῳγμένην ἐφευρὼν ἐνέπρησεν ἐκείνην,
Λαμπρῶς δ' ἀρθείσης τῆς φλογός, ἐπαναβὰς τὸν ἵππον,
Ῥύμῃ πολλῇ κατόπισθεν ἐμπίπτει τῶν βαρβάρων,
Οἳ τοῖς Ῥωμαίοις διωγμὸν τὸν ἄστρεπτον ἐποίουν.
Οἵπερ στραφέντες καὶ τὸ πῦρ φλέγον ἰδόντες πόλιν
Καὶ πορθηθῆναι δόξαντες, ἔφευγον ἀλλαχόσε.
Αὐτὸς Ῥωμαίους σώσας δέ, πορθήσας καὶ τὴν πόλιν,
Τὴν ἥνπερ Κοριόλανον εἰρήκαμεν καλεῖσθαι,
Πρὸς τῷ καλεῖσθαι πρότερον Μάρκος καὶ Γναῖος ἅμα,
Ἔσχε καὶ Κοριόλανος ἐκ τοῦ τροπαίου κλῆσιν.
Οἷα δ' ὁ φθόνος εἴωθεν ποιεῖν τοῖς εὐεργέταις,
Μετὰ μικρὸν ἐν λογισμοῖς τὸν ἄνδρα ζημιοῦσιν.
Ὑπερπαθήσας δ' ὁ ἀνὴρ θυμῷ δικαιοτάτῳ,
Ἀφεὶς γυναῖκα τὴν αὐτοῦ, μητέρα καὶ πατρίδα,
Πρὸς Κοριόλους ἔρχεται, καὶ δέχονται τὸν ἄνδρα,
Καὶ δὴ καὶ παρετάξαντο καὶ κατὰ τῶν Ῥωμαίων.
Καὶ εἰ μὴ μετὰ συῤῥαγῆς ἐκείνου τοῦ πολέμου
Δραμοῦσαι κατεσχίσαντο τοὺς ἑαυτῶν χιτῶνας
Γυμναί τε περιέστησαν ἡ σύζυγος καὶ μήτηρ,

HIST. 60.

528. Haec non exstant in Dionis reliquiis. Vid. Dionis fragm. p. 1526. Reim.

533. Pro *αὐτὴν* scribendum potius *φυγήν*, quod ea quae sequuntur, iubent.

542. In cd. A. primo videtur exaratum fuisse *εἰρήκειμεν*, quod convenit mirabili Tzetzae usui.

Ἡ Βετουρνία τε αὐτὴ καὶ Βολουμνία κλῆσιν,
Καὶ τοῦτον μόλις ἔπαυσαν τῆς κατὰ Ῥώμης μάχης,
Ἡ Ῥώμη ἂν ἐπέγνωκε τιμᾶν τοὺς εὐεργέτας.
Ἀλλὰ λιταῖς ταῖς τῆς μητρὸς παυσθεὶς καὶ τῆς συζύγου
Πόλεμον μὲν κατέπαυσε τὸν κατὰ τῶν Ῥωμαίων.
Αὐτὸς τοὺς Κοριόλους δὲ ἀφεὶς καὶ τοὺς Ῥωμαίους,
Πρὸς ἄλλην γῆν ἀπέδραμε, τῇ λύπῃ βεβλημένος.

ΠΕΡΙ ΤΟΥ Ο ΑΝΤΙΟΧΕΥΣ ΑΓΑΥΗΝ ΤΟΝ ΥΙΟΝ ΠΡΟΔΙΔΟΥΣΑΝ ΕΙΣ ΘΑΝΑΤΟΝ. ξά.

Τῷ Κάδμῳ πέντε γίνονται παῖδες ἐξ Ἁρμονίας,
Πολύδωρος καὶ τέσσαρες σὺν τούτῳ· θυγατέρες
Ἰνώ, Σεμέλη, Ἀγαυὴ μετὰ τῆς Αὐτονόης.
Λάβδακος Πολυδώρου παῖς ἀπὸ τῆς Νυκτηΐδος,
Ἰνοῦς καὶ τοῦ Ἀθάμαντος Λέαρχος Μελικέρτης,
Πενθεὺς δὲ παῖς Ἐχίονος καὶ Ἀγαυῆς ὑπῆρχε.
Τῆς Αὐτονόης δὲ αὐτῆς παῖς καὶ τοῦ Ἀρισταίου,
Τοῦ τῶν καρπῶν ἐφευρετοῦ, παῖς ὁ Ἀκταίων ἔφυ,
Ὃς Κιθαιρῶνι κυνηγῶν ἐκ σφῶν κυνῶν ἐβρώθη.
Ἐκ δὲ Σεμέλης καὶ Διὸς Διόνυσος ἐτέχθη,
Ὅσπερ εἰς Θήβας μετ᾽ αὐλῶν καὶ κώμων ἐπιτρέχων,
Θαύματά τε πολλὰ ποιῶν δεσμεῖται τῷ Πενθεῖ.
Μόνος λυθεὶς δὲ τῶν δεσμῶν ὄρει συνῆν ταῖς Βάκχαις,
Ὧν μία καὶ ἡ μήτηρ ἦν Πενθέως τοῦ ῥηθέντος.
Ὅστις Πενθεὺς κατασκοπεῖν θελήσας τὰς Βακχείας,
Τῷ Κιθαιρῶνι προσελθών, ἀνέβη πρὸς ἐλάτην.
Δόξας δὲ ταῦρος τῇ μητρὶ καὶ τῶν Βακχῶν ταῖς ἄλλαις,
Καταρξασάσης τῆς μητρὸς εἰς μέλη διεσπάσθη·
Ἔπειτα γνοῦσα τὸ δεινὸν ὀδύρεται τὸ πάθος.

HIST. 61.

572. Lacunam codicis explevi addito vocabulo πολλά.

573. In marg. cd. A. αὖθις pro ὄρει, quod perquam est aptum.

579. Margo cd. A. ἥτις καὶ pro ἔπειτα.

Ὁ Εὐριπίδης μυθικῶς οὕτω ταῖς Βάκχαις γράφει,
Ὁ δ' Ἰωάννης χρονικὸς ἀλληγορῶν που λέγει·
Πενθεύς τε καὶ ὁ Λάβδακος, μᾶλλον Πενθεὺς δὲ πλέον,
Ἀνῃρημένων τῶν λοιπῶν ἐγγόνων τῶν τοῦ Κάδμου,
Τοῦ μὲν Ἀκταίωνος αὐτοῦ ὑπὸ κυνῶν ἰδίων,
Λεάρχου Μελικέρτου δὲ παρὰ πατρὸς μητρός τε,
Εἶχεν ἐλπίδα κατασχεῖν τὰ σκῆπτρα καὶ τοὺς θρόνους.
Ὡς δ' ἤκουσε Διόνυσον ἔγγονον νόθον Κάδμου
Ἀντιποιεῖσθαι τῆς ἀρχῆς, δεσμεῖ κρατήσας τοῦτον.
Λύσας λιταῖς δὲ τῆς μητρὸς κτείνεται δόλοις τούτου.
Διόπερ μῦθον ἔπλασαν, ἐκ τῆς μητρὸς κτανθῆναι.
Ἐγὼ δὲ τοῦτο τῆς μητρὸς εἰρήκειν προδοσίαν.

ΑΡΑ ΜΑΡΓΙΤΗΝ ΜΕ ΟΙΕΙ; ξβ'.

Ἐν τῷ δευτέρῳ πίνακι τετάρτην ἱστορίαν
Τὸ νῦν Μαργίτην εὕρῃς μοι· ἐπιγραφὴν δὲ φέρει
Τοῦ Μελιτίδου πέρι τε καὶ μωραινόντων ἄλλων.
Οὗτος πανφρονιμώτατος ὢν γέρων ὁ Μαργίτης,
Ἐξανηρώτα, τίς αὐτὸν ἐγκυμονήσας βρέφος
Ἐκ τῆς γαστρὸς ἐγέννησεν, ἆρ' ὁ πατὴρ ἢ μήτηρ.
Ὅμηρος βίβλον ἔγραψεν εἰς τοῦτον τὸν Μαργίτην.

---

584. Ὑπὸ pro ἐπὶ e marg. cd. A.

HIST. 62.

Cd. A. ἢ ἆρα. Illud ἢ omisi; nam videtur fuisse corruptum ex ἡ articulo, qui fere praeponitur inscriptionibus in cd. A. intellecto substantivo ἱστορία.

598. De Margite cf. Herm. ad Aristotel. Poet. p. 106.

ΠΕΡΙ ΤΗΣ ΔΑΚΡΥΟΥΣΗΣ ΕΝ ΣΙΠΥΛΩι ΛΙΘΙΝΗΣ ΝΙΟΒΗΣ. ξγ'.

(Κεῖται δὲ ἡ ἱστορία ἐν τῷ τῶν προτέρων ἱστοριῶν πίνακι, ρμα', ἀτελὴς οὖσα καὶ αὐτή, βραχεῖ τινὶ λόγῳ· αἱ δὲ λοιπαὶ μετ' αὐτὴν ἠφανίσθησαν τοῖς στρατιώταις, καὶ ἐζήτει τῶν φιλοπόνων τις ταύτας ἐκ τῶν ὠνησαμένων εὑρεῖν καὶ μεταγράψαι καὶ συνθεῖναι ταῖς λειπούσαις.):

Νιόβη, παίδων τῶν αὐτῆς κατ' ἦμαρ ἓν θανόντων,
Ὄρει Σιπύλῳ Λυδικῷ πρὸς λίθον ἐκτραπεῖσα,
Ὅμως ἐθρήνει τὸ δεινόν, ὡς γράφουσιν οἱ μῦθοι.
Ἑκατοντεσσαράκοστον καὶ μίαν ὑπηργμένην
Τοῖς ὄπισθεν εὑρήσειας ταύτην τὴν ἱστορίαν
Κειμένην κατὰ πλάτος τε καὶ κατ' ἀλληγορίαν,
Κἂν ἔστιν ἀτελέστατος, δι' ἃς αἰτίας ἔφην.

ΠΕΡΙ ΤΗΣ ΣΤΗΛΗΣ ΤΟΥ ΕΝ ΑΙΓΥΠΤΙΑΙΣ ΘΗΒΑΙΣ ΜΕΜΝΟΝΟΣ. ξδ'.

Ὁ Μέμνων παῖς ἦν Τιθωνοῦ τοῦ ἀδελφοῦ Πριάμου,
Ἐξ Αἰθιόπων ἐπελθὼν σύμμαχος Τρώων γένει,
Ἀνῄρητο τῇ μάχῃ μὲν χερσὶν ἐξ Ἀχιλλέως,
Ἐν τῇ πατρίδι ἀπαχθεὶς ἐτάφη τῇ οἰκείᾳ.
Καὶ στήλη τούτῳ γέγονε πυῤῥοποικίλου λίθου
Μηχανητή. χαρμόσυνον δ' ἡμέρᾳ πέμπει μέλος,
Ὥσπερ ἐπιγαννύμενος μητρὸς τῇ παρουσίᾳ·
Τῇ δὲ νυκτί τι γοερὸν ἔμπαλιν ᾄδει μέλος.

HIST. 63.

604. Omissa erat in cd. syllaba *κει*, quod monuit Hoeger in collatione cd.

HIST. 64.

609. *Οἰκείᾳ* pro *οἰκίᾳ* cd. A.

611. *Μηχανητὴ* recepi e cd. A. pro *μηχανιτὴ* edit. Bas. In alio scriptore mutarem in *μηχανικῇ*.

ΠΕΡΙ ΜΑΝΤΕΥΜΑΤΩΝ ΤΗΣ ΣΙΔΗΡΙΤΙΔΟΣ ΛΙΘΟΥ. ξέ.

Ἡ σιδηρῖτις λίθος τις τυγχάνει, κατ' Ὀρφέα,
Ἣν ἀενάοις ταῖς πηγαῖς εἰ λούοι τις, ὡς γράφει,
Καὶ οἷς ἱεροῖς δέ φησιν ἀνερωτήσας ταύτην,
Ὥσπερ παιδὸς νεογιλοῦ ταύτης φωνὴν ἀκούσοι,
Μαντευομένης ἀληθῶς περὶ πραγμάτων πάντων.
Εἶτα δὲ ἀποψύχεται, καθάπερ τεθνηκυῖα.
Ἐκ ταύτης καὶ ὁ Ἕλενος πόρθησιν Τροίας ἔφη.

ΠΕΡΙ ΤΟΥ ΠΩΣ Η ΜΑΓΝΗΣΣΑ ΛΙΘΟΣ, Η ΚΑΙ ΗΡΑΚΛΕΙΑ ΚΑΛΟΥΜΕΝΗ, ΑΛΛΗ ΔΕ Η ΣΙΔΗΡΙΤΙΣ ΕΣΤΙΝ, ΕΡΑι ΤΟΥ ΣΙΔΗΡΟΥ. ξς'.

Ἡ μάγνησσα ἡ λίθος μὲν τὸν σίδηρον ἑλκύει,
Ἧς τὴν ὁλκὴν καὶ τὴν μορφὴν καὶ ἕτερα βραχέα
Καὶ ὡς καθέλκει πρὸς αὑτὴν τὴν φύσιν τοῦ σιδήρου,
Πρότερον προειρήκειμεν· ἄλλα δὲ νῦν ἐροῦμεν.
Τὴν λίθον ταύτην μάγνησσαν στρωμνῇ τινὸς γυναίου
Λάθρα θεὶς ὑπὸ δέμνιον τῇ γυναικὶ ἐρώτα,
Καὶ μόνη πάσας εἴπῃ σοι ταύτης τὰς ἁμαρτίας
Ἢ τῆς στρωμνῆς ὡς πρὸς τὴν γῆν ἐξολισθήσῃ τάχει.
Ἂν δ' ἐστιν ἀναμάρτητος, ἂν δ' ἔστι τῶν ἀπταισίων,
Ἐκτείνει περιβαλοῦσα χεῖρας τῷ σῷ τραχήλῳ.
Οἶδα καὶ ἄλλα περισσὰ χηνῶν τε καὶ βατράχων
Ὅσα ποιεῖ καθεύδοντας ἄνδρας τε καὶ γυναῖκας,
Τοῖς ἐρωτῶσι προσλαλεῖν αὐτῶν τὰ ἐπταισμένα.
Ἀρκεῖ δὲ τὰ μαγνήτιδος, ἅπερ τὰ νῦν εἰρήκειν.
Ταύτην καὶ δύο ἀδελφοὶ ἐχθραίνοντες ἀλλήλοις
Κατέχοντες, ἐκτρέπονται τῆς μάχης πρὸς φιλίαν.

HIST. 65.
614. Orph. Lith. 354. sqq.
HIST. 66.
621. Orph. Lith. 312. sqq.

627. Cd. A. in textu εἴποι, in marg. εἴπῃ. Eadem ratio obtinet vs. sequenti.

Καὶ τις κατέχων ταύτην δὲ θέλγει καὶ πείθει λόγοις,
Καὶ τὰς εὐχὰς δ' ἀποπληροῖ τῶν κατεχόντων ταύτῃ.

ΠΕΡΙ ΤΩΝ ΧΥΤΩΝ ΑΡΓΥΡΩΝ. ξζ'.

Λέγουσι τὴν ὑδράργυρον πάντες ἐρᾶν χρυσίου.
Τοῦ ποταμοῦ δ' οἱ θέλοντες ταύτης τι ῥεῖθρον κλέψαι,
Βόθρους ὀρύττουσι πολλοὺς τοῦ ποταμοῦ μακρόθεν,
Εἶτα ἱππέα τάχιστον, χρυσοῦν βαλόντες δέρος,
Λέγουσι πλησιάσαι μὲν τοῦ ποταμοῦ τῇ κοίτῃ,
Εὐθὺς δὲ φεύγειν ὡς πτεροὶ πάλιν εἰς ὀπισθίαν.
Εἰς βόθρους δ' ἡ ὑδράργυρος διώκουσα· ἐμπίπτει,
Ἐξ ὧν ἐλθόντες ἄχρυσοι συλλέγουσιν ἐκείνην.

ΠΕΡΙ ΛΙΘΩΝ ΕΤΕΡΩΝ ΠΑΡΑΔΡΑΜΩ ΤΟΥΣ ΕΡΩΤΑΣ. ξή.

Παντάρβη λίθος οὖσά τις τοὺς λίθους ἐπισπᾶται,
Ὁμοῦ χρυσόν τε καί τινα βυθοῖς ἐγχαλασθεῖσα,
Ὡς ἡ μαγνῆτις σίδηρον εἴωθεν ἐπισπᾶσθαι,
Καθάπερ καὶ ἡ ἤλεκτρος, ἣν λέγεις Βερενίκην,
Καὶ αὕτη ἐπισπᾶται γὰρ τὰς φύσεις τῶν ἀχύρων,
Δάκρυον οὖσα δένδρων τι· τὴν ἄλλην γὰρ οὐ λέγω,
Ἤλεκτρον τὴν χαλκίζουσαν, τὰς δὲ λοιπὰς δυνάμεις
Ἐῶ μετάλλων ἄλλων τε καὶ λίθων διαγράφειν.

ΠΕΡΙ ΤΟΥ ΑΛΛ' Ο ΣΟΦΙΛΟΥ ΠΑΙΣ ΟΥΚ ΕΛ ΣΟΦΟΚΛΗΣ. ξθ'.

Ὁ Σοφοκλῆς ὁ τραγικός, υἱὸς τελῶν Σοφίλου,
Ἐν δράματι τοῦ Αἴαντος, πλὴν τοῦ μαστιγοφόρου,
Τοῦτον φέρει τὸν Αἴαντα υἱὸν τοῦ Τελαμῶνος

HIST. 67.

644. *Πτεροί* haud dubie corruptum. Videtur scribendum *ὡς πτεροῖς.*

HIST. 68.

647. Ctesiae Indica, p. 166. sq. Lion.

HIST. 69.

656. Soph. Aiac. 555. ibique Lobeck.

Πρὸς Εὐρυσάκην τὸν υἱὸν αὐτοῦ τὸν ἐκ Τεκμήσσης
Λέγοντα „τὸ μὴ φρονεῖν γὰρ κάρτ' ἀνώδυνον κακόν."

ΠΑΡΟΙΜΙΑ Η ΠΕΡΙ ΤΟΥ ΣΥ ΤΡΩΣΑΣ, ΣΥ ΚΑΙ ΙΑΣΑΙΟ. ό.

Οἱ Ἕλληνες ἐκπλέοντες τῇ κατὰ Τρώων μάχῃ,
Ὡς τῇ παρὰ τὸν Κάϊκον παρέβαλον Μυσίᾳ,
Τηλέφου συναράξαντος μάχην, συνεκλονοῦντο.
Παῖς δ' οὗτος ἦν ὁ Τήλεφος Αὐγῆς καὶ Ἡρακλέος,
Ὃν Ἀχιλλεὺς κατὰ μηροῦ Τήλεφον τότε τρώσας,
Ὑστέρως ἀνιάτρευσεν ἐκείνῳ προσελθόντα.

ΠΕΡΙ ΤΗΣ ΕΞ ΟΥΡΑΝΟΥ ΓΕΝΟΜΕΝΗΣ ΦΩΝΗΣ ΠΡΟΣ ΜΑΡΚΟΝ ΚΕΔΙΚΙΟΝ. οά.

Ἐν παραλλήλοις Πλούταρχος ὁ Χαιρωνεὺς που γράφει,
Ὕπατον ὄντα Κάμιλλον τοῦ γένους τῶν Ῥωμαίων,
Ὀστρακισθῆναι παρ' αὐτῶν εἰς Ἀρδεάτας χώραν,
Μάρκος δέ τις Κεδίκιος ἐρχόμενος ἀγρόθεν
Ἐξ οὐρανοῦ κατήκουσεν οὕτω φωνῆς λεγούσης·
Ὦ Μάρκε σὺ Κεδίκιε, τάδε Ῥωμαίοις λέγε,
Δι' ἀδικίας τὰς ὑμῶν ἐκδέχεσθε Γαλάτας.
Μετὰ μικρὸν καὶ γέγονεν ἡ πρόῤῥησις ἐκείνη·
Ἄναξ γὰρ Βρέννος Γαλατῶν ἐπόρθησε τὴν Ῥώμην.

ΠΕΡΙ ΜΙΔΕΙΑΣ ΠΟΛΕΩΣ. οβ'.

Μηδείας τῆς Αἰήτου μὲν ἦτα σὺν τῇ διφθόγγῳ·
Μηδίας χώρας Μήδων δὲ ἦτα σὺν τῷ ἰῶτα,
Ἀπὸ τοῦ Μήδου τοῦ παιδὸς Μηδείας σχούσης κλῆσιν,
Μιδείας δὲ τῆς πόλεως ἰῶτα σὺν διφθόγγῳ·
Μίδας γὰρ ὁ χρυσομανὴς Μίδειαν πόλιν κτίζει.

HIST. 70.

660. Cf. Schol. ad Lycophr. 209.

HIST. 71.

666. Plutarch. Camill. c. 14.
673. Cd. A. *μεταμικρόν*, coniuncte.

Αἱ πόλεις διφθογγίζονται, αἱ χῶραι δι' ἰῶτα.
Μηδία χώρα λέγεις γάρ, Μίδεια δὲ ἡ πόλις·
Ὡς Ἰταλία λέγεται τῶν Καλαυρῶν ἡ χώρα,
Τῶν Καλαυρῶν ἡ χώρα τε καὶ ἡ τῶν Λογκιβάρβων.
Ἀττάλεια τυγχάνει δὲ πόλις τῆς Παμφυλίας.
Οὕτω Μηδία χώρα μέν, Μίδεια δὲ ἡ πόλις,
Ἣν Μίδας ὁ χρυσομανὴς ἔκτισεν, ὥσπερ εἶπον,
Ῥᾷδε καὶ πόνου δίχα δὲ λαβὼν τὴν βασιλείαν,
Ὡς ὁ Σαούλ, ὡς ὁ Δαβίδ, ὡς Τοῦλλος ὁ Σέρβιος,
Ὡς Λέων, ὡς Βασίλειος ὁ Μακεδών, καὶ ἄλλοι.
Μίδας γὰρ οὗτος ἁμαξεὺς ὢν τῶν ἀροτρευόντων,
Βόας λαβὼν καὶ ἄροτρον, ἐξῆλθεν ἀροτρεύσων·
Οἱ Φρύγες δ' ἀναρπάξαντες ποιοῦσι βασιλέα.
Ἄνακτος γὰρ χηρεύοντες συνέθεντο συνθήκας,
Τὸν πρῶτον διερχόμενον ποιῆσαι βασιλέα.
Οὗτος δὲ πρῶτος διελθὼν εὐτύχησε τὸ κράτος,
Ὁ κτήτωρ, ὥσπερ ἔφημεν, τῆς πόλεως Μιδείας,
Ἣν δι' ἰῶτα γράφειν σε χρεὼν σὺν τῇ διφθόγγῳ·
Μειδίας δὲ τὸ κύριον, ὁ τύψας Δημοσθένην,
Ὡς μειδιῶν καὶ γελαστὴς δίφθογγον σὺν ἰῶτα.

ΠΕΡΙ ΔΙΑΥΛΟΥ, ΣΤΑΔΙΟΥ ΚΑΙ ΕΤΕΡΩΝ. ογ'.

Πρὶν στάδιον ὠνόμαζον τὸν δρόμον τὸν ὁπλίτην,
Ὁ τρέχων μετὰ ὅπλων δὲ ὄρθιον εἶχε δρόμον,
Κάμπτων οὐδόλως οὐδαμῶς· ὁ στάδιος μὲν τοῦτο.
Δίαυλος δρόμος ὁ διπλοῦς, ἕνα ποιῶν καμπτῆρα·
Ὁ δόλιχος ἑπτάδρομος, τρεῖς γὰρ καμπτῆρας εἶχε
Καὶ τὸ καμπτῆρος ἥμισυ· ἦσαν δὲ ὅπλων ἄνευ.
Ὁ τέτρωρος ἦν δρόμος δὲ καμπτήρων δωδεκάδος.

HIST. 72.
695. Cd. A. πρώτως.

ΠΕΡΙ ΛΩΤΟΥ. οδ'.

Λωτὸν καὶ τὴν ἀγρίαν μὲν καλοῦσι τὴν βοτάνην,
Καὶ δένδρον τι καθέστηκε, Διόδωρος ὡς γράφει,
Ἐν τόποις τοῖς Γαδείρων τε καὶ τόποις τοῖς Αἰγύπτου,
Ποιοῦν καρπὸν ὡς κύαμον, ἐξ οὗ ποιοῦσιν ἄρτους.
Μέμνηται καὶ Ἡρόδοτος οὗπερ λωτοῦ νῦν ἔφην.
Τινὲς λωτὸν δὲ λέγουσί τι καλαμῶδες Νείλῳ.

ΠΕΡΙ ΣΕΙΡΗΝΩΝ. οε'.

Τρεῖς ἦσαν αἱ Σειρῆνες μὲν ᾠδῇ κηλοῦσαι πάντας,
Ἡ Λευκωσία, Λίγεια μετὰ τῆς Παρθενόπης.
Ἄλλοι Ἀγλαοφήμην δέ φασιν, Ἀγλαονόην,
Καὶ τρίτην Θελξιέπειαν· ἦσαν δὲ θυγατέρες
Τοῦ Ἀχελώου ποταμοῦ καὶ Τερψιχόρης Μούσης.
Εὕρῃς αὐτὴν τοῖς ὄπισθεν εἰς πλάτος γεγραμμένην,
Οὖσαν τετρακαιδέκατον ταῖς πρώην ἱστορίαις.

ΠΕΡΙ ΠΟΛΥΔΑΜΝΕΙΩΝ ΦΑΡΜΑΚΩΝ. ος'.

Ὅμηρος τὴν Πολύδαμναν φησι τὴν Αἰγυπτίαν
Εἶναι γυναῖκα Θῶνος μὲν Αἰγύπτου βασιλέως,
Οἵ τινες ὑπεδέξαντο Μενέλαον, Ἑλένην,
Ἀνέμοις πρὸς τὴν Αἴγυπτον βιαίως ἐκριφέντας,
Καὶ δωρεοῖς ἠμείψαντο τούτους ἀξιοχρέοις,
Ὁ Θῶν μὲν τὸν Μενέλαον, Πολύδαμνα δ' Ἑλένην.
Καὶ φάρμακον ληθεδανὸν τῶν ὀδυνῶν δωρεῖται,
Ὃ βάλλουσα πρὸς οἶνον μέν, ἄν τις ἐκ τούτου πίνοι,
Ἐτήρει τοῦτον θλίψεων αὐθημερὸν μακρόθεν,
Ὡς μὴ δακρῦσαι μηδαμῶς, κἂν σφαττομένους βλέπῃ
Πατέρα τε καὶ ἀδελφόν, εἴτε καὶ φίλον παῖδα.

HIST. 74.

708. Cf. Diodor. Sic. I, 34.

711. Herodot. II, 92. IV, 177.

712. Cd. A. λωτόνδε et τί.

HIST. 75.

719. Ut hic τετραδέκατον, ita supra vs. 602. ἑκατοντεσσαρακοστος generis feminini est.

HIST. 76.

720. Odyss. IV, 220 sqq.

Τοὺς μετὰ οἶνον λόγους πρὶν Ἑλένης θελκτηρίους
Ἐν Ὀδυσσείᾳ φάρμακον ληθεδανὸν εἰρήκειν.
Οὐκ ἀπεικὸς καὶ φάρμακα τὴν Αἴγυπτον κεκτῆσθαι
Ληθεδανὰ καὶ παύοντα τὰς ἀφορήτους θλίψεις.
Καὶ γὰρ καὶ τοὺς Αἰθίοπας τοὺς ἀπαθεῖς ἀκούω
Μήτε πληγαῖς μήτε τομαῖς, μὴ καύσεσι, μηδ' ἄλλως
Ἀνιαροῖς ἀλγύνεσθαι, φέρειν δὲ πάντα ῥᾷστα,
Ὡς ἄλλου τινὸς πάσχοντος, δοκῶ τισὶ φαρμάκοις.

ΠΕΡΙ ΤΟΥ ΤΟΝ ΟΔΥΣΣΕΑ ΚΑΠΝΟΝ ΤΗΣ ΠΑΤΡΩΑΣ ΜΕΓΑΛΗΣ ΕΥΔΑΙΜΟΝΙΑΣ ΚΡΕΙΤΤΩ ΔΟΚΕΙΝ. οζ'.

Τὸν Ὀδυσσέα Ὅμηρός φησιν ἐν Ὀδυσσείᾳ,
Τῆς Καλυψοῦς ἀθανατοῦν ὑποσχομένης τοῦτον,
Εἰ συνδιάγειν μετ' αὐτῆς καὶ συνβιοῦν θελήσοι,
Μηδόλως βουληθῆναι μέν, ἀλλὰ θανεῖν θελῆσαι,
Ἰδόντα μόνον κἂν καπνὸν τῆς ἑαυτοῦ πατρίδος.

ΠΕΡΙ ΤΟΥ ΑΙΔΩΣ ΤΟΙ ΠΡΟΣ ΑΝΟΛΒΙΗΝ, ΘΑΡΣΟΣ ΔΕ ΠΡΟΣ ΟΛΒΟΝ. οη'.

Τὸν ἀδελφὸν Ἡσίοδος ἀργίας ἀποτρέπων,
Πέρση φησί μοι ἀδελφέ, αἰδώς σοι ὑπαρχέτω,
Εἰς τὸ μὴ πενητεῦσαί σε καὶ ἄνολβον γενέσθαι,
Θάρσος καὶ τόλμη δὲ πολλὴ πρὸς ὄλβον τε καὶ πλοῦτον.

---

736. Cd. A. μὴ δ'.

HIST. 77.

741. In cd. A. θελήσει. [οι]

HIST. 78.

In inscriptione pro αἰδῶ τοῦ dedi αἰδώς τοι, vestigia cd. A. secutus.

744. Hes. O. D. 292.

746. In marg. edit. Bas. πίνητά σε.

ΠΕΡΙ ΤΟΥ ΓΥΜΝΑΖΕ ΣΑΥΤΟΝ ΠΡΟΓΥΜΝΑΣΜΑΣΙΝ. οθ'.

Ῥητορικὴν μὲν γίνωσκε τὴν δικηγόρων τέχνην,
Τὴν βίβλον Ἑρμογένους δὲ σοφιστικήν μοι καλεῖν.
Αὕτη δ' ἡ σοφιστεύουσα ῥητορικῆς ἡ βίβλος
Πεντάβιβλος ὑπάρχει μὲν, εἰς πέντε διαιρεῖται,
Εἴς τε τὰ προγυμνάσματα, στάσεις καὶ τὰς εὑρέσεις,
Ἰδέας, καὶ πρὸς μέθοδον δεινότητος σὺν τούτοις.
Ἐν οὖν τοῖς προγυμνάσμασι πῶς γράφειν δεῖ διδάσκει
Ἓν ἕκαστον προγύμνασμα, δεκατεσσάρων ὄντων.
Ἐν στάσεσι τὰς στάσεις δὲ τὰς δεκάτρεῖς διδάσκει,
Πόσοις ἑκάστη τέμνεται καὶ ποίοις κεφαλαίοις.
Εἰς τὰς εὑρέσεις λέγει δὲ πῶς ἐφευρίσκειν δέον
Προοίμια, διήγησιν, ἀγῶνας, ἐπιλόγους,
Καὶ πῶς χρὴ τὰ κεφάλαια τῶν ἀντιδίκων λύειν,
Πόσοις καὶ οἵοις τρόποις τε καὶ πῶς δὲ τὰ οἰκεῖα
Εἰσάγειν χρὴ κεφάλαια, οἵοις καὶ πόσοις τρόποις.
Αἱ κεφαλαίων ἀγωγαὶ καὶ λύσεις, ὥσπερ ἔφην,
Ἀγῶνες ὀνομάζονται· ταῦτα διδάσκει τούτοις.
Ἐν ταῖς ἰδέαις δὲ ἑπτὰ διδάσκει τὰς ἰδέας,
Σαφήνειαν καὶ μέγεθος, κάλλος, γοργότητά τε,
Ἦθός τε καὶ ἀλήθειαν, δεινότητα σὺν τούτοις.
Ὧν τὴν σαφήνειαν αὐτὴν, τὸ μέγεθος καὶ ἦθος
Ἰδέας λέγει γενικὰς ἐξ ἄλλων συγκειμένας·
Τὰς δὲ λοιπὰς τὰς τέσσαρας, εἰδικωτάτας λέγει·
Αὐτήν τε τὴν ἀλήθειαν ὑπὸ τὸ ἦθος τάττει
Ὁ Ἑρμογένης ὁ σοφὸς, καὶ τὰς ἑπτὰ ἰδέας
Ἃς πρότερον κατέλεξεν, ἐξ ἄρτι μοι δεικνύει·

HIST. 79.

749. Cf. J. Ch. Theoph. Ernesti praefat. ad Lexicon technolog. Graecor. rhetor. p. XV. sqq. In edit. Bas. κάλλειν.

756. Vid. Lexic. technol. s. στάσις.

757. In marg. cd. A. γίνεται.

764. Vid. Lexic. technol. s. ἀγῶνες, et ἰδέα.

773. In marg. cd. A. οὕτω pro ἄρτι, quod vel magis convenit reliquae orationi.

Τοὺς μετὰ οἶνον ... ἰδεῶν ὧν ἔφην,
Ἐν Ὀδυσσείᾳ ... ρίων, ἅπερ μάθε,
Οὐκ ἀπεικ ... λέξεως καὶ σχημάτων,
Ἀληθεδαι ... σεως, σὺν τούτοις καὶ ῥυθμοῦ δὲ
Καὶ γὰ ... ποιότητα τοῦ λόγου,
Μήτε ... τε, πράγμασι προκειμένοις·
Ἀνιαρ ... δικανικῷ γὰρ εἴδει,
Ὡς ... μεραις δέ, καὶ ἄλλαις πανηγύρει·
... δόξοις δέ, καὶ ἄλλαις ἀμφιδόξοις,
Π ... αδόξοις δέ. καὶ τὰς ἰδέας ἔγνως,
... ἔχουσι, τίνα διδασκαλίαν.
... μεθόδου δὲ δεινότητος οἱ ἄλλοι
... τὰ ἔνδοξα τῶν προβλημάτων ποῖα,
... ἀμφίδοξα καὶ τὰ τῶν παραδόξων,
... δεῖ μελετᾶν ἕκαστον πάντων τούτων.
... ἐν τῷ λουτρῶνι δέ, ὡς ἔοικεν, οὐρήσας,
... τοῖς ἄλλοις βουληθεὶς διδάσκειν τῶν ῥητόρων,
... μισύρας ἅπαντας ἐξ ὧνπερ ὠφελήθη,
... τὸν Φοιβάμμωνα καὶ Μινουκιανὸν δέ,
... Διονύσιον, σὺν οὐκ ὀλίγοις ἄλλοις,
Καὶ ἄλλοις τόποις ἄλλους δέ, ὑποσχεθείς τε πάντα
Ἐν τῷ περὶ μεθόδου σοι δεινότητος διδάξαι,
Ἁπάντων ἐξελάθετο τῶν προϋπεσχημένων,
Κἄν πέρ τινες θαυμάσιοι τούτῳ συνηγορῶσι.
Κεφάλαια δὲ δίδωσι τριάκοντα καὶ πέντε,
Ἀφάντου μύλου διάλεστρα, καὶ φοῦρνον κωλοζώστην.
Καὶ ταῦτα λέγει μέθοδον δεινότητος τυγχάνειν,
Οἳ συνεργοῦσι καί τινες ὡς ὅμοιοι ὁμοίοις.

788. Desunt duae syllabae. Potuit post δεῖ excidere εἶδος.

792. Fabric. bibl. gr. T. VI. p. 107.

799. Hunc versum, syllaba longiorem, Lacisius interpretatur ita: *obscuri molendini molitricia et furnum membricinctum.* Ego nec Graeca nec Latina intelligo. Hoc tamen satis perspicue, opinor, patet, Tzetzam Hermogeni exprobrare nimias dividendi argutias. Conf. Chil. X, 424.

ετζης δέ σοι δεινότητος σκιαγραφεῖ μεθόδους
ιτροχάδην, σύντομα, τοῦ χάρτου πεφεισμένος.
έθοδον σὺ δεινότητος γίνωσκε νῦν μαθών μου,
ιδέναι πάντα τεχνικῷ, ῥητορικῷ τῷ λόγῳ,
Ποῦ μὲν οὐ χρὴ καταχρῆσθαι συνόλως προοιμίοις,
Ὅπου δὲ χρή, ὁποῖόν τε καὶ πῶς καὶ μέχρι πόσου,
Καὶ ποῦ προδιηγεῖσθαι δὲ καὶ διηγεῖσθαι δέον,
Ποῦ δ' οὐ προδιηγεῖσθαί τε, οὐδέ γε διηγεῖσθαι,
Καὶ ποῦ δὲ ἀγωνίζεσθαι, ποῦ δὲ ἀγὼν οὐ πίπτει,
Καὶ ποῦ χρεὼν ἐπίλογον, ποῦ δ' οὐ χρεὼν τιθέναι,
Καὶ πάντα πῶς καὶ πότε δεῖ, καὶ μέχρι τίνος γράφειν,
Ἰδέαις ποίαις ἕκαστον καὶ τοῖς ὀκτὼ μορίοις,
Ἐννοίαις καὶ μεθόδοις δέ, λέξεσι, σχήμασί τε,
Κώλοις, συνθήκαις, παύσεσι, καὶ τοῖς ῥυθμοῖς ὡσαύτως,
Πάντα πρὸς τὰ προβλήματα γράφοντα κατ' ἀξίαν,
Κἂν ἔνδοξον τὸ πρόβλημα, κἄνπερ ἐκ τῶν ἀδόξων,
Κἄνπερ ἀμφίδοξόν ἐστι, κἄν τε τῶν παραδόξων.
Τοιαύτη μὲν ἡ δύναμις δεινότητος μεθόδου·
Ὁ δ' Ἑρμογένης σὺν αὐτοῦ τοῖς σοφοσυνηγόροις
Γραφέτωσαν, λαλείτωσαν, ἅπερ αὐτοῖς ἐπέλθῃ.

ΠΕΡΙ ΤΗΣ ΚΙΒΩΤΟΥ ΤΗΣ ΤΟΥ ΝΩΕ. π'.

Κατάδηλα τυγχάνουσι τὰ κιβωτοῦ καὶ Νῶε,
Καὶ πῶς πᾶν ζῷον καθαρὸν καὶ πᾶν τῶν ἀκαθάρτων
Ἐν ταύτῃ παρενέκλεισε σπέρμα τῶν πάντων ζῴων.

---

806. Καταχρῆσθαι e marg. cd. A. pro corruptis καχρῆσθαι δέ.

807. Immo ὁποίῳ, scil. προοιμίῳ.

816. Pronomen σε post γράφοντα, in cd. A. deletum, omisi.

820. In Tzetza compositum σοφοσυνήγορος non est offensioni.

Ἑκάστη δὲ τῶν εἰδικῶν τῶν ἰδεῶν ὧν ἔφην,
Ἀπὸ δ' ὀκτὼ συνίσταται μορίων, ἅπερ μάθε,
Ἐννοίας καὶ μεθόδου τε, λέξεως καὶ σχημάτων,
Κώλων, συνθήκης, παύσεως, σὺν τούτοις καὶ ῥυθμοῦ δέ.
Τὴν δὲ ἰδέαν γίνωσκε ποιότητα τοῦ λόγου,
Ἁρμόδιον προσώποις τε, πράγμασι προκειμένοις·
Ἄλλαις ἰδέαις χρώμεθα δικανικῷ γὰρ εἴδει,
Τῷ συμβουλῆς ἑτέραις δέ, καὶ ἄλλαις πανηγύρει·
Ἄλλαις ἐν τοῖς ἀδόξοις δέ, καὶ ἄλλαις ἀμφιδόξοις,
Καὶ ἄλλαις παραδόξοις δέ. καὶ τὰς ἰδέας ἔγνως,
Ποίας δυνάμεις ἔχουσι, τίνα διδασκαλίαν.
Ἐν τῷ περὶ μεθόδου δὲ δεινότητος οἱ ἄλλοι
Διδάσκουσι τὰ ἔνδοξα τῶν προβλημάτων ποῖα,
Τὰ ἄδοξα· ἀμφίδοξα καὶ τὰ τῶν παραδόξων,
Καὶ πῶς δεῖ μελετᾶν ἕκαστον πάντων τούτων.
Οὗτος ἐν τῷ λουτρῶνι δέ, ὡς ἔοικεν, οὐρήσας,
Ταῦτα τοῖς ἄλλοις βουληθεὶς διδάσκειν τῶν ῥητόρων,
Καὶ διασύρας ἅπαντας ἐξ ὧνπερ ὠφελήθη,
Στάσεσι τὸν Φοιβάμμωνα καὶ Μινουκιανὸν δέ,
Ἰδέαις Διονύσιον, σὺν οὐκ ὀλίγοις ἄλλοις,
Καὶ ἄλλοις τόποις ἄλλους δέ, ὑποσχεθείς τε πάντα
Ἐν τῷ περὶ μεθόδου σοι δεινότητος διδάξαι,
Ἁπάντων ἐξελάθετο τῶν προϋπεσχημένων,
Κἂν πέρ τινες θαυμάσιοι τούτῳ συνηγορῶσι.
Κεφάλαια δὲ δίδωσι τριάκοντα καὶ πέντε,
Ἀφάντου μύλου διαλέστρα, καὶ φοῦρνον κωλοζώστην.
Καὶ ταῦτα λέγει μέθοδον δεινότητος τυγχάνειν,
Ὧι συνεργοῦσι καί τινες ὡς ὅμοιοι ὁμοίοις.

788. Desunt duae syllabae. Potuit post δεῖ excidere εἶδος.

792. Fabric. bibl. gr. T. VI. p. 107.

799. Hunc versum, syllaba longiorem, Lacisius interpretatur ita: *obscuri molendini molitricia et furnum membricinctum.* Ego nec Graeca nec Latina intelligo. Hoc tamen satis perspicue, opinor, patet, Tzetzam Hermogeni exprobrare nimias dividendi argutias. Conf. Chil. X, 424.

Τζέτζης δέ σοι δεινότητος σκιαγραφεῖ μεθόδους
Ἐπιτροχάδην, σύντομα, τοῦ χάρτου πεφεισμένος.
Μέθοδον σὺ δεινότητος γίνωσκε νῦν μαθών μου,
Εἰδέναι πάντα τεχνικῷ, ῥητορικῷ τῷ λόγῳ,
Ποῦ μὲν οὐ χρὴ καταχρῆσθαι συνόλως προοιμίοις,
Ὅπου δὲ χρή, ὁποῖόν τε καὶ πῶς καὶ μέχρι πόσου,
Καὶ ποῦ προδιηγεῖσθαι δὲ καὶ διηγεῖσθαι δέον,
Ποῦ δ' οὐ προδιηγεῖσθαί τε, οὐδέ γε διηγεῖσθαι,
Καὶ ποῦ δὲ ἀγωνίζεσθαι, ποῦ δὲ ἀγὼν οὐ πίπτει,
Καὶ ποῦ χρεὼν ἐπίλογον, ποῦ δ' οὐ χρεὼν τιθέναι,
Καὶ πάντα πῶς καὶ πότε δεῖ, καὶ μέχρι τίνος γράφειν,
Ἰδέαις ποίαις ἕκαστον καὶ τοῖς ὀκτὼ μορίοις,
Ἐννοίαις καὶ μεθόδοις δέ, λέξεσι, σχήμασί τε,
Κώλοις, συνθήκαις, παύσεσι, καὶ τοῖς ῥυθμοῖς ὡσαύτως,
Πάντα πρὸς τὰ προβλήματα γράφοντα κατ' ἀξίαν,
Κἂν ἔνδοξον τὸ πρόβλημα, κἄνπερ ἐκ τῶν ἀδόξων,
Κἄνπερ ἀμφίδοξόν ἐστι, κἄν τε τῶν παραδόξων.
Τοιαύτη μὲν ἡ δύναμις δεινότητος μεθόδου·
Ὁ δ' Ἑρμογένης σὺν αὐτοῦ τοῖς σοφοσυνηγόροις
Γραφέτωσαν, λαλείτωσαν, ὅπερ αὐτοῖς ἐπέλθῃ.

ΠΕΡΙ ΤΗΣ ΚΙΒΩΤΟΥ ΤΗΣ ΤΟΥ ΝΩΕ. π'.

Κατάδηλα τυγχάνουσι τὰ κιβωτοῦ καὶ Νῶε,
Καὶ πῶς πᾶν ζῶον καθαρὸν καὶ πᾶν τῶν ἀκαθάρτων
Ἐν ταύτῃ παρενέκλεισε σπέρμα τῶν πάντων ζώων.

---

806. *Καταχρῆσθαι* e marg. cd. A. pro corruptis *καχρῆσθαι δέ.*

807. Immo *ὁποίῳ*, scil. *προοιμίῳ.*

816. Pronomen *σε* post *γράφοντα*, in cd. A. deletum, omisi.

820. In Tzetza compositum *σοφοσυνήγορος* non est offensioni.

ΠΕΡΙ ΤΗΣ ΑΠΟΦΟΙΤΗΣΕΩΣ ΤΟΥ ΚΟΡΑΚΟΣ ΚΑΙ ΤΗΣ ΠΕΡΙΣΤΕΡΑΣ ΕΚ ΤΗΣ ΚΙΒΩΤΟΥ. πά.

Ὡς δὲ μικρὸν ἐκόπασε κατακλυσμοῦ τὸ ὕδωρ,
Ἀφῆκεν ἐκ τῆς κιβωτοῦ τὸν κόρακα μὲν πρῶτον,
Νοῆσαι θέλων ἀκριβῶς, ὡς, εἰ στραφῇ καὶ πάλιν,
Ἔτι τὸ ὕδωρ περιττόν, ὄμβρων οὐκέτι παῦλα.
Ὃς κόραξ ἀπελθών, οὐχ ὑπεστράφη πάλιν,
Ἐτρέφετο δὲ πτώμασι πολλῶν διαφθαρέντων.
Δευτέραν δὲ ἀφίησι περιστερὰν ὁ Νῶε,
Ἥπερ λαβοῦσα κάρφος τι ἐλαίας, ὑπεστράφη.
Ὅπερ καὶ γνώρισμα σαφὲς ὕδατος κοπασμάτων.

ΠΕΡΙ ΤΟΥ ΠΡΟΜΗΘΕΩΣ. πβ́.

Ἡσίοδος τοῖς ἔργοις τε καὶ ταῖς ἡμέραις λέγει,
Ὡς ὅτε Ζεὺς ἠβούλετο στεῖλαι κακὸν ἀνθρώποις,
Ὁ Προμηθεὺς δὲ ἀδελφῷ Ἐπιμηθεῖ προεῖπεν
Ἐκ τοῦ Διὸς μὴ δέξασθαι μηδὲν ἀπεσταλμένον.
Ὁ δὲ τούτου παρήκοος γενόμενος ἐγνώκει,
Οἷον κακὸν μὴ πείθεσθαι συμβούλοις εὐσυμβούλοις.
Ταῦτα μὲν οὕτω μυθικῶς αὐτὸς τανῦν σοι γράφω.
Ἀλληγορήσας δ' ἔγραψα πρὶν Ἡσιόδῳ ταῦτα·
Ὡς νοῦς ὁ προβουλότατος ὁ Προμηθεὺς ὑπάρχει,
Τὸν νοῦν τὸν ὑστερόβουλον λέγε δ' Ἐπιμηθέα,
Τὸν μετὰ πάθος ἐπελθὸν μάθησιν δεδεγμένον

* * *

Ἐδὲμ σημαίνει τὴν τρυφήν, τὸ δὲ Ἐδὼμ τὴν θέρμην.

HIST. 81.
829. Videtur scribendum, οὗτος ὁ κόραξ.

HIST. 82.
834. Vers. 86.

841. Scholia ad Hesiod. vs. 42.

845. Post versum 844. desideratur historia LXXXIII. praeter hunc unum versiculum.

ΠΕΡΙ ΦΙΛΟΠΟΙΜΕΝΟΣ ΥΙΟΥ ΚΡΑΥΓΙΔΟΣ. πδʹ.

Ἡ ἱστορία κεῖται μὲν ἐν τῷ ἐπιστολίῳ.
Παῖς Φιλοποίμην Κραύγιδος ἦν, βασιλεὺς Ἑλλάδος,
Ἄμορφον δʼ εἶχε τὴν μορφήν· παρά τινος κληθεὶς δὲ
Ἀπῆλθεν ὡς πρὸς ἄριστον πρὸ χρόνου τοῦ ἀρίστου,
Ἀπόντος δὲ τοῦ τούτον μὲν τῷ τότε κεκληκότος,
Ἰδοῦσα τοῦτον ἡ γυνὴ τελοῦντα τῶν ἀμόρφων,
Οἰκέτην τε νομίσασα, σχίζειν κελεύει ξύλα.
Ὁ δʼ ὢν ἐπιεικέστατος τὸ κελευσθὲν ἐποίει.
Ὡς δʼ ὁ καλέσας ἐπελθών, ἰδὼν τὸ πεπραγμένον,
Τί τοῦτο; ἀνεβόησεν· ὁ Φιλοποίμην λέγει·
Τί δʼ ἄλλο, ἢ τιμώρημα τῆς δυσειδοῦς μορφῆς μου;
Ἔχεις τὴν Φιλοποίμενος ῥηθεῖσαν ἱστορίαν.

ΠΟΘΕΝ ΛΕΓΕΤΑΙ ΠΑΡΟΙΝΙΑ. πεʹ.

Μάθε τί προπηλακισμὸς καὶ τίς ἡ παροινία,
Λατάγη τε καὶ κότταβος καὶ ἐωλοκρασία.
Ὁ προπηλακισμός, φασί τινες ἐκ τῶν ἀσκέπτων,
Εἴρηται ἐκ τοῦ χρίεσθαι πηλῷ κωμῳδουμένους.
Τζέτζης ἐξ οἴνου λέγει δὲ πᾶν τούτων εὑρεῖν κλῆσιν·
Πηλὸν τὸν οἶνον γάρ φησι καὶ κάπηλον ἐκ τούτου.
Φησὶ καὶ Τρυφιόδωρος συμμαρτυρῶν τῷ Τζέτζῃ
Γαῖαν καταχνισσῶσαν χυτὴν εὐώδεϊ πηλῷ.
Φησὶ γοῦν προπηλακισμὸν τὴν κλῆσιν ἐσχηκέναι
Ἀπὸ τρυγὸς τῆς τοῦ πηλοῦ, ἤγουν αὐτοῦ τοῦ οἴνου,

HIST. 84.

846. Philopoemenis pater quum et a Plutarcho c. 2. et a Pausania VIII, 49. appelletur Κραῦγις, non dubitavi etiam in Tzetza pro Κραῦσις scribere Κραῦγις.

848. Cd. A. in marg. δύσμορφον.

851. Ibidem τις pro ἡ.

HIST. 85.

858. Attisch. Mus. St. 3. p. 475. sqq.

864. Tryphiod. v. 349. ibique Merrick.

865. Sic scripsi pro κατεκνίσωσαν, quod est in edit. Basil. E cd. A. nihil varietatis est enotatum.

Ἡι κατ' ἀρχὰς οἱ κωμῳδοὶ τὰ πρόσωπα χρισθέντες
Πολλοὺς κατεκωμῴδησαν ἐν μέσαις ταῖς Ἀθήναις.
Ἔστιν οὖν προπηλακισμὸς ὕβρις καὶ κωμῳδία,
Καὶ παροινία σὺν αὐτῷ ὕβρις καὶ φλυαρία,
Ἡ λάταξ τε καὶ κότταβος καὶ ἑωλοκρασία.
Ὅπως δὲ νῦν κατάκουε καὶ σαφέστατως μάθε.

Τράγκυλος Σουητῖνός τις ἐν παιδιαῖς Ἑλλήνων
Πολλὰς μὲν ἄλλας παιδιὰς καὶ συμποσίων λέγει·
Ὧν συμποσίων μία μὲν ἡ ἑωλοκρασία,
Ἑτέρα δὲ ὁ κότταβος ὁμοῦ καὶ ἡ λατάγη.
Οἱ νέοι γὰρ κωμάζοντες τόποις ἀφωρισμένοις,
Περὶ ἑσπέραν τοὺς χοὰς καὶ τοὺς βίκους τιθέντες,
Ἕκαστος ἀνδριζόμενος ἔπινε τὸν οἰκεῖον.
Ὃς δὲ πιεῖν οὐκ ἴσχυσε τὸν ἑαυτοῦ χοέα,
Περιεχεῖτο ἕωθεν, τῶν συμποτῶν γελώντων.
Τόδ' ἑωλοκρασία μέν· τὸν κότταβον δὲ μάθε.

Τῷ συμποσίῳ ἵστατο ζυγὸς καὶ λεκανίσκαι
Παρ' ἑκατέρῳ τοῦ ζυγοῦ κάτωθεν τῶν πλαστίγγων.
Αἱ λεκανίσκαι μέσον δὲ εἶχον ἀνδριαντίσκους,
Ἀνδριαντίσκους, οὓς μανᾶς ὠνόμαζον οἱ τότε
Οἱ κωμασταί. πληροῦντες οὖν οἴνου τὸ τούτων στόμα
Ὁ λάταξ καὶ λατάγη δέ, ἤγουν ὑγρὸν καὶ ῥῦσις,
Τοῦτο ἀπεκοττάβιζον εἰς μίαν τῶν πλαστίγγων,
Τουτέστιν ἐξετίνασσον, ἀπέπτυον, ἐκένουν.
Κότταβον καὶ τὸ ὄργανον ἅπαν ἐκάλουν τοῦτο.
Ἂν οὖν ἡ πλάστιγξ τῇ φορᾷ κατέῤῥεψε τοῦ οἴνου,
Καὶ τὸν μανᾶν εἰς κεφαλὴν ἤχησε κεκρουκυῖα,
Ὁ κωμαστὴς συγκωμασταῖς ἐδόκει τῶν γενναίων.

---

873. ὅθεν margo cd. A. pro ὅπως.
874. Cd. A. συητῖνος.
888. Pro τούτων scribit αὐτῶν Groddeck in: Antiquarische Versuche. Erste Samml. p. 251. Vid. Com. Soc. philolog. Lips. Vol. I. P. 1. p. 103. Hac mutatione non est opus: nam Tzetzes proprio quodam loquendi usu pronomini οὗτος tribuit vim reflexivam. Vid. Chil. II, 790. VI, 627. et permultis aliis locis.

Εἰ δ' οὔ, πολὺν ἐλάμβανεν ὡς ἀσθενὴς τὸν γέλων,
Ἐκ τούτων ὕβρις σύμπασα καὶ πᾶσα φλυαρία
Λέγεται προπηλακισμὸς ἅμα καὶ παροινία,
Λατάγη τε καὶ κότταβος καὶ ἑωλοκρασία.

ΠΕΡΙ ΤΟΥ ΑΜΕΡΑΙ Δ' ΕΠΙΛΟΙΠΟΙ ΜΑΡΤΥΡΕΣ ΣΟΦΩΤΑΤΟΙ. πϛ'.

Πίνδαρος τὴν κατάβρωσιν Πέλοπος ἐψευσμένην
Δεῖξαι βουλόμενός φησιν· ἐγὼ θεῶν οὐ λέγω
Εἶναί τινα γαστρίμαργον· τινὲς δὲ ψευδηγόροι
Συμπλάττουσι καὶ λέγουσι μυρία τῶν ψευσμάτων,
Ἅτινα παγιούμενα τῷ χρόνῳ μαρτυροῦνται,
Ὡς ἀληθῆ τε καὶ πιστὰ καὶ τῶν ἀψευδεστάτων.
Ἀμέραις ἐπιλοίπους μὲν μάρτυρας σοφωτάτους
Οὕτως εἰρήκει Πίνδαρος· ἐγὼ δ' οὐχ οὕτως ἔφην·
Ἀλλ' εἶπον κατὰ ἔμφασιν, εἰ μὴ τὸ δέον δράσῃς,
Ὃ πείσῃ πάθος παρ' ἡμῶν, ὁ χρόνος σαφῶς δείξει.

ΠΕΡΙ ΜΕΤΑΜΕΛΕΙΑΣ ΤΗΣ ΕΠΙΜΗΘΕΩΣ ΠΑΙΔΟΣ. πζ'.

Τὸν νοῦν τὸν προβουλότατον καλοῦμεν Προμηθέα,
Παρὰ τὸ προμηθεύεσθαι καὶ προσκοπεῖν πρὸ πάθους.
Νῦν δὲ τὸν ὑστερόβουλον τὸν μετὰ πάθος γνόντα
Ἐπιμηθέα λέγομεν· οὗπερ καὶ θυγατέρα
Φαμὲν τὴν Μεταμέλειαν ἀπὸ τῶν συμβαινόντων.
Οἳ γὰρ οὐ προσκοπήσουσι, μετὰ δὲ πάθος γνῶσιν,
Ἔχουσι μεταμέλειαν, καὶ περιττὴν τὴν θλῖψιν.

ΠΕΡΙ ΕΛΙΚΩΝΟΣ. πη'.

Ὁ Ἑλικὼν καὶ Κιθαιρών, ὄρη τῆς Βοιωτίας,
Ἐξ Ἑλικῶνος ἀδελφῶν ὄντων καὶ Κιθαιρῶνος,

HIST. 86.
900. Olymp. I, 53. 54. 82. 83.
901. θεῶν pro θεὸν e marg. ed. A. In Pindaro est μακάρων.

Οἵπερ ἀλλήλους ἔκτειναν, ὡς οἱ Οἰδίπου παῖδες,
Ὡς ἔγραψε Λυσίμαχος ἀνὴρ ὁ Κυρηναῖος.

ΠΕΡΙ ΜΟΥΣΩΝ. πθ'.

Τὰς Μούσας παῖδας ἔφασαν Διὸς καὶ Μνημοσύνης,
Ἅσπερ ἐφόρους λέγουσι ποιητῶν πεφυκέναι,
Τῶν μετρικῶν δὲ μάλιστα καὶ τῶν ποιημάτων δέ,
Ὡς τὸν Ἑρμῆν ῥητορικῶν καὶ τῶν πεζῶν δὲ λόγων.
Ταῦτα μὲν οὕτω μυθικῶς, κατὰ δ' ἀλληγορίαν
Μαιοῦσαι Μοῦσαι λέγονται, γνώσεις τῶν μαθημάτων
Καὶ μῶσαι καὶ ζητοῦσαι δὲ περὶ σοφῶν πραγμάτων.
Ταύτας τὰς Μούσας δὲ γεννᾷ τὰς εἰς σοφίας γνώσεις,
Λόγοις ἀμέτροις μετρικοῖς σεμνῶς ὡραϊσμένας,
Ὁ Ζεύς, ὁ νοῦς ὁ πάνσοφος, ἅνπερ ἐστὶ καὶ μνήμη.

ΠΕΡΙ ΠΙΕΡΙΑΣ. ϟ'.

Ὄρος τῆς Βοιωτίας μέν ἐστιν ἡ Πιερία,
Ὄρος, καὶ πόλις δὲ ὁμοῦ κτισθεῖσα τῷ Πιέρῳ,
Ὃς ἦν Μεθώνης ἀδελφός, Λίνου δὲ φυτοσπόρος,
Ἡ Πιερία ὕστερον Λύγκος μετωνομάσθη·
Ἧς τὴν ἀρχήν, ὡς Μελισσεὺς ἐν Δελφικοῖς που γράφει,
Πρῶτος παῖς Ἠμαθίωνος Ἀέροπος ἐσχήκει.
Πραγματικῶς, ὡς Ἑλικὼν ἡ Πιερία ὄρος,
Ὄρος καὶ πόλις, προλαβὼν ὡς προειρήκειν τόδε.
Λέγουσι γεννηθείσας δὲ Μούσας ἐν Πιερίᾳ
Ἐν Ἑλικῶνι τὸν αὐτῶν χοροῖς ὑμνεῖν πατέρα.

HIST. 88.

920. Vid. Mülleri indicem scriptor. in Tzetz. schol. s. *Λυσίμαχος*.

926. In marg. cd. A. *καὶ Μοῦσαι* pro *μαιοῦσαι*.

HIST. 90.

934. De urbe *Lynco* vid. Cellar. Geogr. T. I. p. 1032. sq.

935. Vid. Vossius de hist. gr. p. 518. Tzetz. schol. ad Hesiodi O. D. p. 29. Ibique Heins.

937. In marg. cd. A. *πραγματεύει*.

938. Cd. A. *προλαβὼν* pro *προσλαβών*.

Τὸ δ' ἀλληγορικώτερον· σὺ Πιερίαν νόει
Τοῦ λογισμοῦ τὸ ὄργανον, ἐν ᾧ γεννῶνται γνώσεις,
Τὰς βίβλους Ἑλικῶνα δὲ, συστρεφομένας πάντη,
Καὶ προσαπτούσας θιασμοὺς τοῖς ἑαυτῶν πατράσιν.

ΠΕΡΙ ΛΕΙΒΗΘΡΙΟΥ. ϟα΄.

Ὄρος καὶ τὸ Λειβήθριόν ἐστιν, ἀλλὰ καὶ πόλις,
Τῆς γῆς Θρᾳκῷν τῶν Ὀδρυσσῶν, ὧν ὁ Ὀρφεὺς ὑπῆρχεν.
Γράφει γὰρ οὕτως ὁ ἀνὴρ ἐν τοῖς αὐτοῦ βιβλίοις,
„Νῦν δ' ἄγε μοι κούρη Λειβηθριὰς ἔννεπε Μοῦσα."

ΠΕΡΙ ΤΟΥ ΒΕΒΑΡΒΑΡΩΣΑΙ, ΧΡΟΝΙΟΣ ΩΝ ΕΝ ΒΑΡΒΑΡΟΙΣ. ϟβ΄.

Ὁ Εὐριπίδης φέρει μὲν ἐν δράματι Ὀρέστῃ,
Μενέλαον πειρώμενον ὑπὲρ Ὀρέστου λέγειν,
Τὸν δὲ Τυνδάρεων θυμῷ λέγειν τῷ Μενελάῳ,
„Ὡς βεβαρβάρωσαι, Τρωσὶ τοσοῦτον διατρίψας."

ΠΕΡΙ ΜΕΛΙΤΟΣ ΑΤΤΙΚΟΥ ΤΟΥ ΥΜΗΤΤΙΟΥ. ϟγ΄.

Τῆς Ἀττικῆς τῶν Ἀθηνῶν ὁ Ὑμηττὸς τὸ ὄρος
Μέλι γεννᾷ τὸ κάλλιστον μελίτων τῶν ἁπάντων.
Τούτου δέ σοι τὸ γνώρισμα σαφῶς νῦν παραστήσω.
Μυῖα οὐκ ἐπικάθηται μέλιτι Ὑμηττίῳ·
Ἐκ θύμων γὰρ αἱ μέλισσαι τοῦτο κηροποιοῦσι.
Μυῖα γοῦν ἐνιζήσασα φεύγει θύμῳ τοῦ θύμου.

HIST. 91.
946. Orph. fragm. p. 490. ed. Herm. Not. ad Tzetz. Schol. in Lycophr. v. 410.

HIST. 92.
949. Eurip. Orest. 479. Pors.

ΠΕΡΙ ΤΟΥ ΘΕΤΤΑΛΟΥ ΕΚΕΙΝΟΥ ΧΕΙΡΩΝΟΣ ΤΟΥ ΗΜΙΘΗΡΟΣ ΗΡΩΩΝ ΔΙΔΑΣΚΑΛΟΥ. ϟδ΄.

Χείρωνα τὸν διδάσκαλον ἡρώων οὐκ ὀλίγων,
Ἀσκληπιοῦ, Ἰάσονος, αὐτοῦ τοῦ Ἀχιλλέως,
Ἱππομιγῆ συμπλάττουσιν ἄνθρωπον μυθογράφοι,
Ἄνθρωπον μέχρις ὀμφαλοῦ, ἵππον τὰ κάτω μέρη.
Καὶ δὴ καὶ Ἰουλιανὸς ὁ αὐτοκράτωρ γράφει,
Ἡρῴῳ μέτρῳ· ἀνθρώπου δ' ἀποπέρδεται ἵππος.
Οὗτος ἐγκαταναυτιζόμενος μέρεσι τοῖς ἱππείοις,
Τοὺς μαθητὰς ἐδίδασκε θήραν, ἱπποτοξείαν,
Ἰατρικήν, βοτανικήν, ἄλλας τε τέχνας πόσας.
Ταῦτα μυθώδη πλάσματα τοῖς ἁπαλοῖς ὠτίοις.
Τὸ δ' ἀληθές· φιλόσοφος ὁ Χείρων ὑπηργμένος,
Πρῶτος σὺν ἄλλοις ἱππικὴν εὑρὼν τῶν μοναμπύκων,
Τοῖς μύθοις ὑποπέπτωκεν, ὡς ὢν τῶν ἱππανθρώπων
Ἐδίδασκε ἱπποτὰς δὲ βοτανικὴν καὶ ἄλλα.

ΠΕΡΙ ΤΟΥ ΠΗΛΙΟΥ ΟΡΟΥΣ. ϟε΄.

Τὸ Πήλιον τὸ ὄρος μέν ἐστι τῆς Θετταλίας,
Ἐγγὺς τῆς Μαγνησίας δὲ νῦν Πέτρας καλουμένης,
Ἐπισκοπῆς τελούσης μὲν τίνος, οὐκ ἔχω λέγειν.
Ἐν τούτῳ τῷ Πηλίῳ δὲ τὸ Χείρωνος ἦν ἄντρον.

Η ΚΑΤΑ ΤΟΝ ΙΑΣΟΝΑ. ϟς΄.

Ἰάσων Αἴσονος υἱός· ὃς Αἴσων παῖς Κρηθέως.
Τρεῖς δ' ἦσαν τῷ Ἰάσονι ἀμφίβολοι μητέρες,
Ῥοιὼ καὶ Ἀλκιμέδη δὲ μετὰ τῆς Πολυμήλης,

HIST. 94.

964. Anthol. Planud. IV. 115. (T. III. p. 259. ed. Tauchn.) ἵππος ἐρεύγεται ἄνδρα, ἀνὴρ δ' ἀποπέρδεται ἵππον. Vid. Iacobsii Animadverss. Vol. III. P. II. p. 33.

965. Versus duabus syllabis longior. Sufficit ἐνναυτιζόμενος.

972. Pro βοτανικὴν in marg. cd. A. est ἰατρικήν.

HIST. 95.

975. Ἐπισκοπή, Episcopatus.

Ὧν ἡ Ῥοιὼ Σταφύλου μέν, αἳ δ' Αὐτολύκου παῖδες.
Πελίου δὲ φονεύοντος πάντας τοὺς Αἰολίδας,
(Χρησμοῦ δηλοῦντος ὑπ' αὐτῶν τινὸς ἀναιρεθῆναι)
Τεχθέντα τὸν Ἰάσονα βρέφος εὐθὺς αὐτίκα
Θανεῖν αὐτὸν πλασάμενοι, φόβῳ τῷ τοῦ Πελίου,
(Ὁ πάππος γὰρ Ἰάσονος Κρηθεύς, Αἰόλου γόνος)
Ἐν λάρνακι τῷ Χείρωνι κομίζουσιν ὡς νέκυν.
Ὃς αὐξηθεὶς καὶ παιδευθεὶς Χείρωνι τῷ ῥηθέντι,
Ἔκδικος γίνεται λαμπρὸς Αἰολιδῶν τοῦ φόνου.

Η ΚΑΤΑ ΤΟΝ ΑΣΚΛΗΠΙΟΝ. ϟζ'.

Ἀσκληπιὸς Ἀπόλλωνος υἱὸς καὶ Κορωνίδος,
Ἰατρικὴν ἐκ Χείρωνος οὗτος δεδιδαγμένος,
Ἤπιος πρὶν καλούμενος, Ἀσκληπιὸς ἐκλήθη,
Ὡς Ἄσκλην ἰάσαμενος τύραννον Ἐπιδαύρου,
Ἢ ὡς οὐ σκέλλεσθαι ἐῶν καὶ θνήσκειν τοὺς ἀνθρώπους.

ΠΕΡΙ ΑΧΙΛΛΕΩΣ. ϟή.

Ὧν Ἀχιλλεὺς τῆς Θέτιδος καὶ τοῦ Πηλέως γόνος,
Οὐ τῆς θαλάττης Θέτιδος, ἀλλά τινος γυναίου,
Ἥπερ ἦν καὶ θυγάτριον Χείρωνος φιλοσόφου,
Ὃν καὶ διδάσκαλον πολλῶν προείπομεν ἡρώων,
Τῷ σφῷ πάππῳ παιδεύεται θήραν, ἱπποτοξείαν,
Ἰατρικήν τε σὺν αὐτοῖς καί τινας ἄλλας τέχνας.

ΠΕΡΙ ΛΑΠΙΘΩΝ ΚΑΙ ΚΕΝΤΑΥΡΩΝ. ϟθ'.

Λαπίθαι γένους Θετταλῶν, ὁ Δρύας, ὁ Πειρίθους,
CHILIAS VII. *Καινεὺς καὶ ὁ Ἐξάδιος, Πολύφημος καὶ ἄλλοι,*
Πόλεμον συνεκρότησαν βαρὺν πρὸς τοὺς Κενταύρους.
Τοῖς γάμοις Πειριθόου γὰρ Ἰξίονος υἱέος
Σὺν τοῖς Λαπίθαις Κένταυροι κληθέντες οἷα φίλοι

988. Sic scripsi pro ἔνδικος.

HIST. 97.

991. Vide scholia ad Lycophr. 1054. In cod. A. est ἤπιος.

(Τῶν ὧν Κενταύρων ἀρχηγὸς ὑπῆρχεν Εὐρυτίων),
Κατοινωθέντες ἥρπαξαν τὴν νύμφην τῆς παστάδος.
Οἱ δὲ Λαπίθαι κτείνουσι πολλοὺς ἐκ τῶν Κενταύρων,
Πικρῶς δ' ἠκρωτηρίασαν τὸν Εὐρυτίωνά γε,
Ῥῖνα καὶ χείλη, μήδεα καὶ χεῖρας ἐκταμόντες.
Τίνες δ' ἦσαν οἱ Κένταυροι, Παλαίφατος μὲν λέγει.
Πρὶν ἵπποις μονοκέλησιν οὐκ ἔτι ἐποχοῦντο·
Ταύρων δ' ἀγρίων Θετταλῶν τὴν χώραν σινομένων,
Νέοι τινὲς τῶν σθεναρῶν κέλησιν ἐπιβάντες
Τοὺς ταύρους κατηκόντιζον· οὕςπερ τινὲς ἰδόντες,
Ὡς ταύρους ἀκοντίζοντας ὠνόμασαν κενταύρους.
Ἱππομιγεῖς δ' ἐνόμισαν ὡς πόῤῥωθεν ἰδόντες.
Χρὴ κεντοταύρους τὸ λοιπὸν, μηδὲ κενταύρους λέγειν,
Παλαίφατε σοφώτατε. τὰ Παλαιφάτου ταῦτα.
Ἡ Θηβαῒς κινύρα δὲ (τὸν Πίνδαρόν σοι λέγω)
Ἱππομιγεῖς ἀνθρώπους μὲν οἴεται τοὺς Κενταύρους,
Οὕτω πως λέγων λυρικῷ πολυσυνθέτῳ μέτρῳ:
„Ἐπεὶ δὲ παρελέξατο Ἰξίων τῇ Νεφέλῃ
„Ἄνευ χαρίτων ἔτεκε γόνον ὑπερφίαλον,
„Ὃς ἵπποις Μαγνητίδεσσιν ἐμίγνυτο Πηλίῳ,
„Ἐξ ὧν ἐγένετο στρατὸς ὅμοιος τοῖς τοκεῦσι,
„Τὰ κάτω τούτων τῇ μητρί, τῷ δὲ πατρὶ τὰ ἄνω."
Ἤκουσας καὶ τὸν Πίνδαρον πῶς μυθικῶς εἰρήκει;
Ἐξ ἀερίου γέννημα νεφέλης, τινὰ γόνον,
Ὃς τοὺς Κενταύρους ἔτεκε, μιγνύμενος ταῖς ἵπποις.
Οὐχ οὕτως ἔχει, Πίνδαρε. μάνθανε δ' ἐκ τοῦ Τζέτζου.
Ἰξίων καθαιρόμενος ἐκ πενθερίου φόνου
Παρὰ Διὸς (τοὺς βασιλεῖς οὕτω δὲ πρὶν ἐκάλουν)
Ἠράσθη τούτου γυναικὸς Ἥρας, τῆς βασιλίδος.
Εἰπούσης ταῦτα δὲ τἀνδρί, ἐκεῖνος δυσπειστήσας
Καὶ χρῄζων ἀκριβέστατα τὸ ἀτρεκὲς νοῆσαι,

HIST. 99.
10. Palaeph. c. 1.
21. Pind. Pyth. II, 67. 78.
82. Heyn.
27. Cd. A. in contextu ἠκούσαν, in margine ἤκουσας.
30. Cd. solum Τζέτζης, non in marg. Τζέτζου, ut edit. Bas.

Δούλην Νεφέλην φέρουσαν τὴν κλῆσιν συστολίσας
Περὶ ἑσπέρας ἔπεισεν, ἐκείνῳ κοιτασθῆναι.
Ἰξίων τῇ Νεφέλῃ δὲ ταύτῃ μιγεὶς ὡς Ἥρᾳ,
Οὐ μὴν νεφέλῃ δέ τινι ἐνύγρῳ, ἀερίῳ,
Ἴμβρον παῖδα γεγέννηκεν, ὃν Κένταυρον ἐκάλουν,
Τουτέστι, δουλογέννητον· αὖραι καὶ γὰρ αἱ δοῦλαι,
Ἀπὸ τοῦ τὸν Ἰξίονα κεντήσαντα τὴν Αὖραν,
Ἵνα καὶ ἄσεμνον ἐρῶ, τοῦτον γεγεννηκέναι.
Ὃς Ἴμβρος συμμιγνύμενος ἵπποις ταῖς Μαγνησίσι,
Τουτέστιν, ὃς ἱπποφορβῶν ἐν τόποις Θετταλίας,
Υἱοὺς γεννᾷ τῶν ἱππικῶν, ὡς συντραφέντας ἵπποις,
Ὅθεν καὶ τούτων ἔφασαν μητέρας ἵππους εἶναι.
Οὕτως ὁ Τζέτζης Πινδάρῳ περὶ Κενταύρων γράφει.

ΠΕΡΙ ΚΛΕΙΤΑΡΧΟΥ ΣΥΓΓΡΑΦΗΣ ΕΙΣ ΤΗΝ ΤΕΝΘΡΗΔΟΝΑ. ρ'.

Γράφων οὗτος ὁ Κλείταρχος περὶ τῆς τενθρηδόνος,
Ἥ τις ἐστὶ ζωΰφιον παρεμφερὲς μελίσσῃ,
Ὡς εἴπερ περὶ λέοντος ἔγραφε τοῦ Νεμέας,
Εἴτ' οὖν γε ταύρου τοῦ Κρητὸς ἐκείνου τοῦ πυρπνόου,
Ἢ τοῦ Ἐρυμανθίου τε κάπρου καὶ Καλυδῶνος,
Εἴτ' οὖν τινὸς τῶν ὑψηλῶν καὶ τῶν μεγίστων ζώων,
ᾯ ὅπως γράφων ὑψηλῶς καὶ ἐπηρμένως λέγει,
Νέμεται μὲν τὴν ὀρεινήν, ἵπταται δρῦς τὰς κοίλας.

ΠΕΡΙ ΤΟΥ ΝΕΜΕΙΟΥ ΛΕΟΝΤΟΣ. ρα'.

Νεμέα χώρα τίς ἐστι τῆς κλήρου τῆς Ἀργείας,
Οὖσα πολυνομώτατος, ἐκλήθη δὲ Νεμέα.
Ταύτην κατελυμαίνετό τις λέων τῶν ἀτρώτων,
Ὃν Ἡρακλῆς τοξεύσας μὲν, οὐ μὴν συνόλως βλάψας,

41. Immo ἄβραι. Vide Bekkeri Anecdd. p. 322.

HIST. 100.

49. Vid. Schol. ad Nicandri Alex. v. 547. et Vossius de hist. gr. p. 55—57.

55. ᾧ, corruptum. Forsitan ἧ.

58. Margo cd. ἀρκαδίας.

HIST. 101.

60. Hesiod. Theog. 327. Apollod. II, 5. 1.

Ὁμοίως καὶ τὸ ῥόπαλον τούτου πληγῇ κατάξας,
Γυμναῖς χερσὶ λαβόμενος συνέθλασεν ὑστέρως.
Εἶτα θηρὸς τοῖς ὄνυξι τὴν λεοντῆν ἐνσχίσας
Ἐφόρει ταύτην ὁπλισμὸν ἀσίδηρον ἐν μάχαις.

ΠΕΡΙ ΚΑΠΡΟΥ ΤΗΣ ΚΑΛΥΔΩΝΟΣ. ρβ'.

Οἰνεὺς κρατῶν γῆς Αἰτωλῶν καὶ γῆς τῆς Καλυδῶνος
Ἀρτέμιδος ἐλάθετο θυσίαις θαλυσίων.
Ἡ δὲ τὸν κάπρον ἔπεμψεν ἐκ τῶν Οἰταίων λόφων,
„Ὃς κακὰ πόλλ' ἔρδεσκεν, ἔθων Οἰνῆος ἀλωήν."
Πολλῶν συναθροισθέντων δὲ συναγρευτῶν ἐκεῖσε,
Ἡ Ἀταλάντη πρώτη μὲν ἐκεῖνον ἐκτοξεύει.
Εἶτα βαλὼν Μελέαγρος κτείνει τῷ συνοκτόνῳ.
Τούτου δ' εἷς ἕκαστος ὀδοὺς πήχεως εἶχε πλέον.
Σωτήριχος καὶ Ὅμηρος καὶ ἄλλοι δὲ μυρίοι
Περὶ τοῦ κάπρου μέμνηνται τοῦδε τοῦ Καλυδῶνος.

ΠΑΡΟΙΜΙΑ Η ΛΕΓΟΥΣΑ ΤΥΦΛΟΝ ΤΟ ΦΙΛΟΥΝ ΠΕΡΙ ΤΟ ΦΙΛΟΥΜΕΝΟΝ. ργ'.

Ἅπαντα τὰ φιλούμενα καλὰ δοκεῖ τοῖς φίλοις·
Διόπερ οὕτως εἴρηκε σοφῶς ἡ παροιμία.

ΠΙΝΔΑΡΙΚΟΝ ΡΗΤΟΝ ΤΟ ΛΕΓΟΝ, ΟΥΔΕ ΘΕΡΜΟΝ ΥΔΩΡ ΤΟΣΣΟΝ ΓΕ ΜΑΛΘΑΚΑ ΓΥΙΑ ΤΕΥΧΕΙ, ΤΟΣΣΟΝ ΕΥΛΟΓΙΑ. ρδ'.

Ἐν τοῖς λουτρῶσι τὸ θερμὸν μαλθάσσει μὲν τὰ μέλη,
Καὶ χαῦνα καὶ διάῤῥυτα ποιεῖ καὶ τῶν ἐκλύτων.
Ἔπαινοι πλέον δὲ θερμοῦ χαυνοῦσι τοὺς ἀνθρώπους.
Ὅθεν οὕτως ὁ Πίνδαρος τὸ γνωμικὸν εἴρηκε.

HIST. 102.
68. Iliad. IX, 540.
73. De Sotericho Oasite v. not. Mülleri ad schol. Lycophr. v. 486. — De apro Calydon. cf. Iliad. 9, 535. sqq. Apollod. I, 8. 2. Lucian. de sacrif. §. 1. ibique schol.

HIST. 103.
75. Theocr. VI, 19. —

HIST. 104.
80. Pind. Nem. IV, 6.

ΠΕΡΙ ΤΗΣ ΧΕΛΩΝΗΣ ΤΗΣ ΕΡΙΣΑΣΗΣ ΤΩι ΛΑΓΩι. ρέ.

Ὁ μυθογράφος Αἴσωπος τοῖς μύθοις αὐτοῦ γράφων,
Ὡς ἡ χελώνη λαγωὸν ἐνίκησε τοῖς δρόμοις,
Ὠθεῖ πρὸς πόνους ἀφυεῖς, ὀξεῖς ἐκτρέπει νάρκης.

ΠΕΡΙ ΜΑΡΣΥΟΥ. ρς'.

(Κεῖται δὲ ιέ ἐν τῷ πίνακι τῶν προτέρων ἱστοριῶν.)

Μαρσύας Φρὺξ ὢν αὐλητὴς Ἀπόλλωνι ἐρίζει·
Ὑφ' οὗ πρὸς πίτυν ἡττηθεὶς ἀσκὸς ἀπεκρεμάσθη.
Τοῖς πρὶν εἰς πλάτος ἔγραψα πᾶσαν τὴν ἱστορίαν.

ΠΕΡΙ ΣΑΛΜΩΝΕΩΣ ΑΝΤΙΒΡΟΝΤΩΝΤΟΣ ΤΩι ΔΙΙ. ρζ'.

Ὁ Σαλμωνεὺς ἐκ Θετταλῶν ἐλθὼν εἰς τὴν Ἠλείαν,
Κτίσας τε πόλιν, καὶ αὐτὸν κατονομάζων Δία,
Καὶ ἀσεβῶν, καὶ κεραυνοὺς δῆθεν δμωσὶν ἐκπέμπων,
Ἐν βύρσαις τε καὶ λέβησι τοῖς δρόμοις τῶν ἁρμάτων
Βροντὰς ἀπομιμούμενος, Διῒ ἐκεραυνώθη.

ΠΕΡΙ ΘΑΜΥΡΙΔΟΣ ΑΝΤΕΡΙΣΑΝΤΟΣ ΤΑΙΣ ΜΟΥΣΑΙΣ. ρή.

Θάμυρις ὡραιότατος εἰς κάλλος ὑπηργμένος
Ἦν μουσικὸς καὶ ᾠδικός· ἐρίσας δὲ ταῖς Μούσαις
Ἡττήθη καὶ τετύφλωτο· τὰ μὲν τοῦ μύθου ταῦτα.
Τὸ δ' ἀλληγορικώτερον· ἦν ποιητὴς γενναῖος,
Συγγράψας κοσμογένειαν πενταχιλίοις στίχοις.

HIST. 105.
81. Fab. CCXXIV. p. 112. d. J. G. Schneider.

HIST. 107.
90. Pro λύβησι ex Apollod. I, 9. 7. scripsi λέβησι. Ceterum conf. Luciani Philopatris, 4. Timon, 2. et Tragodopod. v. 312.

HIST. 108.
92. Conf. Iliad. II, 595. sqq. Apollod. I, 3. 3. Paus. IV, 33. Lucian. Piscat. §. 6. Plut. de coh. ira. 5. T. IX. p. 429.

Ὧν κομπαστὴς δ' ἐνόμιζεν ἴσον εἰς νοῦν οὐδένα.
Ἐπεὶ δ' ἐξηφανίσθησαν τὰ τούτῳ γεγραμμένα,
Ἔφασαν, ὡς ἀντήριζεν ὡς πρὸς ᾠδὴν ταῖς Μούσαις.
„Αἱ δὲ χολωσάμεναι πηρὸν θέσαν· αὐτὰρ ἀοιδὴν
„Θεσπεσίην ἀφέλοντο, καὶ ἐκλέλαθον κιθαριστύν.

ΠΕΡΙ ΠΑΡΟΙΜΙΑΣ ΟΜΗΡΙΚΗΣ, ΛΕΓΟΥΣΗΣ, ΑΛΛΟΙΣΙ ΤΑΥΤΑ ΜΕΛΕΙ, ΚΙΘΑΡΙΣ ΚΑΙ ΑΟΙΔΗ. ρθ'.

Ἐν Ὀδυσσείᾳ Ὅμηρος θλιβόμενον εἰσφέρει
Τηλέμαχον, ὡς βλέποντα τρυφῶντας τοὺς μνηστῆρας,
Καὶ τοῖς αὐτοῦ τερπομένους οἴκοις ἐν μουσουργίαις,
Κατὰ ῥητόν τε λέγοντα τοῦτο τὸ ἔπος ἄγει·
„Ἄλλοισι ταῦτα μέλει, κίθαρις καὶ ἀοιδή.

ΠΕΡΙ ΤΟΥ ΖΩΟΣ ΚΑΤΕΡΥΚΕΤΑΙ ΕΥΡΕΙ ΚΟΣΜΩι. ρί.

Ἐν Ὀδυσσείᾳ ὁ Πρωτεὺς τῷ Μενελάῳ λέγει,
Ὅπως ὁ Αἴας ὁ Λοκρὸς ἀπόλωλε θαλάσσῃ,
Ὁ Ἀγαμέμνων δὲ σωθεὶς Αἰγίσθῳ ἀναιρεῖται.
Περὶ τοῦ Ὀδυσσέως δὲ τοῦτο τὸ ἔπος λέγει·
„Εἷς δ' ἔτι που ζωὸς κατερύκεται εὐρέϊ πόντῳ.
Ἐγὼ παρεγραμμάτισα ῥητορικῷ δὲ τρόπῳ,
Πρὸς τὸ συμφέρον νῦν ἐμοί, κόσμῳ εἰπών, οὐ πόντῳ.

ΠΕΡΙ ΗΡΑΚΛΕΟΣ ΕΚΚΟΠΤΟΝΤΟΣ ΤΗΝ ΚΑΚΙΑΝ. ρια.

Ὁ τῆς Ἀλκμήνης Ἡρακλῆς εὐεργετῶν ἀνθρώπους
Ἁπανταχοῦ διήρχετο θερίζων τὴν κακίαν,
Θῆρας, τυράννους καὶ λῃστὰς ὁδῶν τε δυσχωρίας,
Καὶ πᾶσαν ἄλλην κάκωσιν ἀποκαθαίρων βίου.

HIST. 109.
106. Odyss. I, 159. *τούτοισιν μὲν ταῦτα μέλει, κίθαρις καὶ ἀοιδή.*

HIST. 110.
111. Odyss. IV, 498.

ΠΕΡΙ ΜΕΘΥΣΟΚΟΤΤΑΒΩΝ. ριβ'.

Πρὶν πρὸ μικροῦ προείπομεν ἠκριβωμένως πάντα,
Τί προπηλακισμός ἐστι καὶ τίς ἡ παροινία,
Λατάγη τε καὶ κότταβος καὶ ἑωλοκρασία.
Πέμπτη πρὸς ὀγδοήκοντά ἐστιν ἡ ἱστορία.
Καὶ στρέψας βλέπων μάνθανε τὸ πᾶν ἠκριβωμένως.

ΠΕΡΙ ΤΟΥ ΤΙΝΕΣ ΚΥΡΙΩΣ ΟΙ ΠΑΛΑΜΝΑΙΟΙ. ριγ'.

Τελχῖνες ἦσαν δή τινες τῶν φθονερῶν δαιμόνων,
Ἀνταῖος, Μεγαλήσιος, Ὁρμενός τε καὶ Λύκος,
Καὶ δὴ Νικὼν τε καὶ Μιμὼν καὶ ἕτεροι σὺν τούτοις.
Οὗτοι Στυγὸς τῷ ὕδατι ῥαίνοντες γῆν ἠκάρπουν,
Τροφὰς ἀνθρώποις σπεύδοντες μὴ γίγνεσθαι μηδόλως.
Οὗτοι δὲ καὶ Ἀλάστορές εἰσι καὶ Παλαμναῖοι.
Ἐν τῷ τηρεῖν τὰς ἅλας μέν (ἄλη δ' ἐστὶν ἡ βλάβη)
Ἀλάστορες ἐσχήκασι προσφυεστάτην κλῆσιν.
Τῷ δὲ παλάμαις καὶ χερσὶ ῥαίνειν Στυγὸς τὸ ὕδωρ
Πρὸς ἀκαρπίαν καὶ φθοράν, κέκληνται Παλαμναῖοι.

ΠΕΡΙ ΠΕΥΘΗΝΩΝ, ΚΑΤΑΣΚΟΠΩΝ ΚΑΙ ΠΡΟΚΗΡΥΚΩΝ. ριδ'.

Πευθῆνας, κατασκόπους τε γίνωσκέ μοι τυγχάνειν
Τοὺς ὅσους ἀποστέλλουσι στρατῷ τῶν ἐναντίων,
Κατασκοπεῖν τί βούλονται, τί λέγουσι, τί δρῶσι·
Τοὺς ὅσους δ' ἀποστέλλουσιν εἰπεῖν περὶ πολέμου,
Πότε καὶ ποῦ καὶ διὰ τί μέλλουσι πολεμῆσαι,

HIST. 112.

Aristoph. Achar. 524. (530. Inv.)

HIST. 113.

123. De Telchinibus cf. Diod. Sic. V, 55. ibique Interpr. Strab. lib. XIV. Tom. V. pag. 601. Tzsch. Schol. Lycophr. 177. ibique not. Creuzer, Symbol. II. p. 305. Anm. 2. — Pro *Μιμὼν* potius *Σίμων*, vid. Suidas.

129. In cd. A. scriptum est *τας ἄλλας*. Hinc facile patet vera loci lectio, quam restituimus.

Τῷ νῦν δὲ πάλιν πίνακι τεσσαρακοστογδόῳ,
Ἢ καὶ πολλῷ καθέστηκε καλλίων τῆς προτέρας,
Λέγουσα, πῶς προσήνεγκαν Βάττῳ οἱ Κυρηναῖοι,
Καὶ πῶς αὐτὸς ἐχάραξε νομίσματι ἐκεῖνο.
Τρισσὰ δ' εἰσὶ τὰ σίλφια, σίσγουδόν τε καὶ τίλις,
Καὶ τὸ κλεινόν, τὸ σεβαστόν, τὸ θρυλλητὸν τοῖς πᾶσιν,
Ὃ φεύγει γεωργούμενον μᾶλλον εἰς τὰς ἐρήμους,
Ὡς καὶ τὴν κύππαριν φασί τινες τῶν γινωσκόντων.
Ὅμοιος δὲ τῷ νάρθηκι καυλὸς ὁ τοῦ σιλφίου,
Οὗ φύλλον φασὶ μάσπετον, ὅμοιον ὂν σελίνῳ·
Τὸ σπέρμα δὲ πλατύτατον, διττὸν ὀπὸν δὲ φέρει,
Ἐκ τοῦ καυλοῦ καυλίαν μέν, ῥιζίαν δ' ἐκ τῆς ῥίζης.

ΠΕΡΙ ΤΗΣ ΓΥΓΟΥ ΣΦΕΝΔΟΝΗΣ. ρκ'.

Γυμνὴν Κανδαύλης ἔδειξε τῷ Γύγῃ σφὴν γυναῖκα·
Ἥ τις καὶ συγκαλέσασα τὸν Γύγην κατιδίαν
Δίδωσι τὸν δακτύλιον αὐτῆς, ὡς ἀποκτείνῃ
Κανδαύλην ταύτης σύζυγον, δείξας κρυφῇ συμμάχοις·
Οὗ γεγονότος κτείνας τε λαθραίως τὸν Κανδαύλην
Καὶ στρέψας τὸν δακτύλιον πάλιν εἰς τὴν γυναῖκα,
Γίνεται πᾶσιν ἐμφανὴς λαβὼν τὴν βασιλείαν.
Ἔχεις ἐν πρώτῳ πίνακι τρίτην τὴν ἱστορίαν.

ΠΕΡΙ ΤΟΥ ΠΟΛΥΚΡΑΤΟΥΣ ΔΑΚΤΥΛΙΟΥ. ρκα'.

Τῆς Σάμου βασιλεύων μὲν εὐτύχει Πολυκράτης,
Ἐτέλουν δ' ὑπεξούσιοι τότε τῶν Αἰγυπτίων.
Τὴν αὔξησιν δ' ὁ Ἄμασις ἐπτοημένος τούτου
Ἔγραψεν· ὦ Πολύκρατες, ὃ κάλλιστόν σοι βίῳ,

HIST. 119.

187. Etiam *σίσγουρδον* appellatur *nardus celtica*. Vid. Dufresne.

192. Erat *μάσπητον*. Vid. Sprengelii histor. rei herbar. Tom. I. p. 84.

194. Ut a *καυλίας* et *ῥιζίας*.

HIST. 120.

196. Inserui *καὶ* ex cd. A.

HIST. 121.

203. Herodot. III, 39 — 43.

Οὗ στερηθεὶς ἀμέτρητον μέλλεις λαβεῖν τὴν λύπην,
Τοῦτο τανῦν ἀποβαλοῦ τρόποις ὁποίοις βούλει,
Εἰ μή που πεῖραν τῆς ἐμῆς θέλεις ὀργῆς δεδέχθαι.
Ὁ Πολυκράτης τοιγαροῦν δεινῶς ἐπτοημένος,
Ὃν εἶχε πολυτίμητον δακτύλιον σμαράγδου,
Ὃν τεχνικῶς ἐσφράγισεν ὁ δακτυλιογλύφος
Θεόδωρος ὁ Σάμιος, υἱὸς τοῦ Τηλεκλέους,
Ἐμβὰς εἰς σκάφος ἔῤῥιψεν εἰς μέσον τοῦ πελάγους,
Λύπην λαβὼν ἀφόρητον ἐκείνου τῇ ποντώσει.
Πέμπτῃ δ' ἡμέρᾳ κάλλιστον ἰχθύν τις ἁλιεύσας,
Ὡς Πολυκράτους ἄξιον στέλλει πρὸς Πολυκράτην,
Εἰς ὅνπερ ὁ δακτύλιος ὁ προῤῥηθεὶς εὑρέθη.
Ὅπερ ἀκούσας Ἄμασις, ἔφη ταῖς παρεστῶσιν·
Ὧι συνεργῶν ἐστὶ θεός, τίς ἐξ ἀνθρώπων βλάψοι;

ΠΕΡΙ ΤΩΝ ΧΡΥΣΩΝ ΠΛΙΝΘΩΝ ΤΟΥ ΚΡΟΙΣΟΥ. ρκβ'.

Χιλίας πλίνθους εἰς Δελφοὺς τῶν ὁλοχρύσων Κροῖσος
Ἔστειλε, πάγχρυσον βωμὸν Ἀπόλλωνι γενέσθαι.
Τὴν ἱστορίαν ἔχεις μοι πρώτην πασῶν πλατέως.

ΠΕΡΙ ΤΟΥ ΜΙΔΟΥ. ρκγ'.

Ὁ Μίδας Φρὺξ φιλόχρυσος υἱὸς ἦν τοῦ Γορδύου,
Ὃς ὢν ἀγρότης ἀροτρεὺς εἷλε τὴν βασιλείαν·
Δευτέραν ἐν ταῖς πρώταις μὲν ἔχεις τὴν ἱστορίαν,
Ἀλληγοροῦσαν τὰς τροφὰς τούτου τὰς χρυσουμένας.
Ἐν τούτῳ δὲ τῷ πίνακι πάλιν σαφῶς ἐφεύρῃς,
Ὅπως ὑπάρχων ἀροτρεὺς ἔσχε τὴν βασιλείαν,
Εἰς τὴν γραφὴν ἐγκείμενον πόλεως τῆς Μιδείας.
Εἰς ἑβδομηκοστὴν φημὶ δευτέραν ἱστορίαν.

---

209. κου pro τοῦ cd. A.

HIST. 122.
222. Cd. A. ἔστηλε.

ΠΕΡΙ ΤΟΥ ΤΙΜΩΝΟΣ ΤΟΥ ΜΙΣΑΝΘΡΩΠΟΥ. ρκθ'.

Τίμων Ἐχεκρατίδου παῖς ἦν Ἀθηναῖος γένει,
Ὑπερπλουτῶν καὶ ἐπαρκῶν πᾶσι τοῖς δεομένοις.
Ἐπιλειψάντων τούτῳ δὲ τοῦ πλούτου καὶ χρημάτων,
Ὡς οὐδαμοῦ παρά τινος ἐλέους ἠξιοῦτο,
Μεμισηκὼς διαγωγὴν τοῦ μετ' ἀνθρώπων βίου,
Λαβὼν διφθέραν, δίκελλαν, ἀγρότης ἦν ἐργάτης.
Γεωσκαφῶν δὲ θησαυρὸν ἐν τοῖς ἀγροῖς ἐφεῦρεν.
Ὡς δὲ τοῦ πράγματος ταχὺ διέδραμεν ἡ φήμη,
Τίμωνα πάλιν πλούσιον ἀγγέλλουσα τοῖς πᾶσιν,
Καὶ πάντες πάλιν πρὸς αὐτὸν προσέρρεον ὡς φίλοι,
Δικέλλῃ παίων ἤλαυνε τοὺς ἀνοσίους λέγων·
Νῦν Τίμων φίλος, μιαροί, νῦν γνώριμος τοῖς πᾶσιν,
Ὁ τῷ πλουτεῖν εὐεργετῶν, πένης δ' ἠγνοημένος,
Ἔρρετε, μιαρώτατοι, μακρὰν ἐκ τοῦ χωρίου.

ΠΕΡΙ ΤΗΣ ΛΑΚΩΝΩΝ ΞΕΝΗΛΑΣΙΑΣ. ρλ'.

Τοῖς Ἀθηναίοις νόμος ἦν, εἰσδέχεσθαι τοὺς ξένους,
Ὅθεν καὶ ὠνομάζοντο φιλόξενοι τοῖς πᾶσιν·
Τοῖς Λάκωσι δὲ νόμος ἦν, τοὺς ξένους ἀπελαύνειν.

ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΚΥΚΛΩΠΩΝ ΜΙΣΑΛΛΗΛΙΑΣ ΚΑΙ ΤΟΥ ΑΣΥΜΒΑΤΟΥ. ρλά.

Οἱ Κύκλωπες οἱ πρότερον οἰκοῦντες Σικελίαν
Σποράδας ἦσαν ἔχοντες αὐτῶν τὰς κατοικίας,
Ἐπιμιξίας ἔχοντες μηδόλως πρὸς ἀλλήλους.

HIST. 129.

273. De Timone cf. Luciani dialogus *Timon*, Plutarch. Vit. Alcib. c. 16. Anton. 71. Paus. I, 30.

274. Margo cd. A. ἀλλ' pro καί.

279. Ibidem γαιοσκαφῶν.

HIST. 130.

289. Cf. Plutarch. Inst Lac. Tom. VIII. p. 247. Hutt. Aelian. V. H. XIII, 16. ibique Interpr.

Ἀλλὰ δεσπόζων ἕκαστος σφῆς γυναικὸς καὶ τέκνων,
Ξένοις δὲ οὐ παρείσδυσις ὑπῆρχε παρ' ἐκείνοις,
Οἳ καὶ αὐτοῖς ἀσύμβατοι μισαλληλοῦντες ἦσαν
Καὶ ὀλιγανθρωποῦντες δὲ καὶ ξένους δεδιότες,
Μὴ πεπλευκότες κατ' αὐτῶν σχῶσιν αὐτῶν τὴν χώραν.
Ἔτι γὰρ ἦσαν ἄπειροι τοῦ ναυπηγεῖν ὁλκάδας.

ΠΕΡΙ ΣΕΡΒΙΛΙΩΝ ΚΑΙ ΣΑΡΩΝ. ρλβ'.

Σερβίλιος ἦν ὕπατος καὶ Καῖσαρ τῶν Ῥωμαίων.
Μεθόδῳ δὲ δεινότητος, ῥητορικῷ τῷ τρόπῳ,
Ἐκ Σερβηλίων τῆς γονῆς λέγω καὶ τὸν Σερβλίαν.
Ὡς εἴπερ ἄλλος ἤθελε, Σέρβον Ἠλίαν εἶπεν.
Τοῦτο γὰρ ῥήτορος ἀνδρὸς καὶ ἀμφοτερογλώσσου,
Καὶ πράγμασι καὶ κλήσεσι καὶ τοῖς λοιποῖς ὁμοίως
Πρὸς ἔπαινον καὶ ψόγον δὲ κεχρῆσθαι συμφερόντως.

ΠΕΡΙ ΑΙΑΚΟΥ, ΟΥ ΧΑΡΙΝ Ο ΖΕΥΣ ΤΟΥΣ ΜΥΡΜΗΚΑΣ ΑΝΘΡΩΠΟΥΣ ΕΠΟΙΗΣΕΝ. ρλγ'.

Οἱ μυθογράφοι λέγουσι, Ζεὺς συμμιγεὶς Αἰγίνῃ
Τὸν Αἰακὸν ἐγέννησεν ἐν τῇ Αἰγίνῃ νήσῳ.
Ὃς αὐξηθεὶς κατήσχαλλεν ὢν ἐν τῇ νήσῳ μόνος.
Ὁ Ζεὺς κατοικτειρήσας δὲ τούτου τὴν ἐρημίαν,
Τοὺς ἐν τῇ νήσῳ μύρμηκας ἐποίησεν ἀνθρώπους.

HIST. 131.

294. E margine cd. A. οὐ pro τοῦ.

HIST. 132.

299. Cd. A. in titulo Σαρϊβηλίων, idem tamen deinceps Σερϊβηλιος et Σερβηλΐων. Quid sibi velit Σάρων, ignoro.

301. Ὁ Σερβλίας, iudicis χαμαιδικαστοῦ, seu pedanei species, qui forte Serviorum seu Triballorum, vel Mysorum causas in Urbe iudicabat. Nam Σερβλίαν, Serviam vocat non semel Constantinus Porph. de Adm. Imp. *Dufresn.*

HIST. 133.

302. Pro εἶπεν videtur scribendum εἰπεῖν.

306. De Aeaco vid. Apollod. III, 12, 6. sqq. ibique Heyn. Paus. II, 5. Strab. VIII. T. III. p. 246. ed. Tzschk. Isocr. Evagor. c. 5. sqq. Adde Valck. ad Herodot. IX, 7.

Τὰ μυθικὰ μὲν τοιαυτί, ἡ δὲ ἀλληγορία,
Ὡς Θεαγένης ἔγραψεν ἐν τῷ περὶ Αἰγίνης·
Ἡ Αἴγινα τοπρότερον ἦν ὀλιγανθρωποῦσα,
Οὐδ᾽ οὖν ὁλκάδας ναυπηγεῖν ᾔδεσαν οἱ ἐν ταύτῃ.
Τῶν πειρατῶν δὲ καὶ λοιπῶν σκορούμενοι τὰς βίας
Σπηλαίοις ὥσπερ μύρμηκες ἐκρύπτοντο γῆς κάτω.
Ὁ Αἰακὸς κατάρξας δὲ ποιεῖν αὐτοῖς ὁλκάδας,
Μεταγαγὼν δὲ καὶ λαοὺς καὶ συνοικίσας τούτους,
Ὥσπερ καὶ μετὰ θάνατον τοῦ Αἰακοῦ Τριάκων,
Καὶ δράσας ἀφοβώτατα ζῆν ἔκτοσθεν σπηλαίων,
Μεταβαλεῖν τοὺς μύρμηκας ἐλέχθη πρὸς ἀνθρώπους.

ΠΕΡΙ ΚΑΤΑΚΛΥΣΜΟΥ ΔΕΥΚΑΛΙΩΝΟΣ, Ὡι ΖΕΥΣ ΤΟΥΣ ΛΙΘΟΥΣ ΑΝΘΡΩΠΟΥΣ ΕΠΟΙΗΣΕΝ. ρλδ΄.

Τοῦ ἐπὶ Δευκαλίωνος κατακλυσμοῦ παυσθέντος,
Ἐκβὰς ἀπὸ τῆς λάρνακος τοῦ Παρνασσοῦ τοῖς τόποις
Ὁ Δευκαλίων, τῷ Διῒ θύσας ἀνθρώπους ᾔτει.
Ὃς τῇ κελεύσει τοῦ Διὸς βάλλων εἰς γῆν τοὺς λίθους,
Αὐτὸς καὶ Πύῤῥα σύζυγος, ἐποίησαν ἀνθρώπους,
Ὅσους αὐτὸς μὲν ἔβαλε λίθους, ποιήσας ἄνδρας,
Ὅσους ἡ Πύῤῥα πάλιν δέ, γυναίων ἔχειν φύσιν.
Ταῦτά φασι μὲν μυθικῶς, τὸ δ᾽ ἀληθὲς τοιόνδε.
Ἐκβάντες ἐκ τῆς λάρνακος ἄνδρες τε καὶ γυναῖκες,
Ὁ εἷς εἷς ἕκαστος αὐτῶν, οἱ ἄνδρες μὲν ἐν μέρει,
Λίθον τιθέντες ἤγειραν βωμὸν Διῒ φυξίῳ,
Τῶν γυναικῶν ἑκάστη δὲ πάλιν μετὰ τῆς Πύῤῥας
Ἄλλον βωμὸν ἐξήγειρον, κατακλυσμὸν φυγοῦσαι.
Ἐπεὶ δ᾽ ἦσαν ἰσάριθμοι τοῖς φέρουσιν οἱ λίθοι,

---

312. De Theagene cf. Mülleri indic. ad schol. Lycophr. 176. p. 449.

318. συνοικίσας cl. A. pro συνοικήσας. Illud recepi, et τούτοις mutavi in τούτους.

HIST. 134.

322. De Deucalione cf. Apollod. I, 7. 2. sqq. ibique Heyn.

334. Margo ed. A. ἀνήγειρον.

Ταῖς γυναιξὶν οἱ γυναικῶν, οἱ δὲ ἀνδρῶν ἀνδράσιν,
Εἶπον πρὸς τὴν ποσότητα τοῦ πλήθους ἀντιστρόφως,
Ὅτι οἱ λίθοι ἄνθρωποι ἐγένοντο τοσοίδε,
Ὅσους εἰς γῆν ἡ Πύῤῥα τε ῥίπτει καὶ Δευκαλίων,
Λέγειν οὕτως ὀφείλοντες, λίθοι τοσοῦτοι ἦσαν,
Ὅσος ὑπῆρχεν ἀριθμὸς γυναίων τῶν σὺν Πύῤῥᾳ,
Καὶ τῶν σὺν Δευκαλίωνι πάλιν ἀνδρῶν ὁμοίως.

ΠΕΡΙ ΠΟΛΥΤΕΚΝΙΑΣ ΠΡΙΑΜΟΥ. ρλέ.

Πρίαμος, ὥσπερ Ὅμηρός ἐν Ἰλιάδι γράφει,
Τέκνα πεντήκοντα γεννᾷ, ἐννέα μὲν καὶ δέκα
Ἐκ τῆς Ἑκάβης τῆς αὐτοῦ συζύγου βασιλίδος·
Τοὺς δ᾽ ἄλλους ἔσχε παλλακῶν, ὡς καὶ αὐτός που λέγει·
„Ἐννέα καὶ δέκα μοι ἴῆς ἐκ νηδύος ἦσαν,
„Τοὺς δ᾽ ἄλλους μοι ἔτικτον ἐνὶ μεγάροισι γυναῖκες.

ΠΕΡΙ ΔΑΝΑΟΥ ΚΑΙ ΑΙΓΥΠΤΟΥ. ρλϛ'.

Ἐκ Ποσειδῶνος γίνονται καὶ τῆς Λιβύης παῖδες
Δίδυμοι, Βῆλός τε αὐτὸς καὶ ὁ Ἀγήνωρ ἅμα.
Ὧν ὁ Ἀγήνωρ βασιλεὺς γίνεται τῆς Φοινίκης,
Βῆλος ἐν τῇ Αἰγύπτῳ δὲ σφῇ χώρᾳ καταμείνας
Αἴγυπτον τίκτει, Δαναὸν ἐξ Ἀγχιρόης Νείλου.
Ὅς Βῆλος κατοικίσας μὲν τὸν Δαναὸν Λιβύῃ,
Ἐν Ἀραβίᾳ δ᾽ Αἴγυπτον, αὐτὸς ἐς Ἀσσυρίους
Ἐλθὼν πρῶτος ὠνόμαστο θεὸς καὶ αὐτοκράτωρ.
Ἀσσύριοι καὶ Πέρσαι γὰρ τοὺς βασιλεῖς θεοῦσιν,
Ὡς καὶ Αἰσχύλος δράματι Πέρσαις δείκνυσι τοῦτο.
Ἄτοσσαν θέλων γὰρ εἰπεῖν σύζυγον βασιλέως,
Μητέρα βασιλέως τε ὁμοίως, εἶπεν οὕτω:
„Θεοῦ Περσῶν εὐνέτειρα, θεοῦ τε μήτηρ ἔφυς.

HIST. 135.

343. Iliad. XXIV, 495. sq.

344. Margo cd. A. υἱούς.

HIST. 136.

349. Cf. Apollod. II, 1. 4. ibique Heyn.

358. Aesch. Pers. 162.

Οὕτως ὁ Βῆλος ἀπελθὼν εἰς γῆν τῶν Ἀσσυρίων,
Ἄναξ ἐκλήθη καὶ θεός, ὡς νόμος Ἀσσυρίοις·
Αἴγυπτος δὲ καὶ Δαναὸς οἱ παῖδες οἱ τοῦ Βήλου,
Ὁ μὲν ἀνδρῶν πεντήκοντα γίνεται φυτοσπόρος,
Ὁ Δαναὸς πεντήκοντα πάλιν δὲ θυγατέρων,
Ἐκ διαφόρων γυναικῶν, ἀπὸ μιᾶς κατ' ἄλλους.
Ἱππόστρατος τὸν Αἴγυπτον ἐξ Εὐρυῤῥόης Νείλου
Μόνης υἱοὺς πεντήκοντα λέγει γεγεννηκέναι·
Τὰς θυγατέρας πάσας δὲ τὸν Δαναὸν ὁμοίως
Ἐκ τῆς Εὐρώπης θυγατρὸς τοῦ εἰρημένου Νείλου.
Τέως Ἀργύφης εὐγενοῦς καὶ τοῦ Αἰγύπτου παῖδες
Λυγκεὺς ὁμοῦ τε καὶ Πρωτεύς, οἳ καὶ συζύγους ἴσχον,
Τὴν Ὑπερμνήστραν ὁ Λυγκεύς, Πρωτεὺς τὴν Γοργοφόνην,
Ἃς Δαναὸς ἐγέννησεν ἐκ τῆς Ἐλεφαντίδος,
Καὶ Ἀμυμώνην σὺν αὐταῖς, ᾗ Ποσειδῶν ἐμίγη.

ΠΕΡΙ ΤΩΝ ΠΑΙΔΩΝ ΝΙΟΒΗΣ ΚΑΙ ΤΟΥ ΑΜΦΙΟΝΟΣ. ρλζ'.

Νιόβῃ καὶ Ἀμφίονι δώδεκα παῖδες ἦσαν,
Ὡς Ὅμηρος ἐδίδαξε τρανῶς ἐν Ἰλιάδι·
„Ἓξ μὲν θυγατέρες, ἓξ δ' υἱέες ἡβώοντες."
Κατ' ἄλλους δεκατέσσαρες ἦσαν οἱ παῖδες τούτοις.
Εἰς πλάτος ἔχεις ὄπισθεν πᾶσαν τὴν ἱστορίαν,
Καὶ τὰς τῶν παίδων λέγουσαν κλήσεις ἠκριβωμένως,
Καὶ τὴν Νιόβην κλαίουσαν λίθον, ἀλληγορροῦσαν,
Καὶ πᾶν ὁπόσον πέφυκεν ἀλληγορεῖσθαι δέον.
Κεῖται δ' ἐν πρώτῳ πίνακι αὕτη ἡ ἱστορία,
Πρώτῃ καὶ τεσσαρακοστῇ σὺν τῇ ἑκατοντάδι.

---

368. Vid. Voss. de hist. gr. p. 378.
374. ὑπερμήστραν cd. A.

HIST. 137.
379. Iliad. XXIV, 604.

ΠΕΡΙ ΤΟΥ, ΠΩΣ ΤΟΥΣ ΠΟΤΑΜΟΥΣ ΑΠΕΞΗΡΑΙΝΕΝ Η ΤΟΥ ΞΕΡΞΟΥ ΣΤΡΑΤΕΥΜΑΤΟΣ ΙΠΠΟΣ ΕΠΙΚΥΠΤΟΥΣΑ. ρλή.

Ξέρξης ὁ Πέρσης σὺν στρατοῦ ἀπείροις μυριάσι
Στρατεύων καθ᾽ Ἑλλάδος τε καὶ κατὰ Ἀθηναίων
Κόμπῳ πατρῴῳ Περσικῷ καινοτομεῖ τὰς φύσεις,
Γαιώσας μὲν τὴν θάλασσαν, τὰ δ᾽ ὄρη θαλαττώσας,
Οὐκ ἀριθμήσας τὸν στρατόν, ὡς σῖτον δὲ μετρήσας,
Τὸν ἥλιον τοξεύμασι τοῖς Περσικοῖς συγκρύψας,
Ἵππων τε τοῖς ἀρδεύμασι τοὺς ποταμοὺς ξηράνας,
Ἄλλα τε πόσα βάρβαρα δράσας εἰς καταπλήξεις,
Κἂν μετ᾽ αἰσχύνης ἐκπρεποῦς λαμπρῶς νενικημένος,
Παλινδρομεῖ πρὸς τὴν αὐτοῦ πατρίδα τὴν Περσίδα
Ἥβης τερπνῆς τῆς Περσικῆς φθαρείσης ἐν Ἑλλάδι.
Ἔχεις τῷ πρώτῳ πίνακι τὴν πᾶσαν ἱστορίαν,
Εἰς πλάτος γεγραμμένην μοι, τριακοστὴν δευτέραν.

ΠΕΡΙ ΘΗΒΩΝ ΥΠ᾽ ΑΛΕΞΑΝΔΡΟΥ ΚΑΤΑΣΚΑΦΩΝ, ΚΑΙ ΑΥΘΙΣ ΑΥΤΩΝ ΠΑΡ᾽ ΑΛΕΞΑΝΔΡΟΥ ΑΥΤΟΥ ΔΙ᾽ ΑΘΛΗΤΗΝ ΑΝΑΚΤΙΣΕΩΣ. ρλθ΄.

Φέρεται λόγος οὐ πολλοῖς, γνώριμος δὲ βραχέσιν,
Ὡς ὁ Δαρεῖος ὁ Περσῶν ἐκεῖνος αὐτοκράτωρ,
Ἀκηκοὼς Ἀλέξανδρον μέλλειν στρατεύειν Πέρσαις,
Χρήμασι δεξιώσασθαι πολλοῖς τὸν Δημοσθένην,
Ὅπως ἂν ἀσχολήσειεν αὐτὸν ἐν τῇ Ἑλλάδι.
Ὁ δὲ Θηβαίους δυστυχῶς ἐγείρει κατ᾽ ἐκείνου,
Ὅθεν Ἀλέξανδρος θυμῷ τὰς Θήβας κατασκάπτει,
Θρηνώδεσιν αὐλήμασιν αὐλοῦντος Ἰσμηνίου.

HIST. 138.

387. Cf. Plut. de coh. ira. Tom. IX. p. 429. ed. Hutt. de tranquill. animi. §. 10. T. X. p. 15. Lucian. Rhetor. Praecept. §. 18. ibique scholia.

HIST. 139.

406. Delevi articul. ὁ.

Ὁ Ἰσμηνίας ηὔλει γάρ; αἱ Θῆβαι δ' ἐπορθοῦντο,
Ὥσπερ τοπρὶν ἐκτίζοντο Ἀμφίονος τῇ λύρᾳ.
Οὕτως οἰκτρῶς ἐπόρθησεν Ἀλέξανδρος τὰς Θήβας,
Καὶ πυρπολεῖ δὲ σύμπασαν οἰκίαν, πλὴν Πινδάρου,
Στέγην εἰπὼν μὴ καίετε μουσοποιοῦ Πινδάρου.
Ἐπῄνεσε γὰρ πρόγονον Ἀλέξανδρον ἐκεῖνου.
Φαίνεται δὲ παραδηλῶν καὶ Δημοσθένην τάχα,
Ὡς δι' αὐτὸν ἐπόρθησεν Ἀλέξανδρος τὰς Θήβας,
Οἷς γράφει, στρέφων τὴν γραφὴν ὡς πρὸς αὐτὸν Αἰσχίνην
„Οὗτος ὁ ὀδυρόμενός ἐστι νῦν τὰ Θηβαίων.
Οὕτω μὲν κατεσκάφησαν τῷ Ἀλεξάνδρῳ Θῆβαι,
Χρησμὸς τοῖς περιλοίποις δὲ δίδοται τῶν Θηβαίων
Περὶ τῆς ἀνακτίσεως οὕτω κατ' ἔπος λέγων·
„Ἑρμῆς, Ἀλκείδης, καὶ ἱμαντομάχος Πολυδεύκης,
„Οἱ τρεῖς ἀθλήσαντες, ἀνακτίσουσί σε, Θῆβαι.
Καὶ δὴ καὶ πέρας ὁ χρησμὸς ἔσχε τοιουτοτρόπως.
Ἀγῶνας χαίρων γυμνικοὺς Ἀλέξανδρος ἐτέλει,
Κλειτόμαχος Θηβαῖος δὲ πάντας νικήσας πάλῃ,
Ἦλθε πρὸς τὸν Ἀλέξανδρον, ὡς ἂν στεφανωθείη.
Ὁ βασιλεὺς ἀνήρετο, τίς εἴη τε καὶ πόθεν;
Καὶ ὃς τὴν κλῆσιν σφοῦ πατρὸς καὶ τὴν αὐτοῦ εἰρήκει.
Πατρίδα δ' εἶπε, βασιλεῦ Ἀλέξανδρε, οὐκ ἔχω.
Ὡς δέ γε καὶ τὸν δεύτερον ἆθλον τοῦ παγκρατίου
Νικήσας ἦλθε στέφανον λαβεῖν παρ' Ἀλεξάνδρου,
Ἐρωτηθεὶς δὲ τίς ἐστι, πάλιν ὁμοίως εἶπεν·
Κλῆσιν πατρὸς καὶ τὴν αὑτοῦ, πατρίδα δὲ μὴ ἔχειν,
Θηβαῖον γνοὺς Ἀλέξανδρος, στυγνάσας οὐ μετρίως,
Καίπερ θυμῷ φερόμενος πολλῷ κατὰ Θηβαίων,
Ἄδικον δόξας ἄπατριν ἄνδρα τοιοῦτον εἶναι,
Ἂν καὶ τὸν τρίτον τὴν πυγμὴν ἆθλον νικήσῃς, εἶπε,
Τὰς Θήβας ἀνακτίζω σοι, δωροῦμαι τὴν πατρίδα,

---

412. Aelian. Var. Hist. XIII, 7.
437. Νικήσῃς pro νικήσεις, quod etiam in ed. A. legitur, scribendum esse monuit Höger.

Οὗ γεγονότος, καὶ πυγμὴν λαμπρῶς νενικηκότος,
Ἐξ ὑπαρχῆς Ἀλέξανδρος τὰς Θήβας ἀνακτίζει.

ΔΙ' ΑΡΙΣΤΟΤΕΛΗ ΕΠΙ ΦΙΛΙΠΠΟΥ ΚΑΙ ΑΛΕΞΑΝΔΡΟΥ ΣΤΑΓΕΙΡΑΣ ΤΗΣ ΟΛΥΝΘΙΑΣ ΑΝΑΚΤΙΣΙΣ. ρμ'.

Ἡ Στάγειρα τῶν πόλεων μία τῶν τῆς Ὀλύνθου,
Τοῦ φιλοσόφου δὲ πατρὶς Ἀριστοτέλους αὕτη.
Κατέσκαψε δὲ Φίλιππος, ἐχθρὰν οὖσαν σὺν ἄλλαις·
Ἀριστοτέλης δ' ὕστερον Ἀλέξανδρον αἰτεῖται,
Καὶ πάλιν ἀνακτίζουσιν ὡς δι' αὐτὸν τὴν πόλιν.

ΠΕΡΙ ΠΤΟΛΕΜΑΙΟΥ, ΔΙΩΡΥΞΙΣ ΤΟΥ ΝΕΙΛΟΥ, ΚΑΙ ΜΕΤΟΧΕΤΕΥΣΙΣ. ρμά.

Νεκῶς ὁ Ψαμητίχου πρὶν διώρυξε τὸν Νεῖλον
Μέχρι θαλάσσης ἐρυθρᾶς, μήκει τετραημέρῳ,
Πλάτος δυοτριήρεων, ὡς εὐμαρῶς εἰσπλέειν.
Ὀρύσσοντες δ' ἀπώλοντο δώδεκα μυριάδες.
Ὑψηλοτέραν δὲ τινῶν εἰπόντων τῆς Αἰγύπτου
Τὴν ἐρυθρὰν τὴν θάλασσαν, ἀπέστη τοῦ ὀρύσσειν,
Μή πώς ποτε τὴν Αἴγυπτον ἀθρόως κατακλύσῃ.
Δαρεῖος δὲ ὁ βασιλεὺς ὕστερον τῆς Περσίδος
Ἐκείνην ἐξετέλεσε διώρυχα τὴν Νεκώ,
Καὶ Πτολεμαῖος ὕστερον ἓν στόμιον τοῦ Νείλου,
Ὃ ἀπὸ τούτου λέγεται τὴν κλῆσιν Πτολεμαῖος,
Μέχρι θαλάσσης ὤρυξε, κλειόμενον ἐντέχνως,
Καὶ πάλιν ἀνοιγνύμενον δαπάναις οὐ μετρίαις.

HIST. 141.

446. *Νέκως* cd. A. — Cf. Herodot. II, 158. IV, 42. Diod. Sic. I, 33. ex quibus locis Tzetzae error intelligitur.

454. Margo cd. A. habet *τοῦ* pro *τήν*.

ΠΕΡΙ ΠΑΝΔΙΟΝΟΣ ΚΑΙ ΤΗΡΕΩΣ ΚΑΙ ΠΡΟΚΝΗΣ. ρμβʹ.

Τῷ βασιλεῖ τῶν Ἀθηνῶν Πανδίονι τὴν κλῆσιν
Ἄῤῥενες παῖδες ἦσάν τε καὶ θυγατέρες δύο
Πρόκνη καὶ Φιλόμηλα δέ. τὴν Πρόκνην δὲ ζευγνύει
Ἀνδρὶ Τηρεῖ τοῦ τῶν Θρᾳκῶν ἔθνους ἐξωρμημένῳ.
Ὅσπερ λαβὼν τὴν σύζυγον ἀπήγαγεν εἰς Θρᾴκην.
Ποθούσης Φιλομήλαν δὲ τὴν ἀδελφὴν τῆς Πρόκνης,
Εἰς τὰς Ἀθήνας ἀπελθὼν Τηρεὺς αὐτὴν λαμβάνει,
Ἀποκομίσαι βουληθεὶς τῇ ἑαυτοῦ συζύγῳ.
Ἀθέσμως ταύτῃ δὲ μιγεὶς γλῶτταν αὐτῆς θερίζει.
Ἥπερ ἱστοῦ ποικίλμασι στόματι χρησαμένη
Τῇ ἀδελφῇ τῇ ἑαυτῆς πάντα λεπτῶς μηνύει.
Ἡ δὲ Τηρέως τὸν υἱὸν καὶ ἑαυτῆς τὸν Ἴτυν
Σφάξασα, καθεψήσασα εἱστίασε Τηρέα.
Ὃς ἐκ χειρῶν καὶ κεφαλῆς καὶ τῶν ἀκρωτηρίων
Σαφῶς ἐπέγνω τὸ βρωθέν. οἱ δὲ θεοὶ ἐκείνας
Εἰς ὄρνις μεταβάλλουσι, Πρόκνην εἰς ἀηδόνα,
Τὴν Φιλομήλαν ἤμειψαν πάλιν εἰς χελιδόνα,
Πρὸς ὄρνιν πάλιν ἔποπα τὸν Θρᾷκα τὸν Τηρέα.
Καὶ Πρόκνη μὲν ὀδύρεται τὸν Ἴτυν τὸν υἱέα,
Ἡ Φιλομήλα δέ φησι, γλῶτταν Τηρεὺς ἀφεῖλεν·
Ποῦ ποῦ δὲ ταύτας ἐρευνῶν λέγει Τηρεὺς συχνάκις.

ΠΕΡΙ ΕΠΙΝΟΙΑΣ ΚΑΙ ΨΙΛΗΣ ΕΠΙΝΟΙΑΣ ΚΑΙ ΠΕΡΙ ΑΝΤΙΠΟΔΩΝ ΚΑΙ ΙΔΕΩΝ ΤΟΥ ΠΛΑΤΩΝΟΣ. ρμγʹ.

Νοῦς, λογισμός, διάνοια καὶ ἡ ἐπίνοια δέ,
Καὶ ἡ ψιλὴ ἐπίνοια, ἔχουσι σχίσμα μέγα.
Ψιλὴ ἐπίνοιά ἐστι τοῦ λογισμοῦ τις δόξα,
Πεπλανημένη καὶ ψευδής, ἀσύστατος τελείως,
Ὡς βουτραγοταυράνθρωπον νομίσαι πεφυκέναι,
Ἤ τι τοιοῦτον ἕτερον ἔκφυλόν τε καὶ ξένον,
Ὅπερ οὐδόλως δύναται συστῆναι καὶ γενέσθαι.

Ἐπίνοια δὲ δόκησις τὸ ὂν ὡς ὂν δοκοῦσα,
Ἔστιν ὅτε καὶ τὸ μὴ ὄν, γενέσθαι δὲ ἰσχῦον,
Ὡς ἄνθρωπον καθήμενον ἐπινοεῖν ἑστῶτα.
Διάνοια δ' ἡ βάσανος ἐνδιαθέτου λόγου,
Ἡ δοκιμὴ καὶ βάσανος καὶ πολυπραγμοσύνη.

Ὁ λογισμὸς παλαίστρα δὲ καὶ γνῶσις διὰ λόγου·
Ὁ νοῦς δὲ θεῖον καὶ λεπτόν, πάντα νοῶν πρὸ λόγου.
Ὀλίγοις δὲ νοῦ μέτεστιν, ὀλίγοις ἐξ ἀνθρώπων,
Ἰαμβλιχοπορφύριος καὶ πᾶς σοφὸς ὡς λέγει.
Ὅθεν τὸ νοῦς ἐπὶ θεοῦ λέγε μοι καὶ ἀγγέλων.
Αἱ θεῖαι φύσεις πάντα γὰρ νοοῦσι, πλὴν ἀμέσως,
Οὐ πολυπραγμονήσασαι ἐν λογισμοῦ παλαίστρᾳ,
Καθὼς ἡμεῖς οἱ ἄνθρωποι, ὄντες ἐκ τῶν ὑλαίων,
Καὶ λογισμοῦ δεόμενοι κρίσεως εἰς τὸ γνῶναι,
Κἂν τὸ λογίζεσθαί φαμεν νοεῖν ἐν καταχρήσει.
Νοῦς γὰρ ἀνθρώποις οὐδαμῶς, ἀλλὰ τοῖς θείοις μόνοις,
Κἂν καταχρηστικώτερον λεγόμεθα νοῦν ἔχειν.

Οὕτω καλῶς σὺ γίνωσκε ταῦτα κατὰ τὸν Τζέτζην,
Τὸν ὅνπερ καθυβρίζουσιν ἕνεκα τούτου πόσα,
Καὶ οἷα δὲ καθάρματα, φιλοσοφοῦντα δῆθεν,
Ἐκτρώματα, ἀνούστατα, σφυρήλατα τὴν τέχνην,
Δέκα μόνον ἢ δώδεκα βιβλία ἀναγνόντα,
Κἂν ταῦτα ἐπεγνώκεισαν πόσαις πληγαῖς βουκέντρων,
Ἀφ' ἑαυτῶν τῶν ὄντων δὲ νοοῦντά τι μηδόλως.
Τοιαῦτα δὴ ἀμβλώματα φύσεως, νόθον τέρας,
Κἂν μὴ πολυμαθέστερα καθέστηκε τοῦ Τζέτζου,
Ἀλλ' οὖν γε εὐφυέστερα καὶ τῶν ἀγχινουστέρων
Καὶ μόνα δὴ καὶ καθ' αὑτοὺς σθένοντα πᾶν νοῆσαι,
Τὸν Τζέτζην λέγουσι κακῶς ἐν τούτοις εἰρηκέναι.

HIST. 143.
498. Cd. A. πολυπραγμονήσαντες in contextu, in marg. πολυπραγμονήσασαι.
511. Νόθον cd. A. in contextu, in marg. νόθον. Illud praeferendum.

[illegible] ἀνθρώπους,
[illegible] ὁ Τζέτζης λέγει.
[illegible] μου.
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible] λέγει·
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
Γνωστὸς [illegible] ἀνθρώπους.
Τοῖς γὰρ ἀνθρώποις [illegible], ἐξ [illegible] γνῶσις,
Νοῦς δὲ οὐκ ἔστιν [illegible] εἰ νοῦς γὰρ ἦν ἀνθρώποις,
Περὶ τοῦ [illegible] μόνα.
Νῦν δὲ καὶ [illegible] καὶ [illegible]
Μύλας [illegible], ὃ [illegible] μανθάνειν.
Κἂν τούτου δέ, [illegible] μ,
Ἐπίγνωτε ὃ λέγομεν· εἰ ἄνθρωπος νοῦν ἔχει,
Οὐδεὶς ἂν [illegible] πώποτε, σοφός τε καὶ ἀγχίνους,
Ἢ συνετός, ἢ φρόνιμος ὁμοίως καὶ ἀγχίνους.
Ἰαμβλιχοπορφύριος καὶ πᾶς σοφὸς μὲν λέγει,
Ὀλίγοις μέτεστι δὲ νοῦ, ὀλίγοις ἐξ ἀνθρώπων.
Καὶ Πλάτων δὲ ὁ πάνσοφός φησιν ἐν τῷ Τιμαίῳ,
Λόγου μὲν πάντα ἄνθρωπον μετέχειν δὴ φατέον,
Νοῦ δὲ θεοὺς καὶ γένος τι βραχύτατον ἀνθρώπων,
Δῆθεν τοὺς προγινώσκοντας φάσκοντας καὶ προφήτας;

517. Cd. A. πάντως in contextu, in marg. πάντας. Hoc praetuli.

522. Edit. Sturz. p. 526.

524. Hic versus est ipsius Tzetzae.

532. Versus restitutus e cd. A.

542. Plat. Tim. pag. 51. E. Steph. Tom. V. p. 184. Ast.

Οἵπερ οὐ κατακούσαντες εἶπον περὶ μελλόντων,
Οἷος ὁ Πυθαγόρας τε καὶ ὁ Ἀναξαγόρας,
Ἐμπεδοκλῆς, Δημόκριτος, ἄλλοι σοφοὶ μυρίοι,
Ἡ Ἠπειρῶτις Φαεννὼ καὶ Σίβυλλα ὁμοίως,
Ἡ Φαεννὼ πρὸ χρόνου μὲν ἐνιαυτῶν τοσούτων
Τὰ πρὶν ὀλίγῳ πρὸ ἡμῶν εἰποῦσα πεπραγμένα,
Πῶς τὸν Ῥωμαίων ἄνακτα ἡττήσουσιν οἱ Πέρσαι,
Τραχήλῳ τε πατήσουσιν, οἷα δεδουλωκότες,
Καὶ σφὸς λαὸς καὶ πρόγονος πῶς τοῦτον κράτους ῥίψει,
Καὶ πῶς Πέρσαι κατάσχωσι πᾶσαν τὴν Βιθυνίαν,
Καὶ Σκύθαι πῶς συῤῥάξουσι μάχην Ῥωμαίων γένει,
Κατ' ἔπος λέγουσα ταυτὶ στόματι διῃρμένῳ·
„Ὦ βασιλεῦ Θρηκῶν, λείψεις πόλιν ἐν προβάτοισιν,
„Αὐξήσεις δὲ λέοντα μέγαν, γαμψώνυχα, δεινόν,
„Ὅς ποτε κινήσει πατρίας κειμήλια χώρας,
„Γαῖαν δ' αἱρήσει μόχθων ἄτερ, οὐδέ σέ φημι,
„Σκηπτούχοις τιμαῖσιν ἀγάλλεσθαι μάλα δηρόν,
„Ἐκ δὲ θρόνων πεσέειν οἷοι κύνες ἀμφὶς ἔχουσιν.
Ταῦτα βραχέα Φαεννοῦς. ἡ Σίβυλλα δὲ εἶπε,
Κἂν μέχρι τὴν ἀπόβασιν λάβωσιν, οὐ νοῶνται,
Περὶ τῆς Κύπρου τε αὐτῆς καὶ τῆς Ἀντιοχείας,
Καὶ πῶς νῦν ὁ Λεβούνιος ἐλεύσεται εἰς Κύπρον.
Περὶ τῆς Κύπρου οὕτω μὲν καὶ τῆς Ἀντιοχείας·
„Αἶ, αἶ, Κύπρε τάλαινα, σὲ δὲ μέγα κῦμα καλύψει,
„Δούρασι δ' ἐντεοῖς Ἀντιόχεια τάλαιν' ὄλλυσαι.
Ταῦτα περὶ τῆς Κύπρου τε καὶ τῆς Ἀντιοχείας.
Περὶ δὲ τῆς τοῦ Κίλικος ἐλεύσεως εἰς Κύπρον

---

549. De Phaenno, quae item Phaennis dicitur, vid. Fabricii Bibl. graec. T. I. p. 171. Harl. Eius aliquot versus afferuntur in oraculis veteribus adiectis oraculis Sibyllinis edit. Gallaei p. 61. — De Sibylla cf. Fabric. bibl. gr. T. I. p. 227.

558. Lacisius vertit *accipies*, tamquam legerit *λήψει*, vel *λήψῃ*.

569. In Oracul. Sibyll. Lib. IV. p. 527. Gall. haec leguntur: *Αἴ αἴ Κύπρε τάλαινα, σὲ δὲ πλατὺ κῦμα θαλάσσης ῥίψει χειμερίῃσιν ἀναῤῥιφθεῖσαν ἀέλλαις.*

Ἡ σοφωτέρα γυναικῶν οὕτω κατ' ἔπος λέγει·
„Ἔσσεται ἐσσομένοις, ὅτε Πύραμος εὐρυοδίνης
„Ἠϊόνα προχέων ἱερὴν ἐς Κύπρον ἵκηται.
Τοιούτοις ὁ Ἰάμβλιχος, Πορφύριος καὶ ἄλλοι
Ἀνθρώποις ἔφασαν τοῦ νοῦ παρεῖναι μετουσίαν,
Ἅτε μόνως νοήσασι καὶ προειποῦσι πάντα,
Ἄνευ τε τοῦ λογίσασθαι, ἢ καὶ τινος ἀκοῦσαι.
Ὀλίγοις διὰ τούτους μὲν ἔφασαν νοῦ μετεῖναι.
Ἐγὼ δὲ οὐδὲ τούτοις γε κυρίως νοῦν προσάπτω.
Ἢ γὰρ ἀκούσαντές τινος, εἴτ' οὖν ἐκ μαθημάτων,
Εἴτε καὶ λογισάμενοι ἔκ τινων θεαμάτων
Εἶπον ἃ εἶπεν ἕκαστος, ὑστέρως δὲ ἀπέβη.
Ὁ νοῦς δ' ἀμέσως ἅπαντα νοεῖ καὶ ὄντως οἶδεν,
Ἄνευ δὲ παραδείγματος καὶ λογισμοῦ καὶ θέας,
Οὐδὲ αὐτοὺς οὖν νουνεχεῖς, ἀγχίνους δ' ὀνομάζω.
Πρὸς ταῦτα τὰ καθάρματα βαλλέτω με καὶ λίθοις
Περὶ μὲν νοῦ καὶ λογισμοῦ ταῦτα καὶ τῶν ἑτέρων.
Περὶ τῶν ἀντιπόδων δὲ καὶ ἰδεῶν λεκτέον.
Οἱ πάνσοφοι φιλόσοφοι περὶ τῶν ἀντιπόδων
Σοφὸν φυσιολόγημα διδάσκουσιν εὐτέχνως,
Ὡς ἡ ἡμῖν ἀντίθετος γῆ τῶν χθαμαλωτάτων,
Ἡ δὲ βορεία ἡ ἡμῶν γῆ τῶν ὑψηλοτάτων.
Συμβαίνει γοῦν, βαδίζοντας ἐκείνους σφῶν πορείας
Νομίζεσθαι ἀντίποδας πρὸς τὰς ἡμῶν βαδίσεις.
Τοιαῦτα λέγουσι σοφά· ἅπερ νοεῖν οὐ σθένω
Ἑτέρως, ἢ ὡς πρότερον ὁ γέρων ὁ Δημῶναξ.
Κἀκεῖνος γὰρ φιλόσοφον διδάσκοντα τοιαῦτα
Λαβὼν εἰς λίμνην ἤγαγε καὶ τὰς σκιὰς δὲ δείξας

575. In Orac. Sibyll. p. 515. pro εὐρυοδίνης est ἀργυροδίνης. Schol. Dionys. v. 866. habet εὐρυδίνης. Vs. prox. νῆσον pro Κύπρον. Item Strab. lib. I. p. 141. Tzsch.

578. Scripsi ἅτε pro ᾧ τε. Item in hoc versiculo aptius quam μόνως est μόνοις.

593. Margo cd. A. ἀντίθετοι.

596. Etiam cd. A. οὔτε. Syllabarum numerus flagitat οὐ.

598. Lucian. Demonact. §. 22.

Ἔφη, μὴ τοὺς ἀντίποδας τοιούτους εἶναι λέγεις;
Τοιούτους τοὺς ἀντίποδας κἀγὼ δοκῶ τυγχάνειν.
Καὶ τὰ τῶν ἀντιπόδων μὲν τυγχάνουσι τοιάδε.

Τῶν ἰδεῶν δὲ λέγουσι τρεῖς δόξας πεφυκέναι.
Ψιλὰς ἐννοίας γάρ φησι ταύτας ὁ Ἀντισθένης
Λέγων, βλέπωμεν ἄνθρωπον καὶ ἵππον δὲ ὁμοίως,
Ἱππότητα οὐ βλέπω δέ, οὐδ' ἀνθρωπότητά γε·
Ἀλλ' οὐδ' ἐγώ, Ἀντίσθενες, ὁ Τζέτζης ἄρτι βλέπω
Πού ποτε ἀνθρωπότητα, οὐδ' ἐν τοῖς πατριάρχαις·
Καὶ ὑδραργύρου γάρ εἰσι κλεπτότεροι τοῦ κλέπτου.
Ταῦτα τὸν Ἀντισθένην μὲν λέγουσι δογματίζειν.

Τὸν Πλάτωνα δὲ λέγουσι δοξάζειν τὰς ἰδέας
Ὑφεστηκότα πράγματα καὶ ἀληθῆ καὶ ὄντα,
Ὡς σφραγιστῆρας ἀκραιφνεῖς ὄντα καὶ πρωτοτύπους
Βοός, ἀνθρώπου καὶ λοιπῶν. πρὸς ἃ τὸ θεῖον βλέπον
Βοῦν τε ποιεῖ καὶ ἄνθρωπον καὶ τὰ λοιπὰ ὁμοίως.

Ἀριστοτέλην δέ φασιν ἰδέας ὀνομάζειν
Θεοῦ τὸ προεννόημα πάσης δημιουργίας.
Οἷον ποιῆσαι μέλλων τις κλίνην, καὶ πρὸ τοῦ ἔργου
Τῷ λογισμῷ προεννοεῖ πρῶτον καὶ προγινώσκει,
Ὁποίαν ἀπεργάσεται καὶ ποδαπὴν τὴν κλίνην.
Ταῦτά φασι δοξάζειν μὲν εἰς ἰδεῶν τοὺς λόγους
Τὸν Ἀντισθένην, Πλάτωνα καὶ τὸν Ἀριστοτέλην.

Ἐγὼ δὲ μᾶλλον Πλάτωνα ἐν τῷ Τιμαίῳ εὗρον
Λέγοντα ταύτας νόημα δημιουργοῦ τυγχάνειν,
Κἄνπερ αὐτόθι ἀλλαχοῦ τοῦ λόγου τούτου φέρῃ
Οἷα ὑφεστηκότα τε καὶ οἷα σφραγιστῆρας.
Ὅμως ὡς λέγουσι πολλοί, κἀγὼ τανῦν εἰρήκειν.

---

619. Pro mutilato προγνοεῖ dedi προεννοεῖ.

ΠΕΡΙ ΤΟΥ ΚΑΙ ΕΙ ΤΙ ΤΟΥΤΩΝ ΨΕΥΔΕΠΙΝΟΥΣΤΕΡΟΝ. ρμδ'.

Καρυανδέως Σκύλακος ὑπάρχει τι βιβλίον
Περὶ τὴν Ἰνδικὴν γράφον ἀνθρώπους πεφυκέναι,
Οὕσπερ φασὶ Σκιάποδας, καί γε τοὺς Ὠτολίκνους·
Ὧν οἱ Σκιάποδες πλατεῖς ἔχουσιν ἄγαν πόδας,
Καιρῷ τῆς μεσημβρίας δὲ πρὸς γῆν καταπεσόντες,
Τοὺς πόδας ἀνατείναντες σκιὰν αὐτοῖς ποιοῦσι·
Μεγάλα δ' οἱ Ὠτόλικνοι τὰ ὦτα κεκτημένοι
Ὁμοίως σκέπουσιν αὐτοὺς τρόπῳ τῶν σκιαδείων.
Ὁ Σκύλαξ οὗτος γράφει δὲ καὶ ἕτερα μυρία
Περί γε Μονοφθάλμων τε καὶ τῶν Ἐνωτοκοίτων
Καὶ ἐκτραπέλων ἄλλων δὲ μυρίων θεαμάτων.
Ταῦτά φησι δ' ὡς ἀληθῆ, μηδὲ τῶν ἐψευσμένων.
Ἐγὼ τῇ ἀπειρίᾳ δὲ ταῦτα ψευδῆ νομίζω.
Ὅτι δ' εἰσὶ τῶν ἀληθῶν, ἄλλοι φασὶ μυρίοι
Τοιαῦτα καὶ καινότερα θεάσασθαι ἐν βίῳ,
Κτησίας καὶ Ἰάμβουλος, Ἰσίγονος, Ῥηγῖνος,
Ἀλέξανδρος, Σωτίων τε καὶ ὁ Ἀγαθοσθένης,
Ἀντίγονος καὶ Εὔδοξος, Ἱππόστρατος, μυρίοι,
Ὁ Πρωταγόρας αὐτὸς δέ, ἅμα καὶ Πτολεμαῖος,
Ἀκεστορίδης τε αὐτὸς καὶ ἄλλοι πεζογράφοι,
Οὕς τε αὐτὸς ἀνέγνωκα καὶ οὓς οὐκ ἀνεγνώκειν.
Ἀφ' ὧν δ' αὐτὸς ἀνέγνωκα, γραφαῖς μετροσυνθέτοις,
Ζηνόθεμις, Φερένικος, σὺν τῷ Φιλοστεφάνῳ
Καὶ ὧνπερ οὐκ ἀνέγνωκα, μυρίοι πάλιν ἄλλοι.

HIST. 144.

629. Conf. Philostrat. Vit. Apollon. III. c. 48. Vossius de histor. graec. p. 114. Uckerts Geograph. d. Gr. u. Röm. I Th. II Abth. p. 285. sqq.

638. Erat ἐνοτικτόντων.

644. *Iambulum* memorat Vossius l. c. p. 379. De *Isigono*, *Rhegino*, *Alexandro*, *Sotione*, *Agathosthene*, *Antigono* vid. Mülleri Indic. ad Schol. Lycophr. s. h. nn.

646. De *Eudoxo Rhodio* conf. Vossius l. c. p. 29. De *Hippostrato* idem p. 378. De *Protagora* idem p. 408. De *Ptolemaeo Chenno* (cuius excerpta dedit Photius) p. 213. De *Acestoride* p. 314. De *Zenothemide* p. 425. De *Pherenico* p. 400. De *Philostephano* p. 93.

Περὶ δρακόντων Λιβυκῶν Ἀδέσποτος γὰρ λέγει,
Καταλογάδην συγγραφῇ, μὴ δὲ μετρικωτάτῃ,
Ἐν μέτρῳ δ' ὁ Ποσείδιππος, ὡς κεφαλαῖς ταῖς τούτων
Λίθοι τινὲς εὑρίσκονται, τὴν κλῆσιν δρακοντίαι,
Αὐτόγλυφοι τυγχάνοντες, ὧν ἐν ἑνὶ καὶ ἅρμα
Ἐγγεγλυμμένον κατιδεῖν αὐτοφυῶς πως λέγει,
Μὴ φαίνεσθαι τὸ γλύμμα δέ, πρὶν τυπωθῇ κηρίῳ.
Καὶ τῶν ἐπῶν κατάκουε νῦν τῶν τοῦ Ποσειδίππου.
„Οὐ ποταμὸς κελάδων ἐπὶ χείλεσιν, ἀλλὰ δράκοντος,
„Εἶχέ ποτ' εὐπώγων τόνδε λίθον κεφαλὴ
„Λευκὰ φαληριόωντα. τὸ δὲ γλυφὲν ἅρμα κατ' αὐτοῦ.
„Τοῦθ' ὑπὸ λυγκείου βλέμματος ἐγλύφετο,
„Ψεύδεϊ χειρὸς ὅμοιον· ἀποπλασθὲν γὰρ ὁρᾶται
„Γλύμμα. κατὰ πλατέος δ' οὐκ ἂν ἴδοις προβόλου.
„Ἦ καὶ θαῦμα πέλει μόχθου μέγα, πῶς ὁ λιθουργὸς
„Τὰς ἀτενιζούσας οὐκ ἐμόγησε κόρας.
Ταῦτα μὲν ὁ Ποσείδιππος καὶ ἕτερα μυρία.
Καὶ Φιλοστέφανός φησιν ἕτερα μὲν μυρία,
Καὶ Σικελῇ γῇ ῥίπτουσαν λίμνην τοὺς λουομένους.
„Γαίῃ δ' ἐν Σικελῶν Τρινακρίδι χεῦμα λέλειπται
„Αἰνότατον, λίμνη, καὶ εἰ οὐκ ὀλίγη,
„Ἔχερον δίνης τῇσιν, ὁ πρὶν ποσὶ παῦρα τινάξας,
„Ἡ δ' ἰδίως ξηρὴν ἤλασεν ἐς ψάμαθον.
Καὶ ὁ Φερένικός φησι περὶ Ὑπερβορέων,
Ὥσπερ καὶ ὁ Ζηνόθεμις, ὁμοῦ καὶ Ἀριστέας, ...

---

655. De *Posidippo* l. c. p. 407. ubi item hi Posidippi versus a vs. 661. (qui iidem leguntur in Appendice Epigrammatum 66. Tom. III. pag. 348. ed. Tauch.) emendantur.

659. Secundum cd. A. vestigia pro *κηρίως* scripsi *κηρίῳ*, Vossius *κηρίοις*.

671. *Σικελῇ γῇ* ponendum esse loco accusativorum, vere monuit Höger. Hinc reposui. — Versu proximo erat *Τρινακρίδῃ*.

674. Versus depravatus, cui corrigendo cd. A. nihil auxilii suppeditat. Primum vocabulum ita exaratum est, [illegible]. Mox *δίνης τ'ῃσιν*. Haud incommoda haec mihi visa est mutandi ratio: *χαίρει μὲν δίνῃσιν ὁ πρὶν ποσὶ παῦρα τινάξας*.

Ὁ Ἀριστέας ὁ σοφός, ὁ τοῦ Καϋστροβίου,
Οὗπερ αὐτὸς μὲν ἔπεσιν ἐνέτυχον ὀλίγοις,
Ἡρόδοτος δὲ μέμνηται. λέξω δ' ἐκ Φερενίκου·
„Ἀμφὶ δ' Ὑπερβορέων, οἵτ' ἔσχατα ναιετάουσι,
„Νηῷ ὕπ' Ἀπόλλωνος, ἀπείρητοι πολέμοιο.
Φησὶ καὶ ὁ Ζηνόθεμις ἐν τῷ περίπλῳ τάδε·
„Σύγχορτον δ' Ἀριμασποῖσι ναίει μέγα φῦλον,
„Ἰασηδῶν Σκυθίης, νάμασι πὰρ ποταμοῦ.
Καὶ Ἀριστέας δέ φησιν ἐν τοῖς Ἀριμασπείοις·
„Ἰασηδοὶ χαίτῃσιν ἀγαλλόμενοι ταναῇσι·
„Καὶ σφᾶς ἀνθρώπους εἶναι καθύπερθεν ὁμούρους
„Πρὸς Βορέω, πολλούς τε καὶ ἐσθλοὺς κάρτα μαχητάς,
„Ἀφνειοὺς ἵπποισι, πολύῤῥηνας, πολυβούτας.
„Ὀφθαλμὸν δ' ἕν' ἕκαστος ἔχει χαρίεντι μετώπῳ,
„Χαίτῃσι λάσιοι, πάντων στιβαρώτατοι ἀνδρῶν.
Περὶ τῶν Ἡμικύνων δέ, τῶν καὶ Κυνοκεφάλων,
Σιμμίας ἐν Ἀπόλλωνι κατ' ἔπος οὕτω γράφει·
„Τηλυγέτων δ' ἀφνειὸν Ὑπερβορέων ἀνὰ δῆμον,
„Τοῖς δὴ καί ποτ' ἄναξ ἥρως παρεδαίσατο Περσεύς,
„Ἔνθα δὲ Μασσαγέται θοῶν ἐπιβήτορες ἵππων
„Ναίουσι τόξοισι πεποιθότες ὠκυβόλοισι,
„Θεσπέσιόν τε περὶ ῥόον ἤλυθον ἀενάοιο,
„Καμπάσου, ὃς ἅλα δῖαν ἐς ἀθανάτην φέρει ὕδωρ.
„Ἐκ δ' ἱκόμην ἐλαίαισι περιχλωρῇσιν ἐρύμνας
„Νήσους, ὑψικόμοισιν ἐπηρεφέας δονάκεσσιν.
„Ἡμικύνων τ' ἐνόησα γένος περιώσιον ἀνδρῶν,
„Τῶν ὤμων ἐφύπερθεν ἐϋστρεφέων κύνεον κράς
„Τέτραφε γαμφηλῇσι περικρατέεσσιν ἐρυμνόν.
„Τῶν μέν θ' ὥστε κυνῶν ὑλακὴ πέλει, οὐδέ τι τείγη,
„Ἄλλων ἀγνώσσουσι βροτῶν ὄνομα κλυτόν, αὐδήν.
Περὶ τῶν Ἡμικύνων μὲν Σιμμίας ταῦτα λέγει.

---

678. Conf. Casaubon. et Friedemann. ad Strab. lib. I. pag. 273. sq. Tom. VII. ed. Tzsch. Valcken. ad Herodot. IV, 13.

706. Quid pro τείγη sic adsciscendum, non video. Satis apte diceretur οὐδέ τι σίγη.

Ὑπερβορείοις τόποις δὲ καὶ τοῖς ψυχροῖς ὁ Τζέτζης
Μεγάλως ἰσχυρίζεται μὴ γίνεσθαι τοιαῦτα·
Ἐν γῇ τῇ Αἰθιόπων δέ, Ἰνδίᾳ καὶ Αἰγύπτῳ,
Καὶ γαῖς ὁμοιοθέρμοις δὲ φύσεις φησὶ τοιαύτας.
Καὶ ὁ Κτησίας ἐν Ἰνδοῖς εἶναι τοιαῦτα λέγει,
Ἠλεκτροφόρα δένδρα τε καὶ τοὺς Κυνοκεφάλους,
Δικαίους πάνυ δέ φησι, ζῆν δ' ἐκ τῶν ἀγρευμάτων.
Ἱεροκλῆς ὡσαύτως τε φιλίστορσιν ἐν λόγοις,
„Ἑξῆς δὲ λέγων εἴδομεν χώραν αὐχμηροτάτην,
„Ἡλίῳ φλεγομένην τε καὶ περὶ ταύτην ἄνδρας
„Γυμνοὺς καὶ ἀνεστίους δὲ πρὸς χώραις τῆς ἐρήμου,
„Ὧν οἱ μὲν ἐπεσκίαζον τὸ πρόσωπον ὠτίοις,
„Τοὺς πόδας δ' ἀνατείνοντες τὸ σύμπαν ἄλλο σῶμα.
Τούτων καὶ Στράβων μέμνηται, καί γε τῶν ἀκεφάλων,
Καὶ τῶν δεκακεφάλων τε, καὶ τετραχειροπόδων.
Οὕσπερ ἐγὼ οὐκ ὄπωπα, φησὶν Ἱεροκλέης.
Ταῦτα Ἱεροκλέης μέν· Ἰάμβουλος δὲ πάλιν
Ἐν νήσοις Αἰθιόπων μὲν εὔσφαιρα ζῶα λέγει,
Ἀνθρώπους τῶν διγλώσσων τε μιᾷ ῥοπῇ καὶ μόνῃ
Προσφθεγγομένους ἄλλοις τε καὶ ἄλλοις τῶν ἀνθρώπων.
Ταῦτα καὶ ὁ Ἰάμβουλος καὶ ἕτερα μυρία.
Οὐράνιος ἐν τρίτῳ δὲ Ἀραβικῶν που λέγει,
Εἶναι καλάμων ἱερὸν ἄλσος ἐν Ἀραβίᾳ,
Ἐν οἷς καλάμοις θάπτουσι μόνους τοὺς βασιλέας,
Γυναῖκας τε καὶ ἀδελφοὺς καὶ υἱέας τούτων,
Ἄλλον τινὰ δὲ οὐδαμῶς· ἡ δὲ ταφὴ τοιάδε·
Ἐν γόνυ τι κοιλάναντες, ὧν ἔφημεν καλάμων,
Ἐς τοῦτο θέντες τὸν νεκρὸν καὶ χρίσαντες δὲ μύρῳ,
Τὸν κάλαμον μὴ κόψαντες, πάλιν ἐῶσι φύειν.

---

713. Ctesiae Indic. 20. sqq. p. 189. Lion.
716. De *Hierocle* vid. Vossius p. 376.
726. Erat ἔνσφαιρα.
730. De *Uranio* v. Vossius p. 422.
733. Ante υἱέας videtur τοὺς excidisse.

Εἰ θαῦμα δὲ νομίζοι τις Ἀῤῥάβων τοὺς καλάμους,
Ὁ Τζέτζης λέγει· τοὺς Ἰνδῶν καλάμους τῷ Κτησίᾳ
Ὡς διοργυίους γράφοντι τὸ πλάτος, τίς πιστεύσοι;
Καὶ τοῖς τὸ ἓν γονάτιον δύο ποιεῖν ὁλκάδας;
Ὅσοι περὶ μαράθων τέ φασι τῶν ξενοτέρων,
Σκορπίων τε καὶ κωβιῶν, ἰχθύων διπηχέων
Καὶ τριπηχέων μέχρι δέ, μὴ μέντοι περαιτέρω,
Καὶ περὶ τῶν ἐν Κάλπῃ δὲ πόλει τῆς Ἰβηρίας
Ὀστρέων, ὧν τὸ κέλυφος ὡς κοτυλῶν τεσσάρων,
Καὶ περὶ τῶν ἑτέρων δὲ πάντων τῶν ξενοτέρων,
Ἅπερ εἰ παρενέγραφεν ὁ Τζέτζης τῷ βιβλίῳ,
Οὐκ ἂν αὐτὰ ἐχώρησε καὶ μόνα τὸ βιβλίον,
Ταῖς δ' ἱστορίαις ἔχρῃζεν ἑτέρων ἂν βιβλίων,
Ὡς εἰ καὶ πάντα ἔγραφε τὰ ἕτερα πλατέως.
Ἱστοριῶν δὲ ἕνεκα χωρήσεως συσφίγγει,
Ὅπως χωρήσῃ σύμπαντα τὰ πίνακος ἡ βίβλος.
Διὸ βραχέα λέξαντες περὶ Ἀπολλοδώρου,
Πῶς ὡς ὁ Τζέτζης οἴεται ταῦτα ψευδῆ τυγχάνειν,
Ἔκτοτε περισφίγγοιμεν λοιπὸν τὰς ἱστορίας,
Ὡς ἂν ἰσχύσαιμεν αὐτὰς πάσας ἐνθάδε γράψαι,
Ὁπόσας ἡ τοῦ πίνακος ἐπιγραφή μοι φέρει.

Τὰ εἰρημένα γράφουσιν ὡς ἀτρεκῆ μὲν πάντες.
Ὁ δέ γε Ἀπολλόδωρος δευτέρῳ καταλόγου,
Ψυχὴν ἐπαληθίζουσαν ὥσπερ ὁ Τζέτζης ἔχων,
Τέρατά τε καὶ πλάσματα οἴεται, γράφων ὧδε·
„Ἡμίκυνες, Μακρόκρανοι, καὶ οἱ Πυγμαῖοι, πλάσμα.
„Ὥσπερ οἱ Στεγανόποδες, καὶ οἱ Στερνοφθαλμοῖδε,
„Αὐτοί τε Κυνοκέφαλοι, μετὰ τῶν Μονομμάτων,

---

743. Ita recte cd. A. pro *γοβιῶν*. Latine *gobio*. Cf. Artedi synonym. piscium. Ed. Schneid. p. 12. et p. 46. sq.

756. Cd. A. *λοικόν* pro *λοικάς*.

760. Cf. Apollod. fragm. p. 418. ed. Heyn. Strabo lib. I. p. 115. Tzsch. et not. Casaub. Tom. VII. p. 346.

794. Ita cd. A.

„Μύθων τε Ἱμαντόποδες, καὶ Ἱμαντοσκελεῖς τε
„Μονοτοκῆται, Ἄῤῥινες, καὶ Ἄστομοι ὁμοίως,
„Καὶ οἱ Ὀπισθοδάκτυλοι, καὶ οἱ Ἀγελαστοῦντες.

ΠΕΡΙ ΑΡΤΟΥ ΟΒΕΛΙΟΥ. ρμέ.

Ἐγὼ μὲν ἄρτον εἴρηκα ἐνταῦθα ὀβελίαν
Τὸν ῥυπαρὸν καὶ εὐτελῆ, τάχα καὶ πιτυρίαν.
Πρὸς Κόμμοδον Ἰούλιος γράφων δὲ Πολυδεύκης
Πῇ μὲν τοιοῦτον καὶ αὐτὸς τοῦτον κατονομάζει,
Ὁ καχρυδίας ἄρτος μοι λέγων καὶ ὀβελίας.
Πάλιν φησί που ἀλλαχοῦ, ἄρτοι δὲ ὀβελίαι,
Οὓς Διονύσῳ ἔφερον οἱ ὀβελιαφόροι,
Ὄντας ἀπὸ μεδίμνου τε ἢ δύο ἢ τριῶν δέ,
Ἐμπεπαρμένους ὀβελοῖς. ὅθεν τὴν κλῆσιν ἔσχον.

ΠΕΡΙ ΤΩΝ ΣΑΡΔΑΝΑΠΑΛΟΥ ΤΡΥΦΩΝ. ρμς΄.

Παῖς ἦν ὁ Σαρδανάπαλος τοῦ Ἀνακυνδαράξου,
Ἦρχε τῶν Ἀσσυρίων δέ, σχεδὸν ἦν κοσμοκράτωρ.
Τοῦ κράτους τούτου δύναμιν ἀπὸ βραχέως νόει.
Μιᾷ ἡμέρᾳ ἔκτισε Ταρσὸν καὶ Ἀγχιάλην.
Ἅπας δ᾽ ὁ βίος ἦν αὐτῷ τρυφή, μυραλοιφίαι,
Αὐλοὶ καὶ κῶμοί καὶ ᾠδαί, μοῦσα παντὸς ὀργάνου,
Ἐξημοιβά τε εἵματα καὶ συνεχῆ λουτρά δέ.
Ἐξύρετο, ἐχρίετο τῷ φύκει, ὡς γυναῖκες.
Καὶ γυναικείαν δὲ στολὴν οὗτος ἐνδεδυμένος
Σὺν ταῖς ὡραίαις γυναιξὶν ἐτρύφα κεκλεισμένος.
Ὅλος ἁβρότης ἦν, τρυφὴ καὶ θῆλυς, πλὴν μορίων,

---

766. Heyn. coniicit *μῦθοί τε*, aut *μυθώδεις*, aut simile quid.

HIST. 145.

773. Cd. A. *καχρυδίας*. Lacisius expressit alteram formam *καγχρυδίας*. Cf. Pollux. I. segm. 248. VI. 75.

HIST. 146.

778. De Sardanapalo vid. Diod. Sic. II, 23. sqq. ibiq. interpr.

784. Odyss. VIII, 249.

Ἡ βασιλεία δὲ αὐτοῦ εὐνούχοις διῳκεῖτο.
Τὸ τρυφηλόν σοι τοῦ ἀνδρὸς σαφῶς παραδεικνύει
Ἐπίγραμμα, ὃ γέγραπται τῷ τάφῳ τῷ ἐκείνου.
Ἔχεις καὶ τὸ ἐπίγραμμα καὶ πᾶσαν ἱστορίαν
Πλατέως ἐγκειμένην σοι ταῖς πρώταις ἱστορίαις,
Εἰς τάξιν ἐνενηκοστὴν καὶ πέμπτην σὺν ἐκείνῃ.

ΠΕΡΙ ΤΟΥ, ΜΑΤΑΙΟΤΗΣ ΜΑΤΑΙΟΤΗΤΩΝ, ΡΗΤΟΥ ΣΟΛΟΜΟΥΝΤΟΣ. ρμζʹ.

Ὁ Σολομῶν τὸ ἄστατον γνοὺς βίου τῶν ἀνθρώπων
Τὸ ματαιότης ἔλεξε ματαιοτήτων πάντα.
Ὁ λυρικὸς δὲ Πίνδαρος οὕτω που πάλιν λέγει·
Τί δέ γε τίς; τί δὲ οὔ τίς; σκιᾶς ἄνθρωπος ὄναρ.
Ὁ πενιχρὸς καὶ ἀφνεὸς θνήσκομεν ἅμα πάντες.
Ὁ Μάρκος αὐτοκράτωρ δὲ τὸν ἄνθρωπον φησί που,
Μυξάριον, ἑλκύδριον, παράτριψιν νευρίου.
Καὶ τὴν ψυχὴν δὲ ὁ αὐτὸς θνητόψυχος ὑπάρχων
Ἀναθυμίασίν φησιν αἵματος πεφυκέναι.
Φθείρεσθαι καὶ μὴ μένειν δὲ τοιουτοτρόπως λέγων:
Εἰ παραμένουσι ψυχαί, ἤγουν εἰσὶν ἀφθάρτως,
Πῶς ἐξ αἰῶνος ὁ ἀὴρ ταύτας χωρεῖν ἰσχύει;

ΠΕΡΙ ΤΟΥ, ΩΣΠΕΡ ΓΑΛΗΝΟΣ ΠΕΡΙ ΧΟΛΩΝΤΩΝ ΚΑΙ ΜΑΙΝΟΜΕΝΩΝ ΔΙΔΑΣΚΕΙ. ρμηʹ.

Τοὺς μαινομένους ἅμα τε καὶ τοὺς μελαγχολῶντας
Ὁ Γαληνὸς ὁ ἰατρὸς φεύγειν φησὶν ἀνθρώπους
Θηρᾶν τε ἡσυχίαν δὲ καὶ πᾶσαν ἐρημίαν.

HIST. 147.

799. Etiam cd. A. ut edit. Bas. θναίσκομεν.

800. Marc. Anton. lib. IV. 48.

802. lib. V. 33. VI. 14.

804. lib. IV. 21.

HIST. 148.

809. In marg. cd. A. ποθεῖν.

ΠΕΡΙ ΤΟΥ, ΟΝ ΘΥΜΟΝ ΚΑΤΕΔΩΝ, ΠΑΤΟΝ ΑΝΘΡΩΠΩΝ ΑΛΕΕΙΝΩΝ. ρμθ'.

Ἱππόνους ὁ Κορίνθιος, ὁ Γλαύκου τοῦ Σισύφου,
Ἴδιον κτείνας ἀδελφόν, οὗπερ ἡ κλῆσις ἦδε,
Ἢ Δηλιάδης, ἢ Πειρῆν, εἴτε καὶ Ἀλκιμένης,
Ἢ Βέλλερον, ὑπάρχοντα δυνάστην Κορινθίων,
Ἐξ οὗ καὶ κλῆσιν ἔσχηκε τὴν τοῦ Βελλεροφόντου,
Ἦλθε καθαρθησόμενος εἰς Ἄργος πρὸς τὸν Προῖτον.
Ἄντεια καὶ Σθενέβοια γυνὴ δὲ ἡ τοῦ Προίτου,
Ὡς σχοῦσα τούτου ἐρώτα καταπειθῆ οὐχ εὗρε,
Τῷ Προίτῳ λέγει τῷ ἀνδρὶ βίαν παθεῖν ἐκ τούτου.
Προῖτος δ' ἐπεὶ συντράπεζος καὶ καθαρτὴς ἦν τούτου,
Αὐτοχειρίᾳ μὲν αὐτὸς τὸν φόνον ἀποφεύγει·
Γράψας δ' ἐν πίνακι πτυκτῷ (οὔπω γὰρ ἦσαν χάρται)
Τὴν σύμπασαν ὑπόθεσιν, αὐτῷ Βελλεροφόντῃ
Ἀποκομίσαι καθ' αὐτοῦ δίδωσιν εἰς Λυκίαν
Πρὸς Ἰοβάτην πενθερόν, ὅπως αὐτὸν ἀνέλῃ.
Ὡς ὁ Βελλεροφόντης δὲ ἦλθε πρὸς Ἰοβάτην,
Ξενίζεται τραπέζῃ μὲν ἡμέρας ἐπ' ἐννέα.
Ἰδὼν ὁ Ἰοβάτης δὲ τὸ γράμμα τῇ δεκάτῃ,
Κτείνειν οὐκ εἶχεν οὐδ' αὐτὸς συμμετασχὼν τραπέζης.
Πέμπει δὲ τοῦτον ἀνελεῖν Χίμαιραν τὴν πυρπνόον,
Ὡς ἀποθάνοι συμπλοκῇ τῇ πρὸς αὐτὴν ὁ νέος.
Λέγουσι δὲ τὴν Χίμαιραν τρικέφαλον θηρίον,
Λέοντα, μέσον αἶγα δέ, δράκοντα τῷ οὐραίῳ.
Ἵππῳ Πηγάσῳ πτερωτῷ δ' ἐποχηθεὶς ὁ νέος,
Ἤγουν τριήρους ἐπιβάς, ἧσπερ πτερὰ τὰ λαίφη,

HIST. 149.

810. Iliad. VI, 202. Schol. Lycophr. 17. Apollod. I, 9. 3. II, 3. 1. Plutarch. de curios. §. 9. Tom. X. p. 139. ed. Hutt. Erat *Γλαύκου τοῦ τοῦ Σισύφου*, articulo ante *Γλαύκου* omitto.

816. In Apollod. II, 3. 1. §. 2. ante Heynium legebatur, *καὶ αὐτοῦ γυνὴ Σθενέβοια, ἢ καὶ Ἄντεια.*

826. Erat *ἡμέραις.*

829. In marg. cd. A. legitur *ἀνελεῖν ἢ ἀναιρεῖν.*

834. In cd. A. est *ἢ*, quod an *ἤγουν* ait legendum non satis est certum.

(Καὶ οἱ περὶ Ἀδρίαν δὲ ἵππους φασὶ τὰ πλοῖα)
Ἔχων στόλον ἑτέρων τε τριήρεων συμβάλλει,
Καὶ νίκην ἀπειργάσατο πρῶτον κατὰ Σολύμων,
Τῶν Μυλιῶν, Μυλασσιτῶν, καθὼς φασιν οἱ ἄλλοι.
Τζέτζης Σολύμους λέγει δὲ τυγχάνειν τοὺς Ἑβραίους,
Οὓς Ὅμηρος καὶ λέοντι ὡς ἀναιδεῖς εἰκάζει.
Δευτέρῳ στόλῳ δὲ νικᾷ πάλιν τὰς Ἀμαζόνας,
Ἅσπερ ὡς κρημνοβάτιδας καὶ κατοικούσας ὄρη
Δευτέραν λέγει κεφαλὴν Ὅμηρος πεφυκέναι
Χιμαίρας οὖσαν καὶ αἰγός. καὶ κεφαλὴν τὴν τρίτην
Τὴν δράκοντος νῦν μάνθανε τὴν περὶ τὸ οὐραῖον,
Τὴν δολερὰν ἐπιβουλὴν κατὰ τοῦ νεανίου.
Ὡς Ἰοβάτης ἤλπιζε θανεῖν Βελλεροφόντην
Τῇ πρὸς Ἑβραίους μάχῃ τε, εἴτε πρὸς Ἀμαζόνας,
Οὐ μόνον δ' οὐχὶ τέθνηκεν, ἀλλὰ καὶ νίκην ἔσχεν,
Ἔνεδραν εἶσεν ἀνελεῖν τοῦτον ἀνδρῶν Λυκίων.
Ποιήσαντα καὶ τούτους δὲ τῶν μαδαροκεφάλων,
Εἰς Φιλονόην ἔσχηκε γαμβρὸν τὴν θυγατέρα.
Ἴσανδρον, Λαοδάμειαν, Ἱππόλοχον γεννᾷ δέ.
Ἄκουσον καὶ τὴν ὕψωσιν εἰς οὐρανὸν μεθ' ἵππου,
Καὶ πῶς ἀποσφαιρίζεται τῶν νώτων τοῦ Πηγάσου,
Τυφλὸς δ' εἰς τὸ Ἀλήϊον ἀλᾶται Κιλικίας,
Ἀλληγοροῦντός σοι σαφῶς πάντα λεπτῶς τοῦ Τζέτζου.
Ἤρθη ταῖς νίκαις ὁ ἀνήρ, αἰθέρια ἐφρόνει,
Ταῖς νίκαις ἃς εἰργάσατο τριήρεσι καὶ στόλῳ,
Καὶ νίκαις τούτου ταῖς λοιπαῖς, οἷα πολλοῖς συμβαίνει.
Οὕτω φρονοῦντος τοῦ ἀνδρὸς ταῖς νίκαις αἷς εἰρήκειν,
Φθόνῳ δαιμόνων πονηρῶν, Τελχίνων, Ἐριννύων,
Τύχη πικρὰ καὶ βάσκανος, τύχη τῶν ἀπανθρώπων,
Ἀντίῤῥοπος ἐστράτευσε τῶν πρὶν εὐκληρημάτων,
Καὶ κτείνει τούτου τὸν υἱὸν τῇ πρὸς Ἑβραίους μάχῃ,
Υἱὸν τούτου τὸν Ἴσανδρον. τὴν θυγατέρα πάλιν

---

864. Sic dedi pro εὐκλημάτων.

Ὀξείᾳ νόσῳ πρόωρον ἐθέρισε τοῦ βίου·
(Ὅπερ φησὶν ὁ ποιητὴς Ἀρτέμιδος τοξείαν·
Θανάτους λέγουσιν ὀξεῖς Ἡλίου καὶ Σελήνης.)
Οὕτως λοιπὸν δὲ στερηθεὶς τῶν ὀφθαλμῶν, τῶν παίδων
(Τέκνα δοκοῦσι κρείττω γὰρ φωτὸς τοῖς φυτοσπόροις)
Ἢ στερηθεὶς καὶ τοῦ νοὸς τῇ θλίψει τῇ τῶν τέκνων
(Νοῦς γὰρ κατὰ Ἐπίχαρμον ὁρᾷ τε καὶ ἀκούει)
Περί γε τὸ Ἀλήϊον τόποις τῆς Κιλικίας
Διέτριβε μονούμενος ἔν γε ταῖς ἐρημίαις,
„Ὃν θυμὸν κατέδων, πάτον ἀνθρώπων ἀλεείνων,“
Θλιβόμενος, ἐκτρέχων τε συνόδους τῶν ἀνθρώπων.
Ἅπας καὶ γὰρ λυπούμενος καὶ παραπλῆγες πάντες
Καὶ πάντες οἱ μαινόμενοι, ὡς Ἱπποκράτης γράφει,
Ἀπανθρωποῦνται καὶ μακρὰν διάγουσιν ἀνθρώπων,
Τὴν ξύμφυλον νομίζοντες ὄψιν τῶν ἀλλοτρίων.

ΠΕΡΙ ΤΟΥ, ΚΑΘ' ΙΠΠΟΚΡΑΤΗ ΑΠΑΝΘΡΩΠΟΥΜΕΝΟΣ. ρν'.

Προφθάσας ταύτην ἔγραψα τῆς νῦν γραφείσης τέλει·
Ἅπαντες οἱ λυπούμενοι καὶ παραπλῆγες πάντες
Καὶ πάντες οἱ μαινόμενοι, ὡς Ἱπποκράτης γράφει,
Ἀπανθρωποῦνται καὶ μακρὰν διάγουσιν ἀνθρώπων,
Τὴν ξύμφυλον νομίζοντες ὄψιν τῶν ἀλλοτρίων.

ΟΤΙ ΘΕΡΣΙΤΗΣ ΥΒΡΙΖΩΝ ΤΟΥΣ ΗΡΩΑΣ, ΕΓΡΑΦΗ ΤΟΙΣ ΕΠΕΣΙΝ. ρνά.

Θερσίτης ὁ παρ' Ἕλλησιν Ἀγρίου παῖς καὶ Δίας,
Γένους τυγχάνων εὐγενοῦς, πατρίδος Αἰτωλίας,
Ἀνεψιὸς ἐξάδελφος ὑπάρχων Μελεάγρου,
Καὶ τοῦ Τυδέως τοῦ πατρὸς αὐτοῦ τοῦ Διομήδους·
Ἦν δὲ φοξὸς καὶ παραβλώψ, χωλός, κυρτός, ψεδνόθριξ,

---

873. Vid. Friedemann. de media syllaba pentametri graeci. p. 332. not.

HIST. 151. 887. Iliad. II, 212. sqq. Apollod. I, 8. s. 6.

Ἐν τῷ πεσεῖν ἀφ᾽ ὑψηλοῦ καὶ κρημνισθῆναι λόφου,
Τῷ κυνηγίῳ διωχθεὶς χοίρῳ τῷ Καλυδῶνος·
Οὗτος ὑβρίζων ἥρωας τοῖς ἔπεσιν ἐγράφη.
Οὐ διὰ γένος γὰρ αὐτὸν οὐδὲ διὰ τὰς πράξεις
Ὁ Ὅμηρος ἀνέγραψε, δι᾽ ὕβρεις δὲ ἡρώων.
Οὕτως αἱ ὕβρεις γνώριμον ἐποίησαν τὸν ἄνδρα.

ΤΙ ΔΙΑΦΕΡΟΥΣΙ ΤΕΡΑΣ, ΣΗΜΕΙΟΝ, ΤΕΚΜΗΡΙΟΝ, ΣΥΜΒΟΛΟΝ, ΕΙΚΟΣ. ρνβʹ.

Διαφορὰς νῦν ἄκουε τέρατος καὶ σημείου,
Τοῦ τεκμηρίου τε αὐτοῦ, σύναμα καὶ συμβόλου,
Εἰκότος καὶ παραβολῆς καὶ παραδείγματος δέ.
Τέρας μοι γίνωσκε καλεῖν τὸ παρὰ φύσιν ἅπαν,
Ὡς εἴ τις ἑξαδάκτυλος, ἢ τρίπους, ἢ καὶ τρίχειρ,
Καὶ πᾶν ὁπόσον ἔκφυλον θεσμοῦ φυσικωτάτου.
Ὃ παρὰ τόπον δὲ φανῇ καὶ παρὰ χρόνον σύμπαν,
Σημεῖον κατονόμαζε· ὡς ῥόδον ἐν χειμῶνι,
Ὥς τι θηρίον ξενικόν, οἰκῆσαν παρὰ τόπον.
Τεκμήριον δὲ γίνωσκε καὶ κάλει μοι κυρίως
Τὸ ἀπὸ φανεροῦ τινός τι ἀφανὲς δεικνύον·
Ὡς βλέπων πόῤῥωθεν καπνὸν νοεῖς ἑστίαν εἶναι.
Τὸ δ᾽ ἀπὸ συμβουλῆς πραχθέν, καὶ μᾶλλον ἐν πολέμοις,
Οἷον ὅτ᾽ ἂν ὑψώσωμεν κυνῆν ἐν δορατίῳ,
Τοῖς πολεμίοις μίξατε, καὶ εἴ τι δὲ τοιοῦτον,
Σύμβολον ἅπαν κάλει μοι, λόγον τε τοῦ Ἰούδα·
Τὸν ὃν φιλήσω, λάβετε, αὐτός ἐστιν ἐκεῖνος.
Εἰκὸς δὲ πάλιν στοχασμὸς ἐκ λογισμῶν πρεπόντων·
Οἷον εἰ λέγεις, εἰ νυξὶ πορεύεται ὁ δεῖνα,
Ἢ κλεπτικὴν ἢ πορνικὴν μετέρχεται κακίαν.

HIST. 152.

904. Sic cd. A. pro ἢ φανῇ. Recte. Utitur sic saepissime coniunctivo Tzetzes pro futuro.

906. Margo cd. A. οὐ συνήθως pro παρὰ τόπον.

Παραβολῆς διαφορὰ καὶ παραδείγματος δέ·
Παραβολὴ ὁμοίωσις ἐκ τῶν συνεχεστέρων·
Οἷον, ὥσπερ ὁ ὄμβρος μὲν ξηρὰν ἀρδεύει χθόνα,
Οὕτω καὶ λόγος τὰς ψυχάς· ἢ ὡς χιὼν μὲν ψυχᾷ,
Οὕτω καὶ λύπη τὰς ψυχάς· καὶ πάντα τὰ τοιαῦτα.
Τὸ δὲ παράδειγμά ἐστι τῶν ἤδη γενομένων·
Ὅρα τὸν θεηγόρον μοι, βλέπε τὸν χρυσολόγον,
Ἀκούομεν τὸν Ὅμηρον, οἷος ὁ Δημοσθένης,
Καὶ πᾶν τὸ τοιουτότροπον, ὅθεν ἐκστῆναι δέον.

ΠΕΡΙ ΤΟΥ, ΕΙ ΚΑΙ ΤΩι ΓΕΝΕΙ ΠΟΛΥΠΡΟΦΕΡΕΣΤΕΡΟΣ. ρνγ΄.

Ὁ γὰρ Θερσίτης ἦν υἱὸς Ἀγρίου καὶ τῆς Δίας,
Αἰτωλικῶν ἀπόγονος ὑπάρχων βασιλέων.

ΠΕΡΙ ΤΟΥ, ΟΤΙ ΦΕΙΔΙΑΣ ΑΓΑΛΜΑΤΩΣΑΣ ΤΟ ΕΝ ΡΑΜΝΟΥΝΤΙ ΔΙΟΣ ΚΑΙ ΝΕΜΕΣΕΩΣ ΑΓΑΛΜΑ, ΑΓΟΡΑΚΡΙΤΟΥ ΠΑΡΙΟΥ ΤΟΥΤΟ ΕΠΕΓΡΑΨΕΝ. ρνδ΄.

Φειδίας ὁ περίθρυλλος ὁ Ἀττικὸς ὁ πλάστης,
Ὁ γεγονὼς καὶ μαθητὴς Γελάδου τοῦ Ἀργείου,
Ἀγορακρίτῳ χάριτας ποιῶν τῷ ἐρωμένῳ,
Ἀνθρώπῳ κἂν οὐκ εὔχαρι περὶ τὴν πλαστουργίαν,
Ἀγαλματώσας κάλλιστα Φειδιακῇ τῇ τέχνῃ
Τὸ ἐν Ῥαμνοῦντι ἄγαλμα Νεμέσεως Διός τε,
Ἐκείνῳ ἀνατίθησιν ἐπιγραφὴν χαράξας·
Ἀγορακρίτου ἄγαλμα τοῦτό ἐστι Παρίου.

---

921. Erat ψύχη pro ψυχᾷ.

HIST. 153.

928. Erat βασιλέως.

HIST. 154.

929. In inscriptione margo cd. A. exhibet τούτῳ pro τοῦτο.

930. Conf. Thiersch, über d. Epochen der bildenden Kunst unt. d. Griech. 2 Abth. Anm. 58. p. 46. sqq. De Rhamnusia Nemesi Paus. I, 33. — Plin. 36, 4. 3. — At artifex *Ageladas* vocatur. Vid. ad Chil. VIII, 325.

932. Lacisius vertit *homini manu non apto*. Legit igitur εὔχειρι pro εὔχαρι. Recte.

[illegible]

HIST. [illegible]

[illegible] Pars. III [illegible]

[illegible] Quod [illegible]

ν Κῷ βιβλιοφύλαξ δὲ δειχθεὶς ὁ Ἱπποκράτης,
ὰ παλαιὰ τῶν ἰατρῶν ἐνέπρησε βιβλία
αὶ τὸ βιβλοφυλάκιον. δι᾽ ὃ φυγὼν ἐκεῖθεν
ν Ἠδωνοῖς διέτριβεν, Ἑλλάδι, Θετταλίᾳ,
ῷ Ἀρταξέρξῃ σύγχρονος ὑπάρχων καὶ Περδίκκᾳ.

Υἱοὶ τοῦ Ἱπποκράτους δὲ ὁ Θεσσαλὸς καὶ Δράκων·
ῦς καὶ τὸν Πραξαγόραν δὲ τὸν Κῷον καὶ ἑτέρους
ατρικῶν ἐδίδαξεν. ἔγραψε δὲ βιβλία
Γρία τε καὶ πεντήκοντα. εἶτα καὶ τελευτᾷ δὲ
Ετῶν ὑπάρχων ἑκατὸν ὁμοῦ τε καὶ τεσσάρων.
ανὼν ἐτάφη μέσον δὲ Λαρίσσης καὶ Γυρτῶνος.

Ἑπτὰ τοὺς Ἱπποκράτεις δὲ γίνωσκε πεφυκέναι·
Τὸν Γνωσιδίκου πρῶτον μέν, Ἡρακλειδᾶ δεύτερον,
Τὸν Θετταλοῦ, τὸν Δράκοντος, δύο υἱοὺς Θυμβραίου,
Καὶ τὸν τοῦ Πραξιάνακτος ἕβδομον Ἱπποκράτην.
Ἑπτὰ οἱ Ἱπποκράτεις μέν. οὗτος δ᾽ ἐζωγραφεῖτο
Σκέπων αὐτοῦ τὴν κεφαλὴν αὐτοῦ τῷ ἱματίῳ.
Τέσσαρας τὰς αἰτίας δὲ τούτου φασὶν ὑπάρχειν.
Ἢ γὰρ ἀλγῶν τὴν κεφαλήν, ἢ ὡς τῶν ἀποδήμων,
Ἢ ὡς δεικνὺς τοῦ λογισμοῦ ὄργανον ταύτην εἶναι,
Ἢ πῶς ἐν χειρουργίαις δὲ χρὴ κεφαλὰς καλύπτειν.
Τοῦτο ἐποίει ὁ ἀνὴρ καὶ οὕτω ζωγραφεῖται.
Κακῶς τινὲς δὲ λέγουσιν ἐμπειρικὸν τὸν ἄνδρα.
Ἐξ Ἐφεσίου Σωρανοῦ τὰ Ἱπποκράτους ἔφην.
Ὃς Ἱπποκράτης ἰατρὸς Ἡρακλειδᾶ, ὁ Κῷος,
Ἤλεγχεν, ἐγνωμάτευε τῶν ἰατρῶν τὰ γένη
Ἐπ᾽ ἀλλοτρίαις ξυμφοραῖς ἰδίας τρυγᾶν λύπας.

---

965. Sic recte cd. A. pro βιβλιοφυλάκιον.

969. In marg. cd. A. ita: οἷς καὶ τῷ Πραξαγόρᾳ δὲ τῷ Κώῳ καὶ ἑτέροις.

970. Höger. malit ἰατρικὴν pro ἰατρικῶν. Versu 959. est τὰ ἰατρῶν.

979. Erat σκέπτων.

986. Huius vita Hippocratis exstat in Fabricii bibl. graec. Vol. XII. p. 675. ed. pr.

988. Pro vitiato ἔλεγγεν.

Ταυτὸ ποιεῖ καὶ Ξενοφῶν τῇ Κύρου ἀναβάσει·
Ἐπέγραψε καὶ οὗτος γὰρ τοῦ ἐρωμένου χάριν,
Κύρου μὲν ἡ ἀνάβασις ὑπάρχει τὸ βιβλίον, —
Θεμιστογένους δέ ἐστι τοῦτο Συρακουσίου·
Κἂν πάλιν ἐπεκράτησε καλεῖσθαι Ξενοφῶντος.
Καὶ Πλάτων ὁ φιλόσοφος εἰς ὄνομα τῶν φίλων
Τοὺς διαλόγους ἔγραψε, καὶ ἄλλοι δὲ μυρίοι.

ΠΕΡΙ ΤΟΥ, ΚΑΘ' ΙΠΠΟΚΡΑΤΗ, ΛΥΠΑΣ ΙΔΙΑΣ ΚΑΡΠΟΥΜΕΝΟΣ. ρνέ.

Οὗτος ὁ Κῷος ἰατρός, ὁ μέγας Ἱπποκράτης,
Πατρὸς μὲν ἦν Ἡρακλειδᾶ, μητρὸς δὲ Φαιναρέτης,
Τελῶν ἑπτακαιδέκατος Ἀσκληπιοῦ σπερμάτων.
Μετὰ γὰρ Τροίας ἅλωσιν ἐν τῇ περαίᾳ Ῥόδου
Ὁ Ποδαλείριος υἱὸς Ἀσκληπιοῦ ὑπάρχων
Ἱππόλοχον ἐγέννησεν, οὗ Σώστρατος ἐξέφυ,
Οὗ Δάρδανος, οὗ Κρίσαμις, οὗπερ Κλεομυττάδης,
Οὗπερ υἱὸς Θεόδωρος, τοῦ δὲ Σώστρατός ἄλλος,
Οὗπερ Σωστράτου Κρίσαμις ὁ δεύτερος ἐξέφυ·
Κρισάμιδος Θεόδωρος δεύτερος πάλιν ἔφυ.
Ἐκ Θεοδώρου τούτου δὲ ὁ Σώστρατος ὁ τρίτος,
Οὗ Νέβρος, οὗ Γνωσίδικος, ἐξ οὗπερ Ἱπποκράτης·
Τοῦ πρώτου Ἱπποκράτους δὲ υἱοῦ τοῦ Γνωσιδίκου
Παῖς ἦν Ἡρακλειδᾶς, οὗπερ καὶ Φαιναρέτης
Ὁ μέγας, ὁ καὶ δεύτερος, γέγονεν Ἱπποκράτης·
Ὃν ὁ πατὴρ Ἡρακλειδᾶς τὰ ἰατρῶν διδάσκει·
Ὁ ἐκ τῆς Σηλυβρίας τε Ἡρόδικος σὺν τούτῳ,
Γοργίας Λεοντῖνος δὲ τὴν τέχνην τῶν ῥητόρων,
Φιλοσοφίαν μετ' αὐτοὺς Δημόκριτος ἐκεῖνος.

---

937. Vid. Xenoph. in Hellen. lib. III. cap. I. §. 2. ibique Schneid. item huius epistolam ad Buttmann. praemissam edit. Anabas. p. IX. sq. Plut. de glor. Athen. §. 1. T. IX. p. 83. *Krügeri* dissert. de authentia Anabaseos. 1824.

HIST. 155.

947. Paus. III, 26. 7.

955. Cd. A. *Νέβρως*.

957. Högero videtur excidisse *οὗτος* ante *οὗπερ*. Quod probo.

Ἐν Κῷ βιβλιοφύλαξ δὲ δειχθεὶς ὁ Ἱπποκράτης,
Τὰ παλαιὰ τῶν ἰατρῶν ἐνέπρησε βιβλία
Καὶ τὸ βιβλοφυλάκιον. δι' ὃ φυγὼν ἐκεῖθεν
Ἐν Ἠδωνοῖς διέτριβεν, Ἑλλάδι, Θετταλίᾳ,
Τῷ Ἀρταξέρξῃ σύγχρονος ὑπάρχων καὶ Περδίκκᾳ.
Υἱοὶ τοῦ Ἱπποκράτους δὲ ὁ Θεσσαλὸς καὶ Δράκων·
Οὓς καὶ τὸν Πραξαγόραν δὲ τὸν Κῷον καὶ ἑτέρους
Ἰατρικῶν ἐδίδαξεν. ἔγραψε δὲ βιβλία
Τρία τε καὶ πεντήκοντα. εἶτα καὶ τελευτᾷ δὲ
Ἐτῶν ὑπάρχων ἑκατὸν ὁμοῦ τε καὶ τεσσάρων.
Θανὼν ἐτάφη μέσον δὲ Λαρίσσης καὶ Γυρτῶνος.
Ἑπτὰ τοὺς Ἱπποκράτεις δὲ γίνωσκε πεφυκέναι·
Τὸν Γνωσιδίκου πρῶτον μέν, Ἡρακλειδᾶ δεύτερον,
Τὸν Θετταλοῦ, τὸν Δράκοντος, δύο υἱοὺς Θυμβραίου,
Καὶ τὸν τοῦ Πραξιάνακτος ἕβδομον Ἱπποκράτην.
Ἑπτὰ οἱ Ἱπποκράτεις μέν. οὗτος δ' ἐζωγραφεῖτο
Σκέπων αὐτοῦ τὴν κεφαλὴν αὐτοῦ τῷ ἱματίῳ.
Τέσσαρας τὰς αἰτίας δὲ τούτου φασὶν ὑπάρχειν.
Ἢ γὰρ ἀλγῶν τὴν κεφαλήν, ἢ ὡς τῶν ἀποδήμων,
Ἢ ὡς δεικνὺς τοῦ λογισμοῦ ὄργανον ταύτην εἶναι,
Ἢ πῶς ἐν χειρουργίαις δὲ χρὴ κεφαλὰς καλύπτειν.
Τοῦτο ἐποίει ὁ ἀνὴρ καὶ οὕτω ζωγραφεῖται.
Κακῶς τινὲς δὲ λέγουσιν ἐμπειρικὸν τὸν ἄνδρα.
Ἐξ Ἐφεσίου Σωρανοῦ τὰ Ἱπποκράτους ἔφην.
Ὅς Ἱπποκράτης ἰατρὸς Ἡρακλειδᾶ, ὁ Κῷος,
Ἤλεγχεν, ἐγνωμάτευε τῶν ἰατρῶν τὰ γένη
Ἐπ' ἀλλοτρίαις ξυμφοραῖς ἰδίας τρυγᾶν λύπας.

---

965. Sic recte cd. A. pro *βιβλιοφυλάκιον.*

969. In marg. cd. A. ita: *οἷς καὶ τῷ Πραξαγόρᾳ δὲ τῷ Κώῳ καὶ ἑτέροις.*

970. Höger. malit *ἰατρικήν* pro *ἰατρικῶν.* Versu 959. est *τὰ ἰατρῶν.*

979. Erat *σκέπτων.*

986. Huius vita Hippocratis exstat in Fabricii bibl. graec. Vol. XII. p. 675. ed. pr.

988. Pro vitiato *ἔλεγγεν.*

[illegible] ΤΗΣ ΕΝ ΔΡΑΜΑΤΙ ΦΡΥΝΙΧΟΥ, [illegible] ΜΙΛΗΤΟΥ ΑΛΩΣΕΩΣ. ρνς'.

[illegible] τοῦ πατρὸς τοῦ Ξέρξου τοῦ [illegible]
[illegible] Μίλητον ἐπόρθησαν οἱ Πέρσαι,
[illegible] κατῴκισαν πόλει τῇ Ἐρυθραίᾳ,
[illegible] ἐπένθησαν αὐτοὺς Συβαριτῶν τὰ γένη,
[illegible] πένθος ἔθεντο Μιλήσιοι τοπρόσθεν,
[illegible] ἐκείραντο πανηβηδὸν οἱ πάντες,
[illegible] Σύβαρις αὐτὴ Κροτωνιάταις.
[illegible] Μιλήτου δὲ Φρύνιχος Ἀθηναῖος
[illegible] ἐδίδαξεν οἰκτρᾷ τῇ τραγῳδίᾳ,
[illegible] θρηνῆσαι θέατρον καὶ μελανηφορῆσαι.
[illegible] δ' ἐζημίωτο δραχμὰς τοῖς Ἀθηναίοις,
[illegible] καὶ μηδένα ἔγραψαν τῷ δράματι κεχρῆσθαι.
Ἡ ἅλωσις Μιλήτου δὲ πρὶν προεχρησμῳδήθη.
„Καὶ τότε δή, Μίλητε, κακῶν ἐπιμήχανε ἔργων,
„Πολλοῖσι δεῖπνόν τε καὶ ἀγλαὰ δῶρα γενήσῃ·
„Σαὶ δ' ἄλοχοι πολλοῖσι πόδας νίψουσι κομήταις·
„Ναοῦ δ' ἡμετέρου Διδύμοις ἄλλοισι μελήσει.“
[illegible]ξύλου παῖς Ἡρόδοτος γράφει τὴν ἱστορίαν.

ΠΕΡΙ ΤΟΥ ΘΕΛΓΕΙΝ ΠΑΝΤΑ ΟΡΦΕΑ. ρνζ'.

(Κεῖται δὲ ταῖς πρὶν ἱστορίαις δωδεκάτῃ.)

Ὀρφεὺς ἦν Θρᾷξ, ἐξ Ὀδρυσσῶν τῶν περὶ Βισαλτίαν,
Μενίππης τῆς Θαμύριδος υἱὸς καὶ τοῦ Οἰάγρου.

HIST. 156.

[illegible]. Herodot. VI, 20.

[illegible]. εἰς e marg. cd. A. pro [illegible]

[illegible]. Margo cd. A. ἐκήραντο. [illegible] Schweigh. ad Herodot. VI, [illegible] vitiose dicit legi in Tzetza [illegible]ταις. Unde id hauserit, [illegible].

7. In cd. A. ὁ ξύλου. Quum aliis item Chiliadum locis Tzetzes eundem errorem erraverit, nolui scribere ὁ Λύξου. Cf. Herodot. VI, c. 18 — 21. ibique Interpr. Aelian. Var. Hist. XIII, 17. ibique Interpr. Item G. Schneideri diss. de originibus tragoediae gr. c. VI. de Phrynicho.

Ἀλληγοροῦντες δέ φασι παῖδα τῆς Καλλιόπης.
Ταῖς πρὶν ἡ ἱστορία σοι κεῖται δυωδεκάτη.

ΠΕΡΙ ΤΟΥ ΚΑΛΛΙΕ ΜΕΝ ΜΕΝΕΛΑΟΣ, ΚΑΛΛΙΕ ΔΕ ΚΑΙ ΑΡΓΕΙΗ ΕΛΕΝΗ. ρνη.

Ἐν Ὀδυσσείᾳ Ὅμηρος τὸν Ὀδυσσέως παῖδα
Μετὰ παιδὸς τοῦ Νέστορος ἄγει τῷ Μενελάῳ,
Ἀνερωτᾶν ἐθέλοντας περὶ τοῦ Ὀδυσσέως.
Μνήμης τοῦ Ὀδυσσέως δὲ αὐτοῖς παρεμπεσούσης,
Ποιεῖ πάντας δακρύοντας, Μενέλαον, Ἑλένην,
Αὐτόν τε τὸν Τηλέμαχον καὶ Νέστορος τὸν παῖδα.

ΠΑΡΟΙΜΙΑ, ΣΚΑΦΑΣ ΑΠΑΙΤΗΣΕΙΑΣ, ΗΜΕΙΣ Δ' ΑΜΑΣ ΑΠΑΡΝΗΣΑΙΜΕΘΑ. ρνθ'.

Ἐν παροιμίαις Δίδυμος καὶ Ταῤῥαῖος γράφουσι,
Ἄμας ἀπῄτουν, οἱ δ' ἀπηρνοῦντο σκάφας.
Ἡ παροιμία προσφυής, ὑπάρχει δ' ἡ ῥηθεῖσα,
Ὅταν ζητῶν τις ἕτερον ἕτερόν τι λαμβάνῃ,
Ἢ δίδωσι ζητούμενος ἕτερον ἀνθ' ἑτέρου.

ΠΕΡΙ ΤΟΥ ΠΑΡΑΣΙΤΟΥ, ΥΣΤΕΡΙΣΑΝΤΟΣ ΤΟΥ ΔΕΙΠΝΟΥ. ρξ'.

Λίχνον τινὰ παράσιτον Λιβάνιός που γράφει,
Ὅτι κληθεὶς εἰς ἄριστον καὶ χρῄζων ταχὺ φθάσαι,
Ἵππον ζητήσας ἔλαβε τῶν ἁμιλλητηρίων.
Ὡς δ' εἰς ὁμοιοστάδιον τόπον βαδίζων ἦλθε
Καὶ στήλη τις ἐφίστατο σχήματι καμπτηρίας,

HIST. 158.
12. Odyss. IV, 184. sq.

HIST. 159.
18. De Didymo et Lucillo Tarrhaeo, ex quibus collecta sunt proverbia Zenobii, v. Fabricii bibl. gr. Vol. V. p. 107. Harl. — Extat hoc proverb. item apud Plutarch. de Garrul. §. 20. Tom. X. p. 123. ed. Hutt. et Zenob. I. 83. p. 23. quem citat Iacobs in libro: Socrates pag. 428. — In marg. cd. A. hic verborum ordo: γράφουσι Δισ. κ. Ταρ.

Δόξας ὁ ἵππος ἱππικὸν τὸν τόπον πεφυκέναι,
Μέχρις ἑσπέρας τὰς καμπὰς ἐποίει ῥύμῃ, δρόμους,
Καὶ ἄκων ὁ παράσιτος ἐφέρετο τῇ βίᾳ.
Περὶ ἑσπέρας μόλις ὁ νῆστις πεσὼν ἐλείφθη.

ΠΕΡΙ ΤΟΥ, ΑΔΙΚΟΥΣΙ ΜΕΝ ΠΟΛΛΟΙ, ΑΔΙΚΕΙΤΑΙ ΔΕ ΟΥΔΕ ΕΙΣ. ρξα'.

Τὸ ἀδικοῦσι μὲν πολλοί, οὐδεὶς δὲ ἀδικεῖται,
Ἐκ συγγραφῆς τοῦ Πλάτωνος προσάπτεται Σωκράτει.
Ἔστι δὲ Ἡσιόδειον καὶ παλαιὸν τὸ ῥῆμα.
Φησὶ γὰρ ὁ Ἡσίοδος ἐν ἔργοις καὶ ἡμέραις·
„Οἷ θ' αὐτῷ κακὰ τεύχει ἀνήρ, ὃς ἄλλῳ τεύχει.
„Ἡ δὲ κακὴ βουλὴ τῷ βουλεύσαντι κακίστη."
Ὁ νοῦς τοιοῦτος δέ ἐστιν ὧν ἔφημεν ῥημάτων·
Πολλοὶ ἐν βίῳ ἄδικοι, ἁρπάζοντες μυρία,
Ψυχὴ ἀδικουμένου δέ τινος οὐκ ἀδικεῖται.
Τὸ Ἡσιόδου δὲ ῥητὸν ἐν παραδόξῳ λόγῳ
Τὸν ἀδικούμενόν φησι μηδόλως ἀδικεῖσθαι·
Τὸν δ' ἀδικοῦντα μᾶλλον δὲ μεγάλως ἀδικεῖσθαι,
Ἄδικον δράσαντα ψυχὴν αὐτοῦ ταῖς ἀδικίαις.

ΠΕΡΙ ΤΗΣ ΤΟΥ ΣΩΤΗΡΟΣ ΕΚ ΠΕΝΤΕ ΑΡΤΩΝ ΤΩΝ ΟΧΛΩΝ ΔΙΑΤΡΟΦΗΣ. ρξβ'.

Τοῦτο πᾶσι κατάδηλον ἐκ τοῦ Εὐαγγελίου,
Ὡς ὁ ἐμὸς ἐξέθρεψε δεσπότης πέντε ἄρτοις
Ὄχλον τὸν τοσουτάριθμον, καὶ δώδεκα κοφίνους
Τούτων τῶν ἄρτων ἔδειξε πλήρεις ἀρτοκλασμάτων.

HIST. 161.
33. Vs. 263. sq. Erat εἶθ' αὐτῷ in edit. In cd. A. οἷ θ'. Conf. ad locum Hesiodi interpretes.

ΠΕΡΙ ΤΟΥ, ΗΜΟΣ ΚΟΚΚΥΞ ΚΟΚΚΥΖΗι. ρξγ'.

Κόκκυξ ἐστί τι ὄρνεον ἱέρακι ὅμοιον·
Λήγοντος τοῦ χειμῶνος δὲ κατάρχεται κοκκύζειν.
Ἀνθρώπους πάντας τέρπει δέ· τὸ ἔαρ γὰρ μηνύει.

Η ΠΕΡΙ ΤΩΝ ΕΒΔΟΜΑΔΩΝ ΤΟΥ ΔΑΝΙΗΛ. ρξδ'.

Περὶ ἐνανθρωπήσεως προλέγων τοῦ σωτῆρος
Ὁ Δανιὴλ προφητικῶς προανεφώνει λέγων,
Ἑβδομηκονθεβδόμαδον χρόνον συντελέσθῆναι
Ἐπὶ λαὸν Ἑβραϊκόν, καὶ παύσει ἡ θυσία·
Ἤτοι φανέντος τοῦ Χριστοῦ μετ' ἐκδρομὴν ἐτῶν δὲ
Τετρακοσίων τε ὁμοῦ καὶ ἐννενηκοντάδος,
Αἱ νομικαὶ μὲν παύσουσι θυσίαι τῶν Ἑβραίων,
Ἀνθήσει δὲ τὸ κήρυγμα τῆς νέας διαθήκης.

ΠΕΡΙ ΤΟΥ, ΨΕΥΔΕΑ ΠΟΛΛΑ ΛΕΓΕΙΝ ΕΤΥΜΟΙΣΙΝ ΟΜΟΙΑ. ρξέ.

Ἐν Ὀδυσσείᾳ Ὀδυσσεὺς τοῖς ἔπεσιν Ὁμήρου
Ὡς πένης ἐρωτώμενος περὶ τῆς Πηνελόπης
Ὁποῖος ἦν ὁ Ὀδυσσεύς, εἴπερ κατεῖδε τοῦτον,
Ἔφη πολλὰ μὲν ἕτερα καὶ σὺν αὐτοῖς καὶ τοῦτο·
Ἴσκε, ψεύδεα πολλὰ λέγων ἐτύμοισιν ὁμοῖα.

HIST. 164.

In inscriptione omisi verba *περὶ σιγῆς Πυθαγόρου. ἐῤῥήθη δέ. ἔστω δὲ ρξδ'.* quae et in edit. Bas. et in cd. A. praemittuntur ei inscriptioni, quae huic historiae convenit. De silentio Pythagorae locutus est Tzetzes Chil. VII. hist. 116.

53. Dan. IX, 24. sqq.

HIST. 165.

64. Odyss. XIX, 203. Plut. de glor. Athen. §. 4. tom. IX. p. 89. Hutt. ubi item *λέγων* ut in Tzetza. Margo cd. A. *ἤισκε* pro *ἴσκε.*

ΠΕΡΙ ΤΟΥ ΤΕΤΤΙΓΩΝ ΛΑΛΙΣΤΕΡΟΣ ΚΑΙ ΤΗΣ ΤΕΤΤΙΓΩΝ ΜΥΘΙΚΗΣ ΙΣΤΟΡΙΑΣ.

ρξϛ'.

Ὁ τέττιξ μεθυσκόμενος ἡλιακαῖς ἀκτῖσι
Γίνεται λάλος, ᾠδικός· κἂν τις κατάσχῃ τοῦτον,
Μᾶλλόν ἐστι λαλίστερος· ὅθεν ἡ παροιμία
Τέττιγα λέγει τῶν πτερῶν δόξεις κατεσχηκέναι.
Οὕτως ὁ τέττιξ ᾠδικὸς ἀκτῖσι ταῖς ἡλίου·
Ἂν δ' ἔλθῃ ψῦχος, σιωπᾷ καὶ λήγει τῶν ᾀσμάτων.
Ἄφωνος πᾶσα δ' εἰςαεὶ θήλεια τῶν τεττίγων,
Εἰς γυναικῶν σωφρονισμόν, κἂν περ οὐ πείθῃ ταύτας.
Ὅθεν καὶ Ὅμηρος εἰδὼς τὸ τῶν τεττίγων λάλον,
Τοῖς τέττιξι παρείκασε τοὺς Τρώων δημηγόρους,
Δημηγορίαις χέοντας λόγων συχνὰς νιφάδας.
Ὡς δέ φασιν οἱ βούκρανοι πλάττοντες ἱστορίας,
Ὡς Ὅμηρος τοῖς τέττιξι παρείκασε τοὺς ἄνδρας,
Ἀνθ' ὧν ὁ τούτων συγγενὴς ὁ Τιθωνὸς γηράσας
Ἐκ τῆς Ἡμέρας τέττιγος εἰς φύσιν μετημείφθη,
Λῆρος τυγχάνει μυθικός, ὃν ἀλληγορητέον.
Τὸν Τιθωνὸν ἐρώμενον Ἡμέρας οὕτω νόει·
Τῷ εἶναι μακροχρόνιον καὶ τάχα δὴ φιλεῖσθαι
Ταῖς τῆς ζωῆς ἡμέραις τε καὶ τῷ μακρῷ δὲ χρόνῳ.
Ἐπεὶ δ' ὑπερεγήρασε καὶ δίκην βρεφυλλίων
Ἐν λίκνῳ συνεστρέφετο χάριν τοῦ καθευδῆσαι,
Πάλιν νεάσαι θέλοντες τοῦτον ὡς βρέφος λέγειν,
Ἐπεὶ καὶ τέττιγες αὐτοὶ νεάζουσιν ὡς ὄφεις·

HIST. 166.

65. Vid. Erasmi Adag. p. 276. Ast ad Platon. Phaedr. c. 5. p. 233. ad vers. germ. p. 230. sqq.

69. In cd. A. ψύχος, ut solet in huius nominis accentu peccari. Vid. Reisig. synt. crit. c. III. p. 20.

72. πείθῃ pro πείθει cd. A. Neque hoc in Tzetza falsum.

73. Iliad. III, 151.

81. Vid. Schol. Lycophr. 18.

84. Cd. A. ὑπερεγήρασε pro ὑπερεγήρασκε. Recte.

85. Ibidem recte συνεστρέφετο pro συνετρέφετο.

87. Pronomen αὐτοὶ e cd. A. accessit.

Λαλῶν γὰρ τέττιξ ῥήγνυται, ἄλλος δ' ἐκτρέχει νέος·
Ἔφασαν ὡς γηράσαντα τὸν Τιθωνὸν Ἡμέρα
Εἰς τέττιγα μετέβαλεν· ἤγουν μακρῷ τῷ χρόνῳ
Ὁ Τιθωνὸς ἐξ ὑπαρχῆς πάλιν ἀνενεώθη.

ΠΕΡΙ ΑΦΩΝΙΑΣ ΣΕΡΙΦΙΩΝ ΒΑΤΡΑΧΩΝ. ρξζ'.

Πᾶς μὲν χερσαῖος βάτραχός ἐστιν ἐκ τῶν ἀφώνων·
Οἱ δ' ἔνυδροι, οὓς Ἄρατος γερύνους ὀνομάζει
Καὶ καναχούς, φωνητικοὶ πλὴν Σεριφείων μόνων.
Ἐκεῖ γὰρ καὶ οἱ ἔνυδροι τελοῦσι τῶν ἀφώνων,
Ὅτι τὸ ὕδωρ τὸ ἐκεῖ τελεῖ τῶν ὑπερψύχρων.

ΠΕΡΙ ΤΟΥ, ΑΡΜΟΝΙΔΗΣ ΓΑΡ ΠΟΛΛΩι ΠΛΕΟΝ ΣΥ, ΡΗΤΟΡ, ΗΠΕΡ Ο ΡΗΤΩΡ ΕΚΕΙΝΟΣ Ο ΦΕΡΕΚΛΟΣ. ρξη'.

Τὸν Φέρεκλον ὁ Ὅμηρος ὡς τέκτονα τὴν τέχνην
Καὶ πλοῖα συναρμόττοντα καὶ θρόνους καὶ πᾶν ἄλλο
Ὡς δῆθεν πατρωνύμιον εἴρηκεν Ἁρμονίδην.
Ἐπεὶ δὲ καὶ οἱ ῥήτορες ἁρμόττουσι τοὺς λόγους,
Τὸν ῥήτορα ὡς Ὅμηρος εἰρήκειν Ἁρμονίδην.

ΠΕΡΙ ΠΑΡΩιΔΙΩΝ ΚΑΙ ΚΟΛΛΗΣΕΩΝ. ρξθ'.

Ἐν τῷ περὶ μεθόδου σοι δεινότητος διδάσκει
Ὁ Ἑρμογένης κόλλησιν ὁμοῦ καὶ παρῳδίαν,
Λέγων ὡς καὶ ἀμφότερα γλυκαίνουσι τοὺς λόγους.

HIST. 167.

In inscriptione margo cd. A. etiam formam *σεριφείων* exhibet, ut vs. 93.

92. Vid. Erasmi Adag. p. 675.

93. Immo Nicander, Ther. 620. Alex. 576. (563.)

94. Etiam hic in cd. A. utraque forma est coniuncta, *σερι ϊ φείων*.

HIST. 168.

97. Cf. Iliad. V, 59. sq. Schol. Lycophr. 93. 97. — In inscriptione dedi *ῥῆτορ* pro *ῥήτωρ*.

HIST. 169.

102. Cf. Ernesti lexic. technol. graec. rhet. s. *παρῳδία* et *κόλλησις*. Chil. IX. hist. 269.

Μάθε δὲ τί ἡ κόλλησις καὶ τί ἡ παρῳδία.
Ἂν ἀλλαχόθεν λάβῃς τι καὶ μίξῃς τοῖς σοῖς λόγοις,
Εἴτε πεζὸν ἢ μετρικόν, κόλλησιν κάλει τοῦτο.
Οἷον εἰς διαφθείραντα παρθένον λέγω οὕτω·
Ζητεῖτε, ἄνδρες δικασταί, τί οὗτος ἐδεδράκει;
„Παρθένον ἐξήρπαξεν, ἀναινομένην τ' ἐδάμασσε.“
Τοῦτο μὲν ἔστι κόλλησις, οὐ μὴν καὶ παρῳδία.
Ὀππιανοῦ γὰρ εἴρηκα μὴ παρατρέψας στίχον.

Εἰ θεὶς δὲ στίχον ἢ πεζὸν ἑτέρου τινὸς λόγον,
Καὶ μετατρέψω τι ῥητόν, κόλλησις μὲν καὶ τότε,
Ἀλλὰ καὶ παρῳδία δέ, καθότι μετετράπη·
Οἷον ἐφ' ἧσπερ εἴπομεν καὶ πρότερον ἐννοίας,
„Παρθένον μονάζουσαν, ἀναινομένην ἐδάμασσε.“
Καὶ τὸ εἰς Ὁμηρόκεντρα ῥηθὲν εὐφυεστάτως,
„Σκαιῇ Παῦλον ἔχεν· ἑτέρηφι δ' ἐλάζετο Πέτρον.“
Ἔγνως τί ἐστι κόλλησις καὶ τί ἡ παρῳδία.

Παραγραμματισμὸς δ' ἐστὶν ἔγγιστα παρῳδίας,
Κἂν Ἑρμογένης οὐδαμῶς εἶπε καὶ περὶ τούτου,
Οἶμαι δοκήσας καὶ αὐτὸ τυγχάνειν παρῳδίαν.
Ὅλης τροπὴν δὲ λέξεως νόει τὴν παρῳδίαν,
Ἑνὸς δὲ μόνου γράμματος τὰς παραγραμματίσεις·
Οἷον, ἐάνπερ εἴπωμεν ἀντὶ τοῦ κόραξ, κόλαξ,
Ἀντὶ τοῦ ῥῶ τὸ λάμβδα γὰρ ἠλλάξαμεν καὶ μόνον.

Ἔγνως μοι, τί ἡ κόλλησις καὶ τί ἡ παρῳδία,
Καὶ τί σὺν τούτοις πέφυκε παραγραμματισμὸς δέ.
Ἐγὼ δὲ ῥήτορί φημι, πῶς παρῳδήσει ξένα
Καὶ συγκολλήσει τοῖς αὑτοῦ, καὶ δόξουσιν οἰκεῖα.

---

108. Cd. A. in marg. γράφω.
112. Oppian. de Pisc. I, 390.
119. Codex fere, ut editio, ἑτέρηφι δὲ πέ|λάζετο τρον (sic).

ΠΕΡΙ ΤΟΥ, ΤΩΝ ΟΦΕΩΔΗΚΤΩΝ ΕΤΕΡΟΠΟΣΙΜΟΥ ΙΑΤΟΣ. ρό.

Τὶς ὑπὸ ὄφεως δηχθεὶς, ὕδωρ σιγῶν εἰ πίοι
Λαβὴν μαχαίρας μέλαιναν τῷ ὕδατι ἐμβάψας,
Πρὶν ἢ τὸν ὄφιν ὕδατος γεύσασθαι τὸν δακόντα,
Τηρεῖται ἀβλαβέστατος τῆς τοῦ φαρμάκου λύμης.
Κἂν ἄλλος τις ἀγγείλειε πρός τινα λέγων τάδε,
Ὁ δεῖνα ὑπὸ ὄφεως δηχθεὶς μακρόθι κεῖται
Κἀνταῦθα οὐκ ἐξίσχυσεν ἐκεῖνος ἀφικέσθαι,
Ποτίζεται ὁ ἄγγελος τὸ εἰρημένον ὕδωρ,
Καὶ ὁ νοσῶν τὴν ἴασιν λαμβάνει καὶ μακρόθεν.

ΠΕΡΙ ΤΥΦΩΝΟΣ. ροά.

Τυφών ἐστὶ καὶ δαίμων τις τῶν ἑκατογκεφάλων,
Ὅνπερ φασὶ καὶ τῷ Διῒ πώποτε πολεμῆσαι.
Νῦν δὲ σφοδρός τις ἄνεμος, πυρώδης τὴν οὐσίαν,
Ἐξανασπῶν αὐτόπρεμνα δένδρα καὶ καταράττων.

ΠΕΡΙ ΤΟΥ, ΔΗΝ ΔΕ ΜΕ ΑΦΑΣΙΑ ΕΚ ΤΩΝ ΕΠΕΩΝ ΕΛΑΒΕ. ροβ.

Ἐν Ἰλιάδι Ὅμηρος, θανόντος τοῦ Πατρόκλου,
Παράγει τὸν Ἀντίλοχον ἠγνοηκότα τοῦτο.
Τοῦ Μενελάου δὲ αὐτῷ τὴν συμφορὰν εἰπόντος,
Δὴν ἀφασίη ἔλαβεν ἐκ τῶν ἐπῶν τὸν ἄνδρα,
Οἱ ὀφθαλμοὶ δ' ἐπλήσθησαν ἐκείνου τῶν δακρύων.

HIST. 170.
In titulo scripsi *ἰατὸς* pro depravato *ἰάπτος*. Sensus est: *serpentis morsu laesus sanatur altero bibente*. Possit etiam *ἰατοῦ* legi, ut *ἑτεροπόσιμον ἰατὸν* sit sanatio effecta per alterius potum.

133. Margo cd. A. λαβοίν.

HIST. 171.
141. Schol. ad Lycophr. 1195.
144. καταράττων recte cd. A. pro καταράπτων.

HIST. 172.
145. Iliad. XVII, 695.

ΠΕΡΙ ΤΗΣ ΚΡΑΣΣΟΥ ΤΟΥ ΡΩΜΑΙΟΥ ΟΙΚΤΙΡΜΟΣΥΝΗΣ. ρογʹ.

Ὁ Κράσσος ὁ Ῥωμαῖος ἦν τὸν τρόπον φιλοικτίρμων.
Ἔχων ἰχθὺν γὰρ μύραιναν ἔν τινι βιβαρίῳ,
Ζῶσαν ἐκόσμησεν αὐτὴν στρεπτῷ τῶν διαλίθων.
Ἡ μύραινα κατήκοος ἦν τῆς φωνῆς τῆς τούτου.
Θανοῦσαν δ' ἔθαψεν αὐτὴν θρηνήσας οὐ μετρίως.
Τοῦ Δομετίου δὲ αὐτὸν τωθάζοντος τῷ κλαίειν
Καὶ λέγοντος, ὦ μάταιε, τὴν μύραιναν δακρύεις;
Ἐγὼ μὲν, ὦ Δομέτιε, εἶπεν, ἰχθὺν δακρύω,
Ἰχθὺν δακρύω μύραιναν, ἀπροσφυές μοι ζῶον,
Σὺ δὲ οὐκ ἔκλαυσας ποσῶς τρεῖς σὰς γυναῖκας θάψας.

ΛΕΞΙΣ ΙΣΤΟΡΙΩΔΗΣ, ΤΙΝΑ ΤΑ ΚΕΝΕΒΡΙΑ. ροδʹ.

Κενέβρια κυρίως μὲν τὰ νεκρωθέντα ζῶα,
Καὶ πρὸς βορὰν ἀχρήσιμα, μηδὲ λυσιτελοῦντα,
Ἀπὸ τοῦ εἶναι πρὸς βορὰν κενὰ καὶ τῶν ματαίων·
Νῦν δέ γε τὰ σφαττόμενα καὶ χρήσιμα πρὸς βρῶσιν
Ἐκάλεσα κενέβρια, καταχρηστικωτέρως.

ΠΕΡΙ ΤΟΥ, ἈΛΛΑ ΤΙ ΚΑΙ ῬΕΞΑΙΜΕΝ; ΘΕΟΣ ΔΙΑ ΠΑΝΤΑ ΤΕΛΕΥΤΑι. ροεʹ.

Ἀφῃρημένης Ἀχιλλεῖ τῆς Βρισηΐδος κόρης,
Ἥπερ καὶ Ἱπποδάμεια τὴν κλῆσιν ἐκαλεῖτο,
Ὁ ἥρως οὗτος Ἀχιλλεὺς τῆς μάχης ἀπεπαύθη·
Ἑλλήνων ἡττωμένων δὲ Τρωσὶ καὶ κτεινομένων,
Τὸν ὁπλισμὸν ὁ Πάτροκλος λαβὼν τὸν Ἀχιλλέως,

HIST. 173.

150. Cf. Plutarch. de solert. anim. 23. Tom. XIII. p. 180. ed. Hutt. Reip. ger. praec. T. XII. p. 167. De cap. ex host. util. T. VII. p. 276. — Cd. A. *Κράσσου* et *Κράσος*.

151. Conf. Scholia ad Nicandri Ther. 825. et Dufresn. Gloss. s. v. *βιβάριον*.

153. *Τῆς* ante *τούτου* est e cd. A.

Ἐξῆλθεν ὡς πρὸς πόλεμον. καὶ κτείνας οὐκ ὀλίγους,
Τέλος ὑπὸ τοῦ Ἕκτορος καὶ οὗτος ἀναιρεῖται·
Ὁ Ἀχιλλεὺς δ' εἰσέπειτα συμβὰς καὶ Ἀγαμέμνων
Πολλὰ καταιτιῶνται μὲν σφᾶς ἑαυτοὺς τῆς ἔχθρας,
Εἶτα καὶ τοῦτο δέ φησί τις ἀπ' αὐτῶν τῶν δύο·
„Ἀλλὰ τί καὶ ῥέξαιμεν; θεὸς διὰ πάντα τελευτᾷ.
„Πρέσβα Διὸς θυγάτηρ Ἄτη, ἣ πάντας ἀᾶται.“

ΠΕΡΙ ΤΟΥ, ΑΙΨΗΡΟΣ ΓΑΡ ΠΕΛΕΤΑΙ ΚΟΡΟΣ ΚΡΥΕΡΟΙΟ ΓΟΟΙΟ. ροϛʹ.

Ταχὺν τὸν κόρον Ὅμηρος εἶναί φησι τοῦ θρήνου·
Τίνα δὲ φέρει λέγοντα καὶ ποίᾳ δὲ τῶν βίβλων,
Εἴτ' οὖν ἐν Ἰλιάδι γε, εἴτε τῇ Ὀδυσσείᾳ,
Οὐκ ἔχω λέγειν ἀκριβῶς· τέως Ὁμήρου τοῦτο.
Ὁ Τζέτζης κἂν ἀβίβλης γάρ, κἂν γράφῃ καὶ σχεδίως,
Ἅπερ ὁρᾶτε σύμπαντα, καὶ τάχει ταχυτέρῳ,
Εἴπερ ὁρῶν μετέγραφεν ἔκ τινων ταῦτα βίβλων,
Ἀλλ' ὅμως ἀτρεκέστατα πᾶσαν γραφὴν συντάττει.
Βαρὺς δὲ πᾶσι γίνεται τοῖς ψευδοσυγγραφοῦσιν.
Ἂν δ' ἀπιστῇ τῷ τάχει τις καὶ τοῖς αὐτοσχεδίοις,
Καὶ τὸ βιβλίων ἄνευθε γράφεσθαι τάδε πάντα,
Εὐθυδρομείτω πρὸς ἡμᾶς κἀξ ἔργων μανθανέτω,
Καὶ μὴ γινέσθω ἄπειρος, γνοὺς ἀκριβῶς τῇ πείρᾳ.
Θάνατος ἄντικρύς ἐστι τῷ Τζέτζῃ μεταστρέφειν·
Σπανίοις τοῦτο δὲ ποιεῖ, βαρέως δυσχεραίνων.

HIST. 175.

174. Iliad. XIX, 90. sq.

HIST. 176.

177. Cf. Odyss. IV. 103.

178. ποίᾳ pro ποίαν recte cd. A.

181. Scripsi καὶ pro corrupto κάρ, etiam Högero monente.

190. Quod in edit. Bas. legitur μεταστράφειν, e cd. A. opinor, assumtum, videtur mutandum in μεταγράφειν.

ΠΕΡΙ ΘΑΝΑΤΟΥ, ΟΙΟΝ Ο ΣΟΛΩΝ ΑΓΑΜΕΝΟΣ ΕΙΔΕΤΕ. ροζ΄.

Ἔχεις τῷ πρώτῳ πίνακι πρώτην τὴν ἱστορίαν,
Ὅπως ὁ Κροῖσος ὁ Λυδὸς πρὸς Σόλωνα εἰρήκει,
Εἴπερ εὐδαιμονέστερον οἶδεν ἐκείνου βίῳ,
Καὶ πῶς οὐκ ἐμακάρισε τοῦτον οὐδόλως Σόλων,
Τὸν Τέλλον δὲ καὶ Κλέοβιν καὶ Βίτωνα σὺν τούτοις,
Οἵτινες τέρματι χρηστῷ κατέλυσαν τὸν βίον.

ΠΕΡΙ ΚΟΡΥΖΩΣΗΣ ΚΥΨΕΛΗΣ. ροη΄.

Κόρυζα, μύξα, βλέννα τε, λέμφος, ὑγρὰ μυξώδη,
Κύψελος καὶ κυψέλη δὲ ὁ ῥύπος τῶν ὠτίων.
Καὶ τὰ ἀγγεῖα λέγονται τῶν μελισσῶν κυψέλαι.
Καὶ Κύψελα δὲ πόλις περ ἀπό τινος Κυψέλου,
Ἢ τοῦ κυψέλας μελισσῶν εἶναι πολλὰς ἐκεῖσε.
Καὶ Κύψελος ὁ Κύψελος οὕτω πως ἐπεκλήθη·
Παῖς ὢν τοῦ Ἠετίωνος, οἶμαι δὲ καὶ τῆς Λάμβδας,
Ἡ μήτηρ τοῦτον τέθεικε κρύψασα ταῖς κυψέλαις,
Μὴ οἱ Βακχίδαι κτείνωσιν. ἐζήτουν γὰρ ἐκεῖνον.
Κυψέλη δὲ κοχλρειδὲς ἀγγεῖόν τι ὑπῆρχεν.

ΠΕΡΙ ΤΟΥ, ΤΟΥΤΟ ΝΥ ΚΑΙ ΓΕΡΑΣ ΟΙΖΥΡΟΙΣΙ ΒΡΟΤΟΙΣΙ, ΚΕΙΡΑΣΘΑΙ ΤΕ ΚΟΜΗΝ. ΚΑΙ ΠΕΡΙ ΤΟΥ, ΑΝΔΡΟΣ ΔΕ ΨΥΧΗΝ ΠΑΛΙΝ ΕΛΘΕΙΝ, ΟΥΤΕ, κ. τ. λ. ροθ΄.

Ὅμηρος τὸν Πεισίστρατον φέρει τὸν Νεστορίδην
Λέγοντα πρὸς Μενέλαον δακρύοντα τῷ δείπνῳ,

HIST. 177.

194. οἶδεν margo cd. A. pro εἶδεν.

HIST. 178.

198. Cd. A. βλαῖννα.

201. De Cypselo vid. Herodot. V, 92. Paus. II, 4. V, 17. De urbe Cellar. Not. geogr. ant. I. p. 1328.

207. κοχλοειδὲς cd. A. recte, pro κολχοειδές.

HIST. 179.

208. Odyss. IV, 194. sqq.

Ἐν τῷ μνησθῆναι πρὸς αὐτοὺς τῶν Ὀδυσσέως τρόπων·
Τιμὴ μέν, ὦ Μενέλαε, τοῖς τεθνηκόσι δάκρυ,
Καὶ κάρσεις ἅμα δὲ κομῶν· ἐμοὶ δ' οὐκ ἀρεστέον,
Δακρυῤῥοεῖν ἐσθίοντα, παῦε τῶν ὀδυρμάτων.
Ταῦτα μὲν Ὅμηρός φησιν ἐν Ὀδυσσείας βίβλῳ.
Πάλιν τῇ Ἰλιάδος δὲ ἰῶτα ῥαψῳδίᾳ
Ὁ Ἀχιλλεὺς ἀποσοβῶν τοὺς πρέσβεις ταδὶ λέγει·
Ὡς οὐ πεισθείην οὐδαμῶς τῷ Ἀγαμέμνονί γε,
Οὐδ' ἂν ὑπὲρ τὴν ἄμμον τε καὶ κόνιν δῶρα δοίη.
Πάντα γὰρ καὶ ληΐζονται, πάντα καὶ ἐπικτῶνται,
„Ἀνδρὸς δὲ ψυχὴ πάλιν ἐλθεῖν, οὔτε λεϊστή,
„Οὔθ' ἑλετή, ἐπεὶ ἄρ κεν ἀμείψεται ἕρκος ὀδόντων.

ΠΕΡΙ ΤΟΥ, ΑΝΔΡΟΣ Δ' ΕΠΕΙΔΑΝ ΑΙΜ' ΑΝΑΣΠΑΣΗι ΚΟΝΙΣ, ΑΠΑΞ ΘΑΝΟΝΤΟΣ, ΟΥΚ ΕΤ' ΕΣΤ' ΑΝΑΣΤΑΣΙΣ. ρπ'.

Αἰσχύλος, ὡς ὁ Ὅμηρος, θνητόψυχος ὑπάρχων,
Ἀναθυμίασιν αὐτὴν δοξάζει τῶν αἱμάτων,
Ὡς ἐν ὑστέροις χρόνοις δὲ καὶ Μάρκος αὐτοκράτωρ·
Θνητὴν νομίζων τὴν ψυχὴν καθ' Ὅμηρον Αἰσχύλος
Καὶ τοῦ Ὁμήρου τὰ ῥητὰ ἰάμβοις μεταφράζει.
Ἅπερ φησὶ γὰρ Ὅμηρος, ὡς ἀνωτέρω ἔφην,
„Ἀνδρὸς δὲ ψυχὴ πάλιν ἐλθεῖν, οὔτε λεϊστή,
„Οὔθ' ἑλετή, ἐπεὶ ἄρ κεν ἀμείψεται ἕρκος ὀδόντων.
Αὐτὸς ἰάμβοις γεγραφὼς Αἰσχύλος φησὶν οὕτως·
„Ἀνδρὸς δ' ἐπειδὰν αἷμ' ἀνασπάσῃ κόνις,
„Ἅπαξ θανόντος, οὐκ' ἔτ' ἔστ' ἀνάστασις.

---

215. Iliad. IX, 408. sq.
216. Cd. A. πρέσβις.

HIST. 180.

222. Θνητόψυχος est, qui putat animum esse mortalem. Ad αὐτὴν vs. 223. intellige ψυχὴν e versu praecedente.

231. Similis est sententia Euripid. Suppl. 777. sqq. Matth. Mosch. III, 109. sqq.

ΠΕΡΙ ΣΩΚΡΑΤΟΥΣ ΛΕΓΟΝΤΟΣ, ΧΩΡΑΝ ΠΟΛΛΩι ΤΗΣ ΕΝΘΑΔΕ ΛΗΨΟΜΑΙ ΚΡΕΙΤΤΟΝΑ. ρπά.

Σωκράτης ὁ φιλόσοφος κώνειον μέλλων πίνειν,
Ὡς Ἀθηναίοις ἄθεος δόξας, καὶ καθειρχθεὶς δὲ
Καὶ παρακελευόμενος καὶ κώνειον ὠνεῖσθαι,
(Ὢ συμφορῶν ὑπερβολῆς!) ἵνα πιὼν ἐκπνεύσῃ,
Κώνειον τὸν δημόσιον λεγόντων μὴ κεκτῆσθαι,
Ἐπεί τινες παρέβαλον πρὸς τὴν εἱρκτὴν ἐκείνῳ,
Οἱ μὲν ὡς πρὸς παράκλησιν, ἕτεροι δὲ πενθοῦντες,
Ἐκεῖνος γενναιότατα φιλοσοφῶν ὑπῆρχεν,
Καὶ τῆς ζωῆς τὸν θάνατον κατὰ πολὺ προὐτίθει,
Λέγων ἐκεῖσε κρείττονα τόπον εὑρεῖν τῶν τῇδε.
Καὶ γὰρ καὶ παρὰ Ἕλλησι καὶ τοῖς ἀσεβεστάτοις
Εἶναι δικαιωτήρια ἐδόκει τοῖς ἐκεῖσε,
Καὶ τῶν ἐνθάδε ἀμοιβαὶ χρηστῶν ὁμοῦ καὶ φαύλων.

ΠΕΡΙ ΩΝ ΤΟ ΦΑΣΜΑ ΠΑΤΡΟΚΛΟΥ ΠΡΟΣ ΑΧΙΛΛΕΑ ΦΗΣΙΝ, ΟΥ ΜΕΝ ΜΕΤ ΖΩΝΤΟΣ ΑΚΗΔΕΙΣ, ΑΛΛΑ ΘΑΝΟΝΤΟΣ. ρπβ΄.

Τῇ Ἰλιάδι Ὅμηρος φάσμα Πατρόκλου φέρει,
Διὰ τὸ ἔτι ἄθαπτον σκηναῖς ἐκεῖνον κεῖσθαι,
Θάπτειν ὡς προτρεπόμενον αὐτὸν τὸν Ἀχιλλέα,
Λέγον τὴν ἔννοιαν αὐτήν, ἣν Ὅμηρος ἐγγράφει
Ἡρωϊκοῖς τοῖς ἔπεσιν οὕτως αὐτὰ προφέρων·

HIST. 181.

235. Confundit Tzetzes mortem Socratis cum Phocionis. Hic enim iussus est emere *τὸ κώνειον*, quod defecerat, ut narrat Plutarch. in vita Phoc. c. 36. Tum, *τὸν δημόσιον* (apud Aelian. V. H. XII, 49. vocatur *ὁ δήμιος*) vocant scriptores graeci *τὸν ὑπηρέτην τῶν ἕνδεκα*, ut est apud Platon. Phaed. c. 65. De dicto Socratis *ἐκεῖσε κρείττονα κ. τ. λ.* cf. Plat. l. c. cap. 62. fin. *Höger.*

HIST. 182.

246. Iliad. XXIII, 70. sq.
249. *ἔννοιαν* pro *εὔνοιαν* cd. A.

„Οὐ μέν μευ ζώοντος ἀκήδεις, ἀλλὰ θανόντος·
„Θάπτε με ὅττι τάχιστα, πύλας Ἀΐδαο περήσω.
„Τῆλέ με εἴργουσι ψυχαί, εἴδωλα καμόντων.“

ΠΕΡΙ ΙΛΙΣΣΟΥ ΠΟΤΑΜΟΥ. ρπγ'.

Ὁ Ἰλισσὸς ὁ ποταμὸς τῆς Ἀττικῆς ὑπάρχει,
Ἐξ οὗ Βορέαν λέγουσιν Ὠρείθυιαν ἁρπάξαι.
Οὕτω μὲν ποταμός ἐστιν ὁ Ἰλισσός, ὡς ἔφην·
Νῦν δ' Ἰλισσὸν ὠνόμασα στόμα τινὸς τῶν φίλων.

ΠΕΡΙ ΤΟΥ ΔΩΔΕΚΑΚΡΟΥΝΟΥ ΣΤΟΜΑΤΟΣ. ρπδ'.

Ἡ Καλλιῤῥόη τις κρηνὶς τυγχάνει ταῖς Ἀθήναις,
Ἥπερ καὶ Ἐννεάκρουνος τὸ πρώην ἐκαλεῖτο·
Ἐγὼ δὲ δωδεκάκρουνον οὕτως εἰρήκειν στόμα,
Καθὼς τοῖς πάλαι πρὸ ἡμῶν παρῳχηκοσι χρόνοις
Περὶ αὐτοῦ που γέγραφεν ὁ κωμικὸς Κρατῖνος·
„Ἄναξ Ἄπολλον, τῶν ἐπῶν τῶν ῥευμάτων
„Καναχῶσι πηγαί, δωδεκάκρουνον στόμα,
„Ἰλισσὸς ἐν φάρυγγι. τί ἂν εἴποιμι;

ΠΕΡΙ ΤΗΣ ΑΤΤΙΚΗΣ ΚΑΛΛΙΡΡΟΗΣ. ρπέ.

Εἰς στόμα δωδεκάκρουνον, καὶ τίς ἡ Καλλιῤῥόη,
Προφθάσας σοι κατέλεξα, ταχυγραφῶν, ὡς οἶδας·
Καὶ μήδ' εἰδὼς ἂν κάτωθεν κεῖται τὰ Καλλιῤῥόης,
Ἔχεις λοιπόν μοι καὶ αὐτὴν ἤδη προσγεγραμμένην.

HIST. 183.

255. „Accuratius dixisset, ἐφ' ᾧ. Conf. Paus. Attic. cap. 19. §. 6.“ *Höger.*

HIST. 184.

258. Conf. de hoc fonte Cellar. Notit. Orb. Ant. T. I. p. 934. sq. (Ed. Imae pag. 1154.) Paus. I, 14. ibique Siebel. Thucyd. II, 15. ibique Interpr. Aristoph. Eq. 530. ibi Bergl.

259. Margo cd. A. τῷ πρώην

264. *Κανσχῶσι* pro *κατασχῶσι* cd. A.

ΤΙ ΤΟ ΛΑΡΙΝΟΝ. ρπϛ'.

Ἅπαν τὸ μέγα λαρινὸν οὕτω καλεῖσθαι νόει·
Ἀπὸ νομέως Λαρινοῦ τὴν κλῆσιν καλουμένου,
Ὃς ἦν καὶ μεγιστόσωμος, ἅμα καὶ πολυφάγος·
Καὶ βόες μέγιστοί τινες οἱ λαρινοὶ ἐκ τούτου.
Οὕτω τὸ μέγα λαρινὸν ἢ ἐκ τοῦ μήκους τοῦδε,
Ἢ ἐξαρκοῦν καὶ μέγιστον, ὡς Λαρινὸν κορέσαι.
Ἐγὼ καὶ ἀπὸ βρώσεως τοῦτο τῶν λάρων λέγω,
Ἤτοι, μέγα δυνάμενον καὶ στόμα πλῆσαι λάρου.
Ὁ λάρος ὄρνις γὰρ ἰχθῦς ῥοφᾷ τῶν ὁλοκλήρων.

ΠΕΡΙ ΤΟΥ, ΩΣ Ο ΠΥΘΑΓΟΡΑΣ ΕΛΕΓΧΩΝ ΜΕ ΑΦΩΝΟΝ. ρπζ'.

Ὁ Πυθαγόρας σφράγισμα φιλοσοφίας τέλους
Σιγὴν πεντενιαύσιον ἐδίδασκε τοῖς μύσταις.
Οὗτος ἐρωτηθείς ποτε, πόσος ἀνθρώπου βίος;
Δεικνὺς τὸ βραχυχρόνιον, σμικρὸν φανεὶς ἐκρύβη.
Κἀγὼ τῷ φίλῳ ἔγραψα γράμμα μὴ πεπομφότι·
Ἰχθῦς ταρίχους δ' Ἰστριεῖς, ὡς ἔοικεν, ὦ λῷστε,
Ὡς Πυθαγόρας, ἤλεγξας ὄντας ἡμᾶς ἀφώνους.

ΠΕΡΙ ΤΗΣ ΜΕΤΑΝΑΣΤΑΣΕΩΣ ΗΛΙΟΥ ΠΕΡΙ ΤΟΝ ΝΟΤΙΟΝ ΠΟΛΟΝ ΚΑΙ ΤΟΝ ΑΙΓΟΚΕΡΩΝ. ρπη'.

Πέντε τοῦ οὐρανοῦ φασὶ τοὺς πόλους πεφυκέναι,
Τὸν ἀρκτικὸν καὶ βόρειον, ὃς καὶ ἀειφανὴς δέ,
Ἀνταρκτικόν, τὸν νότιον, τὸν καὶ συγκεκρυμμένον,
Ζωδιακὸν καὶ σὺν αὐτῷ τοὺς τροπικοὺς τοὺς δύο,

HIST. 186.

273. Margo cd. A. τούτου, contextus τόπου.

278. Aristoph. Av. 465. ibi Int. et Schol. Odyss. V, 51.

HIST. 187.

280. Conf. etiam Plutarch. de curios. 9. T. X. p. 139. Hutt.

Τὸν θερινὸν τὸν τροπικὸν καὶ τὸν χειμερινὸν δέ.
Ἄλλοι δὲ πόλους οὔ φασι, κύκλους καλοῦσι ταῦτα,
Καὶ ἕνδεκα τοὺς κύκλους δὲ λέγουσι πεφυκέναι·
Τοὺς πέντε, οὕσπερ εἴπομεν, καὶ τὸν ὁρίζοντα δέ,
Τὸν γαλαξίαν σὺν αὐτοῖς καὶ ἐπὶ πᾶσι τούτοις
Μεσημβρινόν, ἰσήμερον καὶ δύο τῶν κολούρων.
Ἄλλοι δὲ ἄλλως λέγουσι τοῦ γένους τῶν πανσόφων.
Τέως εἰς πόλον νότιον ὁδεύοντος ἡλίου,
Καὶ περὶ τὸν αἰγόκερων τὸν δρόμον ποιουμένου,
Καιρός ἐστι χειμέριος. καὶ τοὐναντίον πάλιν,
Ὁδεύοντος τὸν βόρειον καὶ περὶ τὸν καρκῖνον,
Καιρός ἐστιν ὁ θερινός. ἀλλ' ἤδη μοι παυστέον.

ΠΕΡΙ ΤΡΙΒΩΝΟΣ, ΠΕΡΙΤΙΑΡΑΣ ΚΑΙ ΠΕΡΙΒΟΛΑΙΩΝ ΤΩΝ ΟΧΛΩΔΩΝ. ρπθ'.

Τρίβων μὲν πρὶν φιλόσοφον ἱμάτιον ὑπῆρχεν·
Ἐγὼ δὲ τὸ ἱμάτιον τὸ μέλαν καταχρήσει
Τριβώνιον ἐκάλεσα, τὸ τῶν ἱερωμένων.
Τιάρα, σκέπη κεφαλῆς ὑπῆρχε παρὰ Πέρσαις.
Ὕστερον ἐν ταῖς νίκαις δὲ ἡμῖν οἱ στεφηφόροι
Σφαῖς κεφαλαῖς ἐπέθεντο τιάρας, ἤτοι τύφας,
Οἵαν ὁ ἔφιππος φορεῖ ὁ ἀνδριὰς ἐκεῖνος
Ὁ Ἰουστινιάνειος τοῦ κίονος ἐπάνω.
Ἔφην καὶ τὴν τιάραν σοι. ἡ δὲ περιτιάρα,
Τῆς κεφαλῆς τὸ φόρημα τῶν πολιτῶν κυρίως.
Ὀχλώδη περιβόλαια λέγω δὲ πάλιν πάντα
Τὰ κοσμικὰ ἱμάτια, λευκὰ καὶ βεβαμμένα.

HIST. 188.

299. τοὐναντίον pro τουναντίον cd. A.

HIST. 189.

307. Dufresne s. v. τοῦφα (tufa, apex cassidis ex indicorum boum caudis) legi vult in Tzetza τούφας.

ΤΟΥ, ΤΟΙΣ ΠΟΛΛΟΙΣΙ ΒΡΟΤΩΝ ΑΠΙΣΤΟΣ ΕΣΘ' ΕΤΑΙΡΕΙΑΣ ΛΙΜΗΝ. ρϟ'.

Εὐριπίδης πολλαχοῦ γεραίρων τὴν φιλίαν,
Τὴν δ' ἀφιλίαν ἔμπαλιν φαυλίζων οὐ μετρίως,
Ὀρέστῃ καὶ Φοινίσσαις δὲ καὶ δράμασιν ἑτέροις,
„ Πολλοῖς ἀνθρώπων ἄπιστος, λέγει, θεσμὸς φιλίας·
„ Καὶ εὐτυχεῖν καλόν ἐστιν, ἄφιλοι δυστυχοῦντες.

Ἱστορίαι δέκα, ἀπὸ ρϟά, μέχρι διακοσιοστῆς.

ΠΕΡΙ ΠΟΛΥΚΛΕΙΤΟΥ. ρϟά.

Πολύκλειτος Ἀργεῖος ἦν πλάστης τε καὶ ζωγράφος,
Πολλὰ καὶ ζωγραφήσας τε καὶ ἀνδριαντουργήσας.
Δύο δὲ πάντων τῶν αὐτοῦ ἔργων ὑπερτεροῦντα,
Ζωγραφητὴν εἰκόνα τέ φημι καὶ ἀνδριάντα·
Ὧν τὴν εἰκόνα ἔθεντο κανόνα ζωγραφίας,
Τὸν ἀνδριάντα πάλιν δὲ τῆς ἀνδριαντουργίας.

ΠΕΡΙ ΦΕΙΔΙΟΥ. ρϟβ'.

Γελάδου τοῦ Ἀργείου μὲν ἦν μαθητὴς Φειδίας,
Τοῦ ἐν Μελίτῃ Ἀττικῆς πλάσαντος Ἡρακλέα.
Ὅστις Φειδίας πεφυκὼς ἐξ Ἀθηναίων γένους
Καὶ ἀνδριάντας χαλκουργῶν καὶ γλύφων δὲ καὶ ξέων.
Μακρόν ἐστι νῦν λέγειν μοι τὰς τούτου χειρουργίας,
Ἐλεφαντίνην Ἀθηνᾶν τὴν ἐν Ἀθήναις οὖσαν,
Δία χρυσοῦν σφυρήλατον πάλιν ἐν Ὀλυμπίᾳ,

HIST. 190.

316. Eurip. Orest. 711. Pors. Phoeniss. 414.

HIST. 191.

319. Plin. XXXIV, 19. 2. Quint. XII, 10. 8.

HIST. 192.

325. Siebenkees, Handbuch der Archaeologie, I. Abth. p. 223. p. 235. Nomen Ageladae et hic et Chil. VII. hist. 154 v. 931. Höger restituit, quum scribit Ἀγελάδου τἀργείου. In Tzetza tales, opinor, errores sunt relinquendi.

326. Conf. Meursius de popul. Atticis s. Μελίτη.

331. Paus. I, 24. 25. V, 11. X, 34. V, 10. sqq. Quint. XII, 10. 9. Polyb. XXX, 15. Liv. XLV, 28.

Καὶ τὴν χαλκῆν τὴν Ἀθηνᾶν, τὴν Ἥραν τε ὁμοίως,
Αὐτόν τε τὸν ἀνθήλιον Ἀπόλλωνα ἐκεῖνον,
Καὶ ἐκφοροῦντα Ἡρακλῆν τὴν κόπρον τὴν Αὐγείου,
Καὶ ἕτερα μυρία δὲ τῆς τούτου χειρουργίας·
Ὥνπερ τὰ μὲν ἀπώλετο, τὰ δὲ κατεχωνεύθη,
Ἄλλα δὲ παρανάλωμα γεγόνασι τοῦ χρόνου.
Τινὰ δ' εἰσὶ καὶ ἵστανται τῷ ἱππικῷ καὶ φόρῳ,
Ἡ κεφαλὴ δ' Ἀπόλλωνος αὐτῷ τῷ παλατίῳ.

ΠΕΡΙ ΑΛΚΑΜΕΝΟΥΣ. ρϙγ'.

Ὁ Ἀλκαμένης χαλκουργὸς ἦν γένει νησιώτης,
Καὶ τῷ Φειδίᾳ σύγχρονος καὶ τούτῳ ἀντερίσας,
Δι' ὃν καὶ ἐκινδύνευσε μικροῦ θανεῖν Φειδίας.
Ὁ Ἀλκαμένης εὐειδεῖς ἔπλαττεν ἀνδριάντας,
Ἄτεχνος ὢν καὶ ὀπτικῆς καὶ τῆς γεωμετρίας,
Θαμίζων δὲ ταῖς ἀγοραῖς καὶ διατρίβων ταύταις,
Καὶ θειαστὰς καὶ φιλητὰς καὶ θιασώτας εἶχεν.
Ὁ δὲ Φειδίας ὀπτικὸς τελῶν καὶ γεωμέτρης,
Ἀρίστως ἀκριβώσας τε τὴν ἀνδριαντουργίαν
Καὶ πάντα πράττων πρόσφορα τόποις, καιροῖς, προσώποις,
Φροντίζων κοσμιότητος πλέον δὲ τῶν ἄλλων,
Κατὰ τὸν Τζέτζην καὶ αὐτὸς τὰς ἀγορὰς ἐμίσει,
Καὶ φιλητὴν καὶ θειαστὴν εἶχε τὴν τέχνην μόνην.
Ἐπεὶ δ' ἐδέησέ ποτε δήμῳ τῷ Ἀθηναίων
Δύο τινὰ ἀγάλματα τῇ Ἀθηνᾷ ποιῆσαι,
Ἐπὶ κιόνων ὑψηλῶν μέλλοντα σχεῖν τὴν βάσιν,
Ἄμφω ἐδημιούργησαν τῷ δήμῳ κελευσθέντες.
Τῶν οὖν ὁ Ἀλκαμένης μὲν τύπῳ θεᾶς παρθένου
Λεπτὸν ὁμοῦ εἰργάζετο καὶ γυναικεῖον τοῦτο.

HIST. 193.

340. Alcamenes fuit Atheniensis. Vid. Siebenk. I. pag. 240. Critias autem Νησιώτης, de quo vid. Thiersch. Epoch. d. bild. Kunst p. 33. sqq.

342. Erat ἐκινδύνησε.

350. Monet Höger, ante πλέον excidisse τε. Idem ostendit nota in codice deleta.

352. φιλητὴν cd. A. recte, pro corrupto φιλιτήν.

358. Erat τοῦτον.

Ὁ δὲ Φειδίας ὀπτικὸς τελῶν καὶ γεωμέτρης,
Καὶ συνιεὶς σμικρότατα φαίνεσθαι τὰ ἐν ὕψει,
Ἐποίησε τὸ ἄγαλμα ἀνεῳγὸς τὰ χείλη,
Τοὺς μυξωτῆράς τε αὐτοῦ ἔχον ἀνεσπασμένους,
Καὶ τἄλλα πρὸς ἀνάλογον ὕψους τοῦ τῶν κιόνων.
Ἔδοξε κρεῖττον τοῦ λοιποῦ τὸ Ἀλκαμένους εἶναι.
Φειδίας ἐκινδύνευε βληθῆναι δὲ τοῖς λίθοις.
Ὡς δ' ἤρθη τὰ ἀγάλματα καὶ κίοσιν ἐστάθη,
Τὸ μὲν Φειδίου ἔδειξε τὸ εὐγενὲς τῆς τέχνης,
Καὶ πᾶσι διὰ στόματος λοιπὸν ἦν ὁ Φειδίας·
Τὸ Ἀλκαμένους γελαστὸν καὶ γέλως Ἀλκαμένης.

ΠΕΡΙ ΜΥΡΩΝΟΣ. ρϟδʹ.

Μύρων ὑπῆρχε χαλκουργός, οὗπερ πολλὰ μὲν ἔργα,
Ἓν δὲ τὸ περιθρύλλητον μέχρι τοῦ νῦν τοῦ χρόνου,
Ἡ πρὶν περὶ ἀκρόπολιν τῶν Ἀθηνῶν ἑστῶσα
Βοῦς δάμαλις χαλκῆ καὶ τοὺς μαστοὺς σπαργῶσα.
Ἦν λόγος ζῶν μυκώμενος ἦλθε θηλᾶσαι μόσχος.

ΠΕΡΙ ΠΡΑΞΙΤΕΛΟΥΣ. ρϟεʹ.

Ὁ Πραξιτέλης, λιθουργῶν ὑπῆρχεν ἀνδριάντας,
Οὗπερ πολλὰ μὲν ἕτερα, ἓν δὲ τῶν διωνύμων,
Τὸ ἐν τῇ Κνίδῳ ἄγαλμα, γυμνὴ ἡ Ἀφροδίτη,
Λίθῳ λευκῷ βασιλικῷ, τῷ καὶ Πεντελησίῳ,
Ἥσπερ πολλοὶ καὶ ἐμμανῶς ἠράσθησαν ἀνθρώπων,
Καὶ Μακαρεὺς Περίνθιος, ὃς ἐμμανεῖ τῷ πόθῳ
Πιπρᾶν ἐθέλων τὸν ναὸν τῷ μὴ τοῦ πάθους λήγειν,
Καθ' ὕπνους ἤκουσεν αὐτῆς λεγούσης τὰ Ὁμήρου.
„Οὐ νέμεσις, Τρῶας καὶ ἐϋκνήμιδας Ἀχαιοὺς

HIST. 194.

370. Vid. Epigr. in Myron. Anthol. T. II. p. 248. Tauchn. Plin. XXXIV, 19. 3. Siebenk. I. p. 242.

373. Videtur nihil excidisse, versus autem e genere dactylico esse.

HIST. 195.

375. Cf. Siebenkees, l. c. p. 245. Plin. XXXIV, 19. 10.

„Τοιῇδ' ἀμφὶ γυναικὶ πολὺν χρόνον ἄλγεα πάσχειν.
Ἰσχάδα τὴν Κνιδίαν δὲ πόρνην ἐκ ταύτης ἔσχε.
Τοῦτο δὲ πρὸς τὴν Τέρτυλλαν ὁ Πτολεμαῖος γράφει,
Εἴ που τὸν Ἡφαιστίωνα γινώσκεις Πτολεμαῖον.

ΠΕΡΙ ΖΕΥΞΙΔΟΣ. ρϙϛ'.

Ὁ Ζεῦξις ἦν ζωγράφος μέν, δοκῶ καὶ ἐξ Ἐφέσου,
Τούτου δὲ εἰκονίσματα καθέστηκε μυρία,
Αὐτός τε ὁ Μενέλαος ἐν τόποις τοῖς Ἐφέσου,
Σπένδων χοὰς τῷ ἀδελφῷ, δάκρυσι βεβρεγμένος.

ΠΕΡΙ ΑΠΕΛΛΟΥ. ρϙζ'.

Ζωγράφος ἦν καὶ Ἀπελλῆς, Ἐφέσιος τῷ γένει,
Σύγχρονος Πτολεμαίῳ δέ. οὗ ἐατέον τἄλλα.
Ὅπως ὑπ' Ἀντιφίλου δὲ ζωγράφου διεβλήθη
Καὶ πῶς αὐτὴν διαβολὴν ἔγραψεν ἐν εἰκόνι,
Εἰκόνι πάμπαν τεχνικῇ, πολλοί φασι μὲν ἄλλοι,
Λουκιανὸς ὁ ῥήτωρ τε τοῦτο πλατέως γράφει.

ΠΕΡΙ ΠΑΡΡΑΣΙΟΥ. ρϙη'.

Καὶ οὗτος ὁ Παῤῥάσιος ζωγράφος ἐξ Ἐφέσου,
Πολλὰς καὶ ἄλλας γράψας μὲν ἐντέχνως ζωγραφίας,
Αὐτόν τε τὸν Μεγάβυζον ἐν τόποις τοῖς Ἐφέσου,
Ὅνπερ ἰδὼν Ἀλέξανδρος ὁ μέγας ὁ Φιλίππου,
Καὶ Ζεύξιδος Μενέλαον ὃν ἔφην χοηφόρον,
Τιμάνθους Παλαμήδη τε κτεινόμενον εἰκόνι,
„Σύῤῥ' ἐχύθη ψυχήν, πουλὺς δέ μιν ἔσχ' ὀρυμαγδός.

---

386. Cf. Fabric. bibl. gr. Vol. VI. p. 377. sq. Harl.

HIST. 196.

388. Cf. Siebenkees, l. c. p. 445.
390. Margo cd. A. cum editione Basileensi *ἐν ναοῖς τισ ἐν Ἐφέσῳ*. Pronomen videtur corruptum ex *τοῖς*.

HIST. 197.

392. Siebenk. l. c. p. 448.
397. Lucian. Cal. non tem. cred. §. 2 — 5.

HIST. 198.

398. Plin. XXXV, 36. 5. Siebenkees, l. c. p. 447.

Αἰσχρίων ὥνπερ ἔγραψεν ἐν ταῖς Ἐφημερίσιν.
Ὁ δὲ Αἰσχρίων οὗτος ἦν γένει Μιτυληναῖος,
Καὶ ἔπη καὶ ἰάμβους δὲ σὺν ἄλλοις πόσοις γράψας.

ΠΕΡΙ ΣΤΑΣΙΚΡΑΤΟΥΣ. ρϙθ'.

Ὁ Στασικράτης χαλκουργὸς ἦν, Βιθυνὸς τῷ γένει·
Τοῖς χρόνοις Ἀλεξάνδρου δὲ ὑπῆρχε τοῦ μεγάλου.
Ὠφρυωμένα δ' ἔπλαττε καὶ τύφου πεπλησμένα.
Ἀλλ' οὐχὶ πρὸς ἐξείκασμα μορφῆς τῶν πλαττομένων.
Καὶ Ἀλεξάνδρῳ ἔλεγε, πλάσσω σε ἀνδριάντι,
Κινοῦντα γῆν καὶ θάλασσαν, ὥσπερ τὸ πρὶν ὁ Ξέρξης.
Ὁ δὲ τοιοῦτον οὐδαμῶς ἤθελεν ἀνδριάντα,
Ἀλλὰ μορφῆς τῆς ἑαυτοῦ ἐμφέρειαν τυποῦντα.

ΠΕΡΙ ΛΥΣΙΠΠΟΥ. σ'.

Καὶ οὗτος πλάττων τὰ χαλκᾶ ὁ Λύσιππος ὑπῆρχεν.
Ἦν ἐκ τῆς Σικυῶνος δὲ τῆς ἔγγιστα Κορίνθου,
Τῷ τοῦ Φιλίππου σύγχρονος υἱῷ τῷ Ἀλεξάνδρῳ,
Πανεμφερῆ ἀγάλματα ποιῶν τοῖς πρωτοτύποις.
Ἐπέχαιρε δ' Ἀλέξανδρος ταῖς τούτου πλαστουργίαις.
Καὶ γὰρ καὶ παρατράχηλον ἐποίησεν ἐκεῖνον,
Δοκοῦντα βλέπειν οὐρανὸν καὶ πᾶν ἠκριβωμένως,
Ὁποῖος ἦν Ἀλέξανδρος ὁ Μακεδὼν ἐκεῖνος,
Ὥστε δοκεῖν τοὺς βλέποντας Ἀλέξανδρον, οὐ στήλην.
Ἧι στήλῃ τις ἐπέγραψεν ἐπιγραμματοφόρος·
„Αὐδάσοντι δ' ἔοικεν ὁ χάλκεος, ἐς Δία λεύσσων,
„Γᾶν ὑπ' ἐμὲ τίθεμαι, Ζεῦ, σὺ δ' Ὄλυμπον ἔχε.

---

405. Vid. Mülleri indic. scriptor. in Schol. Lycophr. s. v. *Αἰσχρίων*.

HIST. 199.

Margo cd. A. in inscriptione *Πασικράτους*. Perperam. De *Stasicrate* cf. Grundrifs d. Archaeolog. v. Ch. D. *Beck* p. 90. et Vitruvii praef. 2.

HIST. 200.

416. Plutarch. de Alexandr. fort. or. I. §. 9. T. IX. p. 42. et ibid. or. II. §. 2. pag. 53. Plin. XXXIV, 17. 19. Plutarch. Alex. c. IV.

421. Plut. de Iside et Osir. §. 24. Tom. IX. p. 134. Hutt.

425. Immo *ἐπιγραμματογράφος*.

Οὗτος ὁ Σικυώνιος ὁ Λύσιππος ὁ πλάστης,
Καὶ Ἀλεξάνδρου πώποτε χρόνον παραδραμόντος,
Καὶ ἀθυμοῦντος δὲ δεινῶς τῇ παροιχήσει τούτου,
Πανσόφως ἠγαλμάτωσε τοῦ χρόνου τὴν εἰκόνα,
Πάντας ἐντεῦθεν νουθετῶν, χρόνον μὴ παρατρέχειν,
Κωφὸν, ὀπισθοφάλακρον, πτερόπουν ἐπὶ σφαίρας,
Πρὸς τὸ κατόπιν μάχαιράν τινι διδόντα πλάσας.

ΠΕΡΙ ΤΟΥ, ΤΑΣ ΣΑΣ ΒΑΤΡΑΧΙΔΑΣ ΦΥΣΙΓΝΑΘΟΥΣΑΣ. σά.

Ἀριστοφάνης ἔγραψε δράματι τοὺς βατράχους,
Ἐν ᾧπερ τὰ καθάρματα γελᾷ, τοὺς μωροσόφους,
Συγκρινομένους παλαιοῖς ἀνδράσιν αὐτοσόφοις,
Τῷ ἔχειν παῖδας φιλητὰς, κράκτας, ἀκαιροβόας,
Ἐκείνους μεγαλύνοντας οὐ λογισμῷ καὶ κρίσει,
Ἀλλ' ἀλογίστοις ταῖς φωναῖς τρόπῳ βατράχων λίμνης.
Οὕτω κἀγὼ τοὺς φιλητὰς νῦν ἔφην βατραχίδας.

ΠΕΡΙ ΑΥΤΟΛΥΚΕΙΩΝ ΚΛΟΠΩΝ. σβ'.

Ἑρμοῦ παῖς ὁ Αὐτόλυκος, πατὴρ δὲ τοῦ Λαέρτου,
Πάππος τοῦ Ὀδυσσέως δὲ, πένης δ' ὑπάρχων ἄγαν,
Ἐκ τοῦ Ἑρμοῦ χαρίζεται τὴν κλεπτικὴν τὴν τέχνην,
Ὡς ὑπὲρ τὸν Αἰγύπτιον κλέπτην ἐκεῖνον κλέπτειν,
Καί γε τὸν Βαβυλώνιον, Ἡρόδοτος οὓς γράφει,
Ὑπέρ τε τὸν Εὐρύβατον, ὃν Ἕλληνες θρυλλοῦσιν,
Αὐτὸν τὸν Ἀγαμήδην τε μετὰ τοῦ Τροφωνίου
Ὑπερυδραργυρίζειν τε καὶ πάντα νικᾶν κλέπτην.

HIST. 202.

442. Autolycus pater Anticleae, Laertae coniugis, matris Ulyssis. Vid. Heyn. obss. ad Apollod. p. 74. et ab Heyn. citata Schol. Odyss. 19, 432. Schol. Lycophr. 344. Item Pherecyd. fragm. ed. Sturz. num. 18.

446. De Aegyptio illo fure cf. Herodot. II, 121. et de Babylonio eundem lib. II, 150. Pro οὓς in margine cd. est ὡς.

447. Odyss. 19, 244. sqq. Εὐρυβάτην.

449. In cd. A. et edit. Bas. divisim ὑπὲρ ὑδραργυρίζειν. Male.

Κλέπτων καὶ γὰρ μετήμειβεν ἄλλα διδοὺς ἀντ' ἄλλων.
Ἐδόκουν δ' οἱ λαμβάνοντες τὰ σφῶν λαμβάνειν πάλιν,
Οὐκ ἠπατῆσθαι τούτῳ δὲ καὶ ἕτερα λαμβάνειν.
Ἵππον γὰρ κλέπτων ἄριστον, ὄνον τῶν ψωριώντων
Διδοὺς ἐποίει δόκησιν ἐκεῖνον δεδωκέναι·
Καὶ κόρην νύμφην νεαρὰν κλέπτων, ἐδίδου πάλιν
Ἢ Σειληνὸν ἢ Σάτυρον, γερόντιον σαπρόν τι,
Σιμόν, νωδόν, καὶ φαλακρόν, μυξῶδες, τῶν δυσμόρφων,
Καὶ ὁ πατὴρ ἐνόμιζε τοῦτον ὡς θυγατέρα.
Ἐν Αὐτολύκῳ δράματι σατυρικῷ τὰ πάντα
Ὁ Εὐριπίδης ἀκριβῶς τὰ περὶ τούτου γράφει.

ΚΑΤΑ ΚΩΜΩιΔΟΝ, ΕΜΑΤΤΟΝ ΔΑΚΝΩΝ ΟΜΩΣ ΕΓ'ΕΛΩΝ. σγ'

Ἀριστοφάνης ἔπλασε τῷ δράματι βατράχων,
Ὡς τοὺς ἀμούσους ποιητὰς Διόνυσος μὴ φέρων
Εἰς Ἅιδου μέλλει κατελθεῖν, ὡς ποιητὴν ἀνάξῃ,
Ἄνδρα τινὰ τῶν παλαιῶν, τῶν τεχνικῶς γραφόντων,
Μηδ' ὡς τὰ νῦν καθάρματα γράφοντα φλυαρίας.
Μέλλων δ' εἰς Ἅιδου κατελθεῖν στολίζεται πρεπόντως,
Ἵνα πολλοῖς ὡς Ἡρακλῆς δοκήσῃ τῶν ἐν Ἅιδου.
Καὶ λεοντῆν ἐνδύεται καὶ ῥόπαλον λαμβάνει·
Ταῦτα τοῦ Ἡρακλέος μὲν ὑπῆρχε τὰ σημεῖα·
Καὶ τὰ θηλυπρεπέστατα. φορεῖ δὲ τὰ οἰκεῖα,
Τὸν κροκωτὸν καὶ κόθορνον. χωρεῖ δ' εἰς Ἡρακλέα,
Ὡς μάθοι δῆθεν παρ' αὐτοῦ τὴν πρὸς τὸν Ἅιδην τρίβον.
Ἰδὼν δὲ τοῦτον Ἡρακλῆς διπλῆν στολὴν φοροῦντα,
Τὸν ἀνδρικὸν τὸν στολισμὸν καὶ Ἡρακλεῖ πρεπώδη,
Καὶ τὸν ἐκείνῳ προσφυῆ καὶ γυναικίαν ὄντως,

---

460. De Euripidis *Autolyco Satyrico* vid. Casaubon. lib. I. de *Sat. Poesi* cap. 5.

HIST. 203.

464. *Τῶν* additum post *παλαιῶν*, monente Högero.

468. Etiam cod. A. *ἐνδύονται*.

Γελᾷ. καὶ δάκνων ἑαυτὸν οὐκ εἶχε παῦσαι γέλων.
Κἀγὼ γελῶν τοῖς κλέμμασιν οὕτω τανῦν εἰρήκειν.

ΠΕΡΙ ΤΟΝ ΧΑΛΚΙΔΕΑ ΛΥΚΟΦΡΟΝΑ. σδ΄.

Λυκόφρονες γεγόνασι διάφοροι τὴν κλῆσιν,
Λυκόφρων παῖς τοῦ Μάστορος, ὡς Ὅμηρός που γράφει,
Καὶ ἕτεροι Λυκόφρονες σοφοὶ καὶ τῶν ἀσόφων.
Οὗτος ὁ παῖς τοῦ Λύκου δέ, εἴτε μὲν τοῦ Σωκλέους,
Λυκόφρων, ὁ καὶ σύγχρονος ὑπάρχων Πτολεμαίῳ,
Πολλὰ μὲν συνεγράψατο δράματα, τραγῳδίας,
Καὶ βίβλον, ἣν ἐπέγραψεν τὴν κλῆσιν Ἀλεξάνδραν,
Εἰς ἣν ὁ Τζέτζης ἔγραψεν ἐξήγησιν, καὶ ἄλλας.
Ταύτην δὲ τὴν ἐξήγησιν ἐσφετερίζετό τις,
Οὐχὶ τὴν βίβλον παρ' αὐτοῦ λέγων ἐξηγηθῆναι·
Ἀλλ' ἑρμηνεύων τὰ ῥητὰ σύμπαντα τὰ τῆς βίβλου,
Τὴν βίβλον ἐπικρύπτων δέ, καὶ τοῖς φοιτῶσι λέγων,
Οἰκείου τέκνα λογισμοῦ, ἅπερ ἐφερμηνεύοι,
Ἀπόντα καὶ τὸν Τζέτζην δὲ καὶ λοιδορῶν καὶ τύπτων,
Ἕως πολλοὶ τῶν φοιτητῶν τῇ κέλλῃ τῇ ἐκείνου
Λαθραίως παρεισφρήσαντες ἐφεῦρον τὸ βιβλίον,
Καὶ τὸν ἐξηγησάμενον οὕτως ἐξυβρισμένον,
Ἀλγύνοντα καὶ μάλιστα τοῖς εὐηργετημένοις,
Ἀνθ' οὗπερ ἐκληρώσαντο μοῖραν τῶν παλαμναίων,
Ὥστε καὶ καθυβρίζεσθαι τοῖς εὐηργετημένοις.
Τοὺς δ' ἀχαρίστους ὑβριστὰς ἐκ τρισαλιτηρίων
Ἐνόουν μὴ δεόμενοι τριπόδων χρηστηρίων.

---

476. Aristoph. Ran. 43. sqq. ibique interpr.

HIST. 204.
480. Iliad. XV, 430.
481. Schol. Lycophron. init.

Η ΛΕΓΟΥΣΑ, ΚΑΤΑ ΤΗΝ ΤΗΣ ΑΘΗΝΑΣ ΟΡΝΙΝ ΤΗΝ ΓΛΑΥΚΑ. σέ.

Αἴσωπος παρεισφέρει που τοῖς μύθοις τοῖς οἰκείοις
Τὸν Δία μέλλοντα ποιεῖν ὀρνέοις βασιλέα,
Ἡμέραν τούτοις προειπεῖν, καθ᾽ ἣν ποιῆσαι μέλλει.
Ὕδασι ποταμίοις δὲ πάντων φαιδρυνομένων,
Ὧν πάντων ἀμορφότατος ὁ κολοιὸς ὀρνέων,
Τοῖς πάντων ἀποπίπτουσι πτεροῖς ἐστολισμένος
Ἁπάντων ὡραιότερος ἐφάνη τῶν ὀρνέων.
Καὶ εἰ μὴ γλαῦξ γνωρίσασα πτερόν τι τῶν οἰκείων,
Πρώτη ἀφεῖλε τὸ αὑτῆς καὶ τὰ λοιπὰ ὁμοίως,
Καὶ κολοιὸς ὁ κολοιὸς ὡς ἐξ ἀρχῆς ἐφάνη,
Ὀρνέων πάντων βασιλεὺς ξένοις πτεροῖς ἐφάνη.
Ὁ μῦθος τοῦτο βούλεται καὶ λέγειν καὶ σημαίνειν,
Πολλοὺς ξένους πονήμασι καὶ συλλογαῖς κλοπῶν δὲ
Νικᾶν δοκεῖν τοὺς τὸ καλὸν φύσει καὶ πόνοις σχόντας.
Ταῦτα μὲν οὕτως ἔχουσιν. ὁ κολοιὸς δ᾽ ὑπάρχει,
Καθ᾽ Ὅμηρον καὶ Ἄρατον, Βυβρίαν καὶ τοὺς ἄλλους
Ἡ μικροτέρα κορωνὶς ἡ παρ᾽ ὀπαῖς ὀρόφων.
Σιμόκατος καὶ ἕτεροι σὺν τούτῳ φασὶ πάλιν,
Ὄρνιν πανευπρεπέστατον τὸν κολοιὸν ὑπάρχειν.
Ὅθεν δοκῶ πλασθῆταί πως καὶ τὰ τῆς μυθουργίας,
Ὡς ἦν πρὶν ἀμορφότατος, πτερὰ λαβὼν δ᾽ ἐκ πάντων
Γέγονεν ὡραιότερος ἁπάντων τῶν ὀρνέων.
Δοκεῖ γὰρ ἔχειν πτέρωσιν ἐκ πάντων τῶν ὀρνέων.

ΣΕ ΤΟΝ ΚΟΛΟΙΟΝ ΕΞΕΛΕΓΞΑΝΤΑ. σς́.

Ἀντιστροφὴ νῦν γέγονεν ἱστοριῶν, ὦ τέκνον·
Εἰς ἱστορίαν τῆς γλαυκὸς ἡ κολοιοῦ ἐγράφη.

HIST. 205.

500. Aesopi fab. CI. p. 53. ed. I. G. Schneid. (fab. 78. p. 35. ed. C. E. Ch. Schn.)

508. Sic recte pro ἀφείλετο cd. A.

515. Vid. Aegidii Menagii amoenitatt. iuris c. 38. — In cd. A. est βαβρίαν, litera γ deletae literae β superscripta.

Καὶ νόει τὸ ὀξύτατον τῆς Τζέτζου διανοίας,
Πῶς μηδ' ἀργήσας κατιδεῖν τὴν μετ' αὐτὴν δευτέραν
Ἐπιδρομάδην ἔγραψεν ὡς μίαν σοι τὰς δύο.
Ἐπεὶ δ' ἐγράφη τῇ γλαυκὸς τὰ κολοιοῦ, ὦ τέκνον,
Τῇ κολοιοῦ σοι γράψομεν γλαυκὸς τὴν ἱστορίαν.
Ὄρνις ἡ γλαῦξ τῆς Ἀθηνᾶς λέγεται πεφυκέναι,
Ἀνθ' οὕπερ εἶχεν Ἀθηνᾶ τῇ ἑαυτῆς αἰγίδι
Γραπτὴν πρὸς στῆθος τὸ αὐτῆς γλαῦκα καὶ τὴν Γοργόνην,
Γοργόνα μὲν, τὸ φοβερὸν φρονήσεως δηλοῦσα,
Τὴν Γλαῦκα, τὸ βαθύνουν δὲ δηλοῦσα φρονημάτων.
Πᾶν σκοτεινὸν γὰρ φρόνησις νοεῖ καὶ κεκρυμμένον,
Ὥσπερ καὶ γλαῦξ ἐν τῇ νυκτὶ τῇ σκοτεινῇ πῶς βλέπει.

ΠΕΡΙ ΚΗΦΗΝΩΝ ΤΡΥΓΩΝΤΩΝ ΜΕΛΙ ΑΛΛΟΤΡΙΟΝ. σζ'.

Κηφῆνες ζῶα σύντροφα τῶν μελισσῶν τῷ γένει,
Ἅμα σὺν ταῖς μελίσσαις γὰρ κυΐσκεται καὶ ταῦτα.
Μείζονα δὲ τῶν μελισσῶν καὶ ἄκεντρα τυγχάνει,
Καὶ ταῖς μελίσσαις ὑπουργεῖ, ταύταις ὑδροφοροῦντα.
Μέλι δὲ οὐκ ἐργάζεται, ὡς μέλισσαι, καὶ ταῦτα.
Ὄντα δὲ μεγαλόσωμα, πολὺ ἐσθίει μέλι.
Ὅθεν αἱ μέλισσαι αὐτὰ χειμῶνος ἱσταμένου
Κτείνουσιν ὡς πτοούμεναι μὴ θάνωσιν ἐνδείᾳ,
Χειμῶνος φθάσαντος δεινοῦ, καὶ μὴ παρόντος ἄνθους,
Ὅθεν ἀνθολογήσασαι σχῶσι τροφὴν καὶ μέλι.
Πολὺ γὰρ κατεσθίουσιν, ὡς ἔφην, οὗτοι μέλι.
Τοιούτους τοὺς κηφῆνας μοι σύμπας τυγχάνειν νόει,
Καὶ οὕτω πόνον μελισσῶν τρύγοντας καὶ καμάτους.
Ὃς δ' ἄλλο τί φησι γράφων περὶ κηφήνων,
Τὰ μελισσῶν οὐκ ἔγνωκεν, οὔτε μὴν τὰ κηφήνων.

HIST. 206.

529. In marg. cd. A. *νῦν* pro *σοι*.

537. Cd. A. *προσβλέπει*. In margine *πῶς βλέπει*, quae dicendi ratio est Tzetza digna: *quam clare cernit.*

HIST. 207.

550. Videtur scribendum *περὶ τὰ τῶν κηφήνων*.

ΠΕΡΙ ΤΟΥ, ΣΥΓΓΝΩΘΙ ΤΩι ΜΕΙΡΑΚΙΩι ΤΟ ΜΕΛΙ ΠΟΝΟΝ ΜΕΛΙΤΤΗΣ ΚΗΡΥΤΤΟΝΤΙ. σή.

Τοῦτο τὸ σχῆμα γίνωσκε τυγχάνειν εἰρωνείας.
Καὶ τίς γὰρ ὃς ἠγνόηκε πόνον μελίσσης μέλι;
Μεθόδῳ δὲ δεινότητος οὕτως αὐτὸς εἰρήκειν·
Σύγγνωθι τούτῳ λέγοντι, τῶν μελισσῶν τὸ μέλι,
Ἤτοι τοὺς πόνους τοὺς ἐμοὺς εἶναι φαμένῳ.
Τοῦτό ποτε καὶ Φίλιππος ποιεῖ τοῖς Ὀλυνθίοις.
Αὐτῷ ποτὲ τὴν Ὄλυνθον καὶ γὰρ ὡς προδεδώκει
Λασθένης, καὶ οἱ ἕτεροι τῶν προδοτῶν τοῦ γένους,
Οἱ Μακεδόνες δὲ αὐτοὺς ὠνόμαζον προδότας.
Ὡς τῷ Φιλίππῳ ἔλεγον, ὦ βασιλεῦ, ἀκούεις,
Ὅπως προδότας λέγουσιν ἡμᾶς οἱ Μακεδόνες;
Ὡς πρὸς αὐτοὺς ἀντέλεξεν ὁ βασιλεὺς ἀστείως,
Ἐκ κωμῳδίας δεξιῶς εἰπὼν Ἀριστοφάνους·
Οἱ Μακεδόνες, ἀμαθεῖς, σκάφην φασὶ τὴν σκάφην·
Τουτέστιν, ὥσπερ ἔχουσι τὰ πράγματα, καλοῦσιν.
Ὑμᾶς προδότας ὄντας δὲ προδότας καὶ καλοῦσιν.
Ἀριστοφάνης δέ φησιν ἐν κωμῳδίᾳ τοῦτο.
Ἀγροικός εἰμι, τὴν σκάφην σκάφην λέγω.

ΠΑΡΟΙΜΙΑ, Η ΛΕΓΟΥΣΑ, ΚΑΙ ΛΙΘΟΙ ΒΟΗΣΟΥΣΙΝ. σθ'.

Ἐπὶ τῶν ἄγαν φανερῶν φαμὲν τὴν παροιμίαν.
Ὑπερβολὴ δὲ ποιηταῖς καὶ ῥήτορσι καλεῖται.
Λίθοι γάρ, ξύλα, μέταλλα καὶ πᾶν ἐκ τῶν ἀψύχων
Φύσιν οὐκ ἔχει φθέγγεσθαι καὶ λαλιὰν προπέμπειν.

HIST. 208.

559. Cf. Demosthen. de reb. in Cherrhon. p. 99. Reisk. Philipp. III. p. 128. Pro Coron. p. 241. De falsa legat. p. 425.
567. In cd. A. προδόντας ὄντας.

ΠΕΡΙ ΙΝΔΩΝ. σι'.

Ἡ χώρα κεῖται τῶν Ἰνδῶν ἐν μέρεσιν ἑῴοις,
Πρώτη πρώτως μετέχουσα ἡλιακῶν ἀκτίνων·
Πρώτην γὰρ δέδορκεν αὐτὴν ἥλιος ἀνατέλλων.
Μεγάλη καὶ περίῤῥυτος ἡ χώρα δὲ ὑπάρχει,
Καὶ ποταμοῖς κατάῤῥυτος, ἀρώμασιν εὐώδης,
Μετάλλων τε περιπληθής, ξενοφυῶν θηρίων,
Εὐδαίμων, πολυάνθρωπος, χωρῶν πασῶν τε μείζων,
Σχῆμα ῥομβοτετράγωνον θέσεως κεκτημένη.

Η ΛΕΓΟΥΣΑ, ΔΙΟΝΥΣΟΥ ΣΤΗΛΑΙ. σια'.

Ἐγγὺς ὀρῶν τῶν Ἡμωδῶν (Ἰνδίας δὲ τὰ ὄρη)
Στῆλαί τινες ἑστήκασι, στῆλαι τοῦ Διονύσου,
Οὐ τοῦ Θηβαίου λέγω δὲ καὶ τοῦ Ζαβοσκουτέλη,
Ὥσπερ τινὲς νομίζουσι καὶ παλαιοὶ καὶ νέοι·
Τοῦ οἰνουργίας δ' εὑρετοῦ φημὶ τοῦ Αἰγυπτίου,
Τοῦ Νῶε, καὶ Ὀσίριδος, Δευνύσσου, Διονύσσου.

ΠΕΡΙ ΤΟΥ ΗΩΙΟΥ ΩΚΕΑΝΟΥ. σιβ'.

Ὠκεανὸς τοῖς ποιηταῖς, ῥήτορσι, φιλοσόφοις,
Ἱστορικοῖς τε σὺν αὐτοῖς καὶ τοῖς γεωγραφοῦσι,
Τοῖς μὲν δοκεῖ τις θάλασσα γλυκεῖα δὲ ὑπάρχειν,
Ἡ τις καὶ θάλασσα ἐκτὸς καλεῖται παρ' ἐκείνοις,
Ὡς νῆσον περικλείουσα τὴν οἰκουμένην πᾶσαν,
Καὶ πάσας τὰς θαλάσσας δὲ τὰς καθ' ἡμᾶς γεννῶσα.
Ἄλλοις δοκεῖ δὲ ποταμὸς κυκλῶν τὴν οἰκουμένην.
Μόνος ὁ Πτολεμαῖος δὲ κυκλοῦν οὐ λέγει πᾶσαν,
Εἶναι δὲ καὶ ἀκύκλωτόν τι μέρος πρὸς τὸν νότον.
Ἐκ τούτου πάντες λέγουσιν Ὠκεανοῦ, ὃν ἔφην,

HIST. 211.

582. Plin. H. N. VI, 17. Cellarii Geogr. Ant. T. II, p. 860.

584. In marg. edit. Basil. haec legitur nota: *Epitheton Bacchi, qui assutus fuerit femori. Supra quoque habes, sed paulo aliter Chil. V, 794.*

Θαλάσσας, λίμνας, ποταμούς, φρέατα, σύμπαν ὕδωρ,
Εἰς οἰκουμένην τὴν ἡμῶν εἰσβάλλειν τε καὶ ῥέειν.
Ἐκ τοῦ ζεφύρου καὶ δυσμῶν ἓν στόμα γὰρ ἐκρέον
Ποιεῖ τὴν πᾶσαν θάλασσαν, ἣν καθ' ἡμᾶς ἀκούεις,
Ἱσπανικήν, Ἰβηρικήν, τὴν Κελτικήν, Αὐσόνων,
Σικελικήν, τὴν Κρητικήν, Αἰγαίαν, Παμφυλίαν,
Ἁπλῶς εἰπεῖν, ἣν θάλασσαν ἀκούεις ἡμετέραν,
Καὶ τὴν Εὐξείνου θάλασσαν, ὥσπερ φασὶν οἱ πλείους.
Ὁ φυσικὸς ὁ Στράτων δέ, καθὼς ὁ Στράβων γράφει,
Τὴν τοῦ Εὐξείνου θάλασσαν ὡς λίμνην κεκλεισμένην
Εἶναί φησι τὸ πρότερον, ὡς καὶ τὴν Γαδειραίαν,
Καὶ τὴν Ῥηγίου θάλασσαν, τὴν ἔγγιστα τῆς Ῥώμης,
Τοὺς ποταμοὺς δὲ καὶ σεισμοὺς ῥήξαντας ἐξανοῖξαι
Αὐτὴν τὴν τοῦ Εὐξείνου μὲν θάλασσαν, ἥνπερ ἔφην,
Πρὸς στόμα τὸ Βυζάντειον καὶ πρὸς τὴν Προποντίδα
Καὶ τὸν Ἑλλήσποντον αὐτόν· τὰς δὲ λοιπὰς θαλάσσας,
Τὴν Γαδειραίαν τέ φημι καὶ θάλασσαν Ῥηγίου,
Εἰς στόματα τὰ σύνεγγυς ἐκείνων πεφυκότα.
Ἐκ τοῦ ζεφύρου καὶ δυσμῶν ὠκεανοῦ ἓν στόμα,
Τὸ ἐκ Γαδείρων, τὰς ἡμῶν πάσας ποιεῖ θαλάσσας.
Ἄλλο δὲ ὠκεάνιον ἐκ μέρους τοῦ βορείου
Ῥεῦσαν ἐντὸς ἐποίησε θάλασσαν Ὑρκανίαν.
Δύο δὲ πάλιν στόματα ἐκ μεσημβρίας ἄλλα
Θαλάσσας ἀνεστόμωσαν Περσῶν καὶ Ἐρυθραίαν.
Οὕτως ἐντὸς ὠκεανὸς τετράστομος εἰσρέων
Ποιεῖ θαλάσσας τέσσαρας τὰς νῦν μοι λελεγμένας.
Τοῖς ἔξωθεν δὲ μέρεσιν ἄλλας τὰς κλήσεις φέρει.
Ἑσπέριος αὐτίκα γὰρ ὠκεανὸς καλεῖται,
Καὶ πέλαγος Ἀτλαντικὸν τὸ μέρος τὸ πρὸς δύσιν,
Τὸ πρὸς βορρᾶν δὲ Κρόνιον καὶ πεπηγός, νεκρόν τε.
Ἠῷος δὲ ὠκεανὸς καὶ πέλαγος ἠῷον
Τὸ πρὸς τὸ μέρος τῶν Ἰνδῶν καὶ πρὸς βολὰς ἡλίου.

HIST. 212.
606. Vid. Ions. de script. hist. philos. II, 16. pag. 202. Diog. Laert. V, 58 — 60.
627. Erat βοράν.

Τὸ πρὸς τὴν μεσημβρίαν δὲ καὶ μέρη τὰ πρὸς νότον
Καὶ Περσικὸς ὠκεανὸς καὶ ἐρυθραῖος ἅμα,
Ἀράβιος καλεῖται δὲ καὶ Αἰθιόπων πόντος.

ΠΕΡΙ ΝΗΣΟΥ ΤΑΠΡΟΒΑΝΗΣ. σιγ'.

Ἡ Ταβροβάνη τῶν Ἰνδῶν νῆσός ἐστι μεγίστη,
Τῶν ἁπασῶν ὑπέρτερος νήσων τῆς οἰκουμένης.
Ἐν ταύτῃ καὶ ἐλέφαντες καὶ θῆρες δὲ μυρίοι
Ξενοφυεῖς καὶ ἔκφυλοι καὶ τῶν τερατομόρφων,
Καὶ ὄφεις ὑπεραίροντες ὄφεων πᾶσαν φύσιν,
Ἐσθίοντες ἐλέφαντας ἐν μηχαναῖς τοιαῖσδε·
Τοὺς πόδας περιπλέκουσιν ἐκείνων τῶν θηρίων
Εἰς γῆν τε καταβάλλοντες ἐσθίουσι ῥᾳδίως.
Πολλάκις ἀναιροῦνται δὲ καὶ οὗτοι σὺν ἐκείνοις
Ἐπιπεσοῦσιν εἰς αὐτοὺς καὶ κτείνουσι τῷ βάρει.
Ὥνπερ δρακόντων κεφαλαῖς εὑρίσκονται καὶ λίθοι,
Λίθοι πολυτιμότατοι, πολλοὶ τῶν αὐτογλύφων,
Φέροντες καὶ σφραγίσματα. ὡς παρ' ἑνὶ καὶ ἅρμα
Τούτων αὐτόγλυφον ἰδεῖν, ἄνδρες φασὶ μυρίοι,
Καὶ ὁ Ποσείδιππος αὐτὸς ἐν ἔπεσί που γράφει.

ΠΕΡΙ ΝΗΣΟΥ ΙΝΔΙΚΗΣ, ΤΗΣ ΚΑΛΟΥΜΕΝΗΣ ΧΡΥΣΗΣ. σιδ'.

Νῆσός ἐστι τῆς Ἰνδικῆς, ἥνπερ Χρυσῆν καλοῦσιν,
Ἄλλοι δ' αὐτὴν χεῤῥόνησόν φασιν, ἀλλ' οὐχὶ νῆσον.
Ἑβραῖοι ταύτην δὲ Ὀφὰτ γλώσσῃ τῇ σφῶν καλοῦσιν.
Ἔχει δὲ μέταλλα χρυσοῦ, καὶ λίθους δὲ παντοίους,
Ἐξ ὑπερπλέου μᾶλλον δὲ τὸν πράσινον τὸν λίθον.

HIST. 213.

633. Cf. Cellar. Geogr. antiq. II. p. 876.

647. Chil. VII, 655. sqq.

HIST. 214.

648. Cf. Cellar. Geogr. ant. II. p. 873. sq. et p. 879. sq.

650. In margine edit. Bas. pro Ophat scriptum est Ophir.

652. Immo πράσιον.

ΠΕΡΙ ΤΗΣ ΖΕΦΥΡΙΤΙΔΟΣ ΠΛΕΥΡΑΣ. σιέ.

Ἄνεμοι δώδεκά εἰσιν, ὧνπερ αἱ κλήσεις αὗται·
Ἀπηλιώτης Εὖρός τε, Εὐρόνοτος καὶ Νότος,
Λιβόνοτος, καὶ ἔπειτα Λίψ, Ζέφυρος, Θρασκίας·
Τινὲς ἀντὶ Θρασκίου δὲ λέγουσι τὸν Ἀργέστην·
Καὶ Ἀπαρκτίας καὶ Βορᾶς καὶ Μέσης καὶ Καικίας.
Χρῄζεις καὶ ὅθεν ἕκαστος τούτων ἐκπνέει, μάθε.
Ἂν στῇς ὡς πρὸς ἀνατολὰς προσβλέπων τὰς ἡλίου,
Τὰ δὲ ὀπίσθια τὰ σὰ πάντως ὦσι πρὸς δύσιν,
Πνεῖν ἐξ αὐτῆς ἀνατολῆς Ἀπηλιώτην νόει,
Κατὰ τὴν χώραν τῶν Ἰνδῶν καὶ μετ' αὐτὸν τὸν Εὖρον,
Πρὸς χεῖρα σὴν τὴν δεξιὰν καὶ δεξιὰ Ἰνδίας.
Ἑξῆς δὲ τὸν Εὐρόνοτον, ὃς ἐκ Περσίδος πνέει,
Καὶ ἐρυθρᾶς θαλάσσης δέ, ἥτις καὶ Ἀραβία.
Ὁ Νότος δ' ἐν Αἰθίοψιν αὐτοῖς καὶ Αἰγυπτίοις,
Τοῖς περὶ ἕω λέγω δέ, τὰς ἐκπνοὰς ποιεῖται.
Λιβόνοτος Λιβύην δὲ καὶ Αἴγυπτον χωρίζει·
Ὁ Λὶψ δὲ κεῖται μετ' αὐτὸν πρὸς δύσιν τῆς Λιβύης·
Τὰ δεξιὰ πεπλήρωκας γῆς μέρη πρὸς τὸν Λίβα.
Ζέφυρος ἐναντίος δὲ πνεῖ τῷ Ἀπηλιώτῃ,
Ἐκ τῶν Γαδείρων τε αὐτῶν καὶ Ἱσπανῶν Ἰβήρων.
Τὸν Ζέφυρον τοῖς ὄπισθεν σῆς ῥαχέως ἐπέγνως.
Νῦν δ' ἐκ τῶν ὄπισθεν μερῶν ἐκ τῶν ἀριστερῶν τε
Πρὸς τὴν ἑῴαν χώρει μοι πάλιν ἐκ τοῦ Θρασκίου.
Θρασκίας πνεῖ τὴν Βρεττανῶν καὶ Τυῤῥηνίδα χώραν,
Ῥωμαίους τε καὶ Γερμανοὺς καὶ ἕτερα μυρία.
Μετὰ Θρασκίαν δὲ αὐτὸν ὁδεύοντι πρὸς ἕω
Περὶ τὴν Θούλην ἄνεμος ὁ Ἀπαρκτίας πνέει,
Συσφίγγοντες ἀμφότεροι Λατίνους Ἰταλούς τε.
Μετ' Ἀπαρκτίαν ὁ Βορᾶς Σκύθαις καὶ τῷ Εὐξείνῳ
Τοῖς Ὑρκανοῖς καὶ Κόλχοις δὲ ὁ Μέσης περιπνέει,
Καικίας δὲ τοῖς Ἠμωδοῖς ὄρεσι περιπνέει,
Ἃ κεῖται τοῖς ἀριστεροῖς μέρεσι τῆς Ἰνδίας.

675. Erat Θρακίου.

ΠΕΡΙ ΝΗΣΟΥ ΓΑΔΕΙΡΩΝ. σις'.

Ἡ νῦν νῆσος ἡ Γάδειρα τὴν κλῆσιν καλουμένη
Τὸ πρώην ὠνομάζετο τὴν κλῆσιν Κοτινοῦσα.
Τὸ γᾶ δὲ Γάδειρα βραχὺ σὺ καὶ μακρόν μοι γράφε.
Ἕλληνες Γάδειρά φασι γῆς τράχηλον ὑπάρχειν·
Τραχήλῳ γῆς γὰρ ἔοικεν· ὅθεν μακρὸν δεῖ γράφειν.
Φοίνιξ δὲ γλῶσσα Γάδαρα λέγει τοὺς λιθοστρώτους,
Ὡς οἱ Ἑβραῖοι Γαβαθὰ τόπους τοὺς λιθοστρώτους.
Φοίνικες Καρχηδόνα δὲ τοῖς τόποις τῆς Λιβύης
Ἔκτισαν καὶ τὴν Γάδειρα, ἐλθόντες ἐκ Φοινίκης.
Ἔστι καὶ πόλις Γάδαρα τῇ τῶν Φοινίκων χώρᾳ,
Ἐξ ἧς Ἀψίνης Γαδαρεὺς ὁ ῥήτωρ ἐγεγόνει.
Γάδειρα μὲν καθ' Ἕλληνας μακρὸν ἐγνώκεις εἶναι,
Ὡς ἐκ τοῦ γῇ καὶ τοῦ δειρά· ὡς γλώσσης δὲ Φοινίκων
(Γάδειρα γάρ, ὡς εἴπομεν, φασὶ τοὺς λιθοστρώτους)
Βραχύνεται. οὐκ ἔχει γὰρ ἐκ γῆς τὴν σημασίαν
Ἀλλ' ἐκ τῆς γᾶ τῆς συλλαβῆς ἁπλῶς ἀρχὴν λαμβάνει.
Μᾶλλον δ' ἐστὶ καὶ βάρβαρον, διὸ καὶ βραχυγράφει,
Ὡς Γάϊον, Γαράμαντας, Γάβαλα, Γαλαξίαν,
Καὶ πᾶν ὁπόσον ἐκ τῆς γὰ τὴν καταρχὴν λαμβάνει,
Ἑλληνικῆς ὂν γλώσσης τε καὶ γλώσσης τῶν βαρβάρων,
Εἰ μή που δωρικώτερον εἰς ἄλφα μετετράπη,
Ὡς γάδειρα καὶ γάπεδα, γᾶρύειν καὶ τοιαῦτα.

ΠΕΡΙ ΒΑΙΤΙΟΣ ΠΟΤΑΜΟΥ ΓΑΔΕΙΡΩΝ. σιζ'.

Τῆς Βαιτικῆς τῶν Ἱσπανῶν γῆς ποταμὸς ὁ Βαῖτις.
Τῶν Ἱσπανῶν τυγχάνουσι τρεῖς γὰρ αἱ ἐπαρχίαι,
Ἡ Βαιτική, Λυσιτανῶν καὶ Ταῤῥακωνησίων.

HIST. 216.

693. Margo cd. A. γάδαρα. — In titulo est γάδείρων. Cum spiritu etiam v. 694. 698. At vs. 687. et alibi γα̃δειρα.

HIST. 217.

707. Conf. Cellarii Geogr. ant. I. p. 81. sq.

708. Articulus αἱ e cd. A.

709. In cd. A. λυσητανῶν.

[illegible] σὺν ποταμὸς ὁ Βαῖτις τε καὶ Βαίλων,
[illegible]ησόλας ποταμὸς καὶ Πόρτος δὲ καὶ Μάγηθ.
[illegible] Βαρβησόλα δὲ καὶ Βαίλων τε καὶ Μάγηθ,
[illegible] Κάλπη πόλις, ὄρος τε καὶ στήλη σὺν ἐκείνοις.
Καὶ Βαισιππὼ δὲ σὺν αὐτοῖς ταύτης ἑτέρα πόλις.
Καὶ Κοτινοῦσα πόλις δέ, τὰ Γάδειρα δὲ νῆσος.
Ὄρος δὲ τὸ Μαρίανον. τίς σοι τὰ πάντα φράσαι;

ΠΕΡΙ ΝΗΣΩΝ ΕΣΠΕΡΙΔΩΝ ΚΑΙ ΒΡΕΤΤΑΝΩΝ. σιη΄.

Αἱ Βρεττανίδες νῆσοι μὲν κεῖνται περὶ Θρασκίαν·
Δύο αἱ μέγισται πασῶν, πρώτη Ἰουερνία
Καὶ Ἀλουβίων μετ' αὐτήν· αὗται τῶν ἄλλων πρῶται.
Καὶ ἄλλαι δὲ τριάκοντα, καλούμεναι Ὀρκάδες,
Καὶ Θούλη ἔγγιστα αὐτῶν, ἄλλη μεγίστη νῆσος,
Εἰς Ἀπαρκτίου τὴν πνοὴν ἔγγιστα κεκλιμένη.
Ἐκ τούτων τῶν τριάκοντά εἰσιν αἱ Ἑσπερίδες.
Πρὸς μέρη γὰρ ἑσπέρια κεῖνται τῆς Βρεττανίας.
Τριῶν δὲ Διονύσιος πόλεων μόνον λέγει.

Η ΛΕΓΟΥΣΑ, ΠΡΟΣ ΠΝΟΑΣ ΝΟΤΟΥ ΚΑΙ ΤΗΝ ΜΕΣΗΜΒΡΙΑΝ ΑΠΟΚΛΙΣΙΝ. σιθ΄.

Ὠ τῷ μικρῷ μὲν ἔοικεν ἡ θέσις οἰκουμένης.
Τετρώσι δὲ μερίζομεν τοῖς μέρεσιν ἐκείνην,
Ἀνατολῇ τε καὶ δυσμαῖς, ἄρκτοις καὶ μεσημβρίᾳ.
Ἐκ τῶν τεσσάρων δὲ μερῶν ἄνεμός τις ἐκπνέει,
Ἀπηλιώτης ἄνεμος ἐκ τῆς ἀνατολῆς μέν,

---

710. Alibi *Βελών*. Conf. Geograph. d. Griech. u. Röm. v. Uckert, 2. Th. 1. Abth. p. 343. Marcianus Heracleotes in Periplo: *καταλήγει δὲ πρὸς μεσημβρίαν ὡς ἐπὶ τὸν προειρημένον ναὸν τῆς Ἥρας, ἤτοι Βελῶνα τὴν πόλιν, ἢ Πόρτον μάγνον.* Quem locum repetit Dufresn. in Glossar. s. v. *Πόρτος*. Tzetzes quidem diversa hic confudisse videtur.

HIST. 218.

717. *Μὲν* accessit e cd. A.

Ἐκ τῶν δυσμῶν ὁ ζέφυρος, ἐξ ἄρκτων ὁ βορέας,
Ἐκ δὲ μερῶν μεσημβρινῶν ὁ νότος περιπνέει.

ΠΕΡΙ ΤΗΣ ΟΙΚΟΥΜΕΝΗΣ ΚΑΙ ΑΟΙΚΟΥ ΑΙΘΙΟΠΙΑΣ. σκ΄.

Πρὸς μέρος τὸ μεσήμβρινόν, ὅθεν ὁ νότος πνέει,
Πρὸς χεῖρα σὴν τὴν δεξιὰν στάντι σοι, ὥσπερ ἔφην,
Ὠκεανοῦ μεσημβρινοῦ πρῶτόν ἐστιν· ἡ χύσις
Καὶ μετ' αὐτὴν ἡ ἄοικος Αἰθιοπία κεῖται.
Ἐξ ἧς ἡ οἰκουμένη δὲ πάλιν Αἰθιοπία
Καὶ μετ' αὐτὴν ἡ Αἴγυπτος Νείλῳ χωριζομένη
Αἰθιοπίας ὁρισμοῖν. λέγω δὲ τὰς ἑῴας,
Αἰθιοπίας τε ὁμοῦ καὶ Αἴγυπτον ὡσαύτως.
Πρὸς γὰρ αὐτῶν ἀνατολὴν ὁ νότος περιπνέει.
Λιβόνοτος χωρίζει δὲ πάλιν ἐν τῇ Λιβύῃ
Τὴν ἑσπερίαν Αἴγυπτον καὶ τὰς Αἰθιοπίας·
Τὰς ἑσπερίας λέγω δέ, ἄοικον οἰκουμένην.
Δύο καὶ γὰρ καθ' Ὅμηρόν εἰσιν Αἰθιοπίαι,
„Ἡ μὲν δυσομένου Ὑπερίονος, ἡ δ' ἀνιόντος."
Τὰς οἰκουμένας λέγει δέ, οὐ μὴν καὶ τὰς ἀοίκους,
Οὐδ' Αἰθιόπων βούλεται τὰ γένη διαγράφειν,
Τῶν Στρουθοφάγων, Ἀπαθῶν, καὶ τῶν Ἰχθυοφάγων,
Τῶν Ὑλοφάγων, καὶ λοιπῶν, ὧνπερ μυρίαι κλήσεις.

ΠΕΡΙ ΤΟΥ ΑΡΚΤΩΙΟΥ ΚΑΙ ΤΟΥ ΒΟΡΕΙΟΥ. σκα΄.

Τὸ κείμενον πρὸς τὸν βορρᾶν μέρος τῆς οἰκουμένης
Ἀρκτῷον ὀνομάζεται, ὡς σύνεγγυς ὑπάρχον
Τοῦ πόλου τοῦ παρ' οὐρανόν, λέγω δὲ τοῦ Ἀρκτῴου.
Ἐν τούτῳ ἡ Ἑλίκη γάρ, Ἄρκτος καὶ Κυνοσοῦρα
Ἔσχον τὴν καταστέρισιν, κείμεναι περὶ τοῦτον,

HIST. 220.
746. Odyss. I, 24.
749. Diod. Sic. III, 18. pag. 187. φησὶν οὖν (Ἀγαθαρχίδης) τὸ τῶν ἀπαθῶν Αἰθιόπων ἔθνος τὸ σύνολον ποτῷ μὴ χρῆσθαι.

Ἀειφανεῖς ὁρώμεναι, μὴ δύνουσαι μηδέπω.
Οὕτω τὸ περιβόρειον μέρος τῆς οἰκουμένης
Ἀρκτῷον κατωνόμασται τῷ πόλῳ τῷ τῶν ἄρκτων.

ΠΕΡΙ ΑΓΑΘΥΡΣΩΝ. σκβ΄.

Ἀρκτῷον ἔθνος πέφυκε τὸ γένος Ἀγαθύρσων,
Τοῦ Ἀπαρκτίου μεταξὺ κείμενον καὶ Βορέα·
Ταῖς Διονύσσου δὲ τιμαῖς ἄγαν καὶ θύρσοις χαῖρον
Τὴν Ἀγαθύρσων ἔσχηκε κλῆσιν προσφυεστάτως.

ΠΕΡΙ ΓΕΛΩΝΩΝ. σκγ΄.

Ἀρκτῷον καὶ τὸ Γελωνῶν ἔθνος, ὡς Ἀγαθύρσων,
Μέσον τοῦ Ἀπαρκτίου τε καὶ μέσον τοῦ Βορέα,
Κατώτερον δὲ κείμενον ἔθνους τῶν Ἀγαθύρσων,
Πρὸς τὴν Εὐξείνου θάλασσαν νεῦον ἐκ τοῦ Βορέα.

ΠΕΡΙ ΜΑΙΩΤΩΝ ΣΚΥΘΩΝ ΚΑΙ ΣΚΥΘΩΝ ΚΑΥΚΑΣΙΩΝ. σκδ΄.

Τρία τὰ ἔθνη τῶν Σκυθῶν, ὧν μάνθανε τὰς κλήσεις,
Μαιῶται καὶ Καυκάσιοι καὶ οἱ Ὠξιανοὶ δέ.
Μαιῶτις λίμνη τίς ἐστιν ἔγγιστα τοῦ Βορέα.
Μαιῶτις δὲ παρ᾽ Ἕλλησιν αὕτη πλουτεῖ τὴν κλῆσιν,
Ὡς μήτηρ καὶ μαιεύτρια γένους παντὸς ἰχθύων,
Ὁπόσοι πρὸς τὸν Εὔξεινον καὶ παρ᾽ ἡμᾶς χωροῦσι.
Τοῖς Σκύθαις αὕτη Καρμπαλοὺκ ἡ λίμνη κλῆσιν φέρει·
Τὸ Καρμπαλοὺκ δ᾽ ἑλληνισθὲν πόλις ἰχθύων λέγει·
Τὸ Κὰρμ γὰρ πόλις σκυθικῶς, τὸ δὲ Παλοὺκ ἰχθύες,
Καὶ τάχα ἓν σημαίνουσι, τὸ Καρμπαλούκ, Μαιῶτις.
Περὶ Βορᾶν ἡ λίμνη μὲν ἡ Καρμπαλούκ, Μαιῶτις·
Μαιῶται καὶ οἱ Σκύθαι δὲ οἱ πρὸς αὐτῇ καλοῦνται.

HIST. 222.

760. In cd. A. βορεα (ου).
761. Erat χαίρων.

HIST. 224.

773. Sic margo cd. A. pro Καρπαλούκ. Recte, ut sequentia docent.

Οἱ δέ γε πρὸς τὸν Καύκασον τὸν Σκυθικὸν τὸ ὄρος,
Τὸ Ὑρκανίας ἔγγιστα, οὗπερ οἱ Οὖννοι, Οὖζοι,
Ὅπου καὶ Μέσης ἄνεμος τὰς ἐκπνοὰς ποιεῖται,
(Οὐ λέγω γὰρ τὸν Καύκασον τὸ τῆς Ἰνδίας ὄρος)
Σκύθαι πάλιν Καυκάσιοι ἐσχήκασι τὴν κλῆσιν.
Οἱ πέραν δὲ νεμόμενοι θαλάσσης Ὑρκανίας,
Μετὰ τὸν Μέσην ἄνεμον πρὸς τὸ Καικίου μέρος,
Καὶ Σουγδιάδα τε αὐτήν, ἧς ποταμὸς ὁ Ὦξος.
Καὶ Σάκας καὶ τὰ ἔσχατα μέρη ὁρῶν Ἰνδίας,
Τοὺς οὓς Σκύθας Ἡρόδοτος ἐῴους ὀνομάζει,
Σκύθαι εἰσὶν Ὠξιανοὶ καὶ Σκύθαι δὲ ἑῷοι.

ΠΕΡΙ ΤΟΥ, ΟΣΗΝ Ο ΠΟΛΥΧΕΥΜΩΝ ΩΚΕΑΝΟΣ ΥΓΡΑΙΣ ΑΓΚΑΛΑΙΣ ΓΗΝ ΤΕ ΚΑΙ ΘΑΛΑΣΣΑΝ ΠΕΡΙΕΙΛΗΦΕΝ. σκέ.

Ὠκεανὸς τοῖς ἄλλοις μὲν κυκλοῖ τὴν οἰκουμένην.
Ὁ Πτολεμαῖος δὲ αὐτὸν πᾶσαν κυκλοῦν οὐ λέγει,
Εἶναι δὲ καὶ ἀκύκλωτόν τι μέρος πρὸς τὸν νότον.

ΠΕΡΙ ΤΟΥ ΕΠΗΛΥΓΑΖΟΝΤΟΣ ΕΑΥΤΟΝ ΘΕΤΤΑΛΟΥ ΣΤΡΑΤΙΩΤΟΥ ΤΩι ΛΥΚΟΜΗΔΟΥΣ ΘΑΛΑΜΩι. σκϛ'.

Τὸν Ἀχιλλέα Θετταλόν, ὡς ἐκ πατρίδος Φθίας,
Τὴν Λυκομήδους νεωστὶ γάμῳ λαβόντα κόρην,
Ἧι κλῆσις Δηϊδάμεια, ἐξ ἧς υἱὸς ὁ Πύῤῥος,
Ὡς ταύτῃ συνδιέτριβε τῷ γάμῳ καὶ παστάδι,
Μύθους τινὲς ἀνέπλασαν, ὡς Ἕκτορος τῷ φόβῳ
Ἡ Θέτις τοῦτον ἔκρυψε τῷ Λυκομήδους οἴκῳ,
Ὡς κόρην ἀμφιέσασα χιτῶνα γυναικεῖον,
Μήπως ἐκπλεύσας σὺν στρατῷ τῷ τῶν Ἑλλήνων θάνοι.

---

786. Erat *Σουνδιάδα* et *Ὦξας*. *ἧς διὰ μέσσον ἑλίσσεται ἱερὸς* Dionys. Perieg. 747. *Σουγδιάς, Ὦξος.*

ΠΕΡΙ ΤΟΥ, ΜΗΔΕ ΠΑΡΑ ΤΗΝ ΜΕΛΙΣΣΑΝ ΑΧΑΡΙΣΤΟΤΕΡΟΣ ΓΙΝΟΥ ΚΗΦΗΝΩΝ. σκζ'.

Κηφῆνες ζῶα σύντροφα γεννῶνται ταῖς μελίσσαις,
Μέγιστά τε καὶ ἄκεντρα, ὑδροφορεῖ τε ταύταις.
Κτείνονται ταῖς μελίσσαις δὲ καιρῷ τῷ τοῦ χειμῶνος,
Μήπως ἐκεῖναι θάνωσιν ὑπὸ τροφῆς ἐνδείας.
Ὄντα γὰρ μεγαλόσωμα τὰ γένη τῶν κηφήνων,
Πολὺ καταναλίσκουσι βιβρώσκοντα τὸ μέλι.
Εἶπον, ἀχαριστότερος μὴ γίνου δὲ κηφήνων,
Ὅτι τὸ μέλι τρώγοντες, ὡς εἶπον, οἱ κηφῆνες,
Οὐ γίνονται ἀχάριστοι τῶν μελισσῶν τῷ γένει·
Ἀντεισφορὰν διδοῦσι δὲ ταύταις, ὑδροφορίαν.
Σὺ δ' ἑρμηνεύων ταῖς ὑμῶν ἐξηγηθείσαις βίβλοις,
Οὐ μόνον οὐκ εὐχάριστος φαίνῃ τοῖς εὐεργέταις,
Ἀλλὰ καὶ λάθρα καθ' ἡμῶν ληρεῖς ἀπρεπεστάτως.

ΠΕΡΙ ΤΟΥ, ΜΗΠΩΣ, ΚΑΘΑ ΦΗΣΙ ΠΙΝΔΑΡΟΣ, ΚΑΤΑ ΣΙΜΩΝΙΔΗΝ ΤΗΝ ΜΟΥΣΑΝ ΑΡΓΥΡΕΙΑΝ ΠΟΙΗΣΑΙΜΕΝ, ΟΥΚΕΤΙ ΠΡΟΚΥΨΗι ΤΟΙΣ ΠΕΝΗΣΙΝ. σκη'.

Οἱ λυρικοὶ τοπρότερον ἔγραφον ἀναργύρως.
Ἤρξατο πρῶτος δὲ μισθοῦ γράφειν ὁ Σιμωνίδης.
Δύο γὰρ τεκτηνάμενος κιβώτια ἐκεῖνος,
Τὸ μὲν ἐκάλει δωρεῶν, τὸ δ' ἕτερον χαρίτων.
Ἃ γοῦν γράφων ἐλάμβανεν, ἐτίθει κιβωτίῳ,
Ὃ δωρεῶν ἐκάλεσε· λοιπὸν οὖν ἐμεστοῦτο·
Τὸ τῶν χαρίτων δὲ κενὸν κιβώτιον ὑπῆρχεν.

HIST. 227.
807. Conf. hist. 207.

HIST. 228.
814. Inscriptio huius historiae est corrupta.
815. De Simonidis avaritia vid. Aelian. V. H. VIII, 2. IX, 1. Plutarch. An seni sit resp. ger. §. 5. T. XII. p. 107. Hutt. De curios. §. 10. T. X. p. 140. Athen. XIV. p. 656. Schaefer. ad Theocriti Idyll. XVI, 9. — Stobaei floril. T. 10. 39. Ed. Gaisf. Lips. Vol. I. p. 255.

Ἂν οὖν αὐτόν τις ἀμισθὶ γράψαι ποτὲ ἠξίου,
Ἔλεγε, δύο κιβωτοί εἰσί μοι τῇ οἰκίᾳ,
Ἡ μὲν καλεῖται δωρεῶν, ἡ δέ γε τῶν χαρίτων.
Ἂν οὖν ἀνοίξω κιβωτὸν τῶν δωρεῶν, εὑρίσκω,
Ἐν οἷς ἂν ἐξωνήσωμαι σύμπαν ἐμοὶ χρειῶδες·
Κενὴν δ' εὑρίσκω κιβωτὸν ἀνοίξας τὴν χαρίτων,
Καί τι χρειῶδες ἐξ αὐτῆς ὠνεῖσθαι οὐκ ἰσχύω.
Οὕτω λέγων ὑπάργυρα πᾶσαν γραφὴν ἐποίει,
Ὡς Ἀνακρέων τε αὐτὸς Καλλιμαχός τε λέγει,
Καὶ ἕτεροι μυρίοι δὲ τῶν ἐλλογίμων ἄνδρες.
Οὐδ' ὕμνους ἔγραφε θεοῖς αὐτὸς ὁ Σιμωνίδης,
Ἐκκλίνων τὸ ἀνάργυρον. ἔγραψε δ' αἴνους παίδων,
Ἀφ' ὧν ἐλάμβανε πολὺ καὶ διαρκὲς χρυσίον.
Ἐρωτηθεὶς δὲ πρός τινων, τί πρὸς θεοὺς οὐ γράφεις,
Πρὸς παῖδας αἴνους γράφεις δέ; ὁ Σιμωνίδης εἶπεν,
Ὅτι οἱ παῖδές μοι θεοί, ὡς ἐξ αὐτῶν λαμβάνων.

ΠΕΡΙ ΤΟΥ, ΟΥΔΕ ΓΑΡ ΚΑΤΑ ΤΟΝ ΚΥΡΗΝΑΙΟΝ ΚΑΛΛΙΜΑΧΟΝ ΕΣΠΕΡΙΟΝ ΦΙΛΕΟΥΣΙΝ. σκθ'.

Ὁ ποιητὴς Καλλίμαχος οὗτος ὁ Κυρηναῖος,
Περί τινος οὐ σώζοντος στάσιν ἐν τῇ φιλίᾳ,
Ἀλλὰ μετολισθαίνοντος καὶ μετατρεπομένου,
Ταῦτά φησι κατὰ ῥητὸν ἅπερ ἀκούων μάθε·
„Ἑσπέριον φιλέουσιν, ἀτὰρ στυγέουσιν ἑῷον.

---

825. ἐξωνήσωμαι pro ἐξωνήσομαι cd. A.
829. Callimachi fragm. p. 401.

HIST. 229.
841. Callimachi fragm. XXVI. p. 347.

ΠΕΡΙ ΤΗΣ ΑΙΣΩΠΕΙΑΣ ΚΥΝΟΣ ΤΗΣ ΤΟΝ ΛΑΓΩΝ ΔΑΚΝΟΥΣΗΣ ΤΩι ΔΗΘΕΝ ΦΙΛΕΙΝ. σλʹ.

Ὁ μυθογράφος Αἴσωπος λαγὼν καὶ κύνα φέρει
Ἀλλήλοις παίζειν θέλοντας, φιλίαν συνθεμένους.
Ἐπεὶ δ' ἀσύμβατόν ἐστιν ὡς πρὸς φιλίας τύπον
Κυνῶν γονὴ θηρατικῶν καὶ λαγωῶν τὸ γένος,
Ποιεῖ τὸν κύνα τῷ δοκεῖν τὸν λαγωὸν συμπαίζειν
Δάκνοντα τοῦτον συνεχῶς ἐν φιλημάτων τρόποις.

ΠΕΡΙ ΛΕΞΕΩΝ ΙΣΤΟΡΙΩΔΩΝ, ΒΟΥΛΥΤΟΥ ΤΕ ΚΑΙ ΓΡΑΜΜΑΤΕΙΟΥ ΚΑΙ ΓΡΑΜΜΑΤΙΟΥ. σλαʹ.

Ὥρα ἐστὶν ὁ βουλυτὸς καθ' ἣν οἱ γῆς ἐργάται
Τοὺς βόας ἀπολύουσιν ἀρότρου καὶ τῶν ἔργων,
Καὶ πρὸς οἰκίας τὰς αὑτῶν ἔρχονται πρὸς ἑσπέραν.
Ὁ βουλυτὸς μὲν ἔγνωκας ὁποίαν ὥραν λέγει·
Γραμμάτιον δὲ μάθε νῦν καὶ τί τὸ γραμματεῖον·
Γραμμάτιον τὸ γράμμα μέν, ὁ χάρτης γραμματεῖον.

ΠΕΡΙ ΧΕΙΡΟΤΟΝΙΑΣ ΚΑΙ ΟΙΟΝ ΗΝ ΕΘΟΣ ΤΗΣ ΠΑΛΑΙΑΣ ΧΕΙΡΟΤΟΝΙΑΣ. σλβʹ.

Τὸ παλαιὸν ἢ στρατηγὸν ἢ ἄλλον τῶν ἀρχόντων
Ἂν ἔμελλον ποιήσασθαι, τὸ ὄνομα ἐκάλουν.
Ἂν οὖν τῷ δήμῳ ἀρεστὸς ἦν ὁ προβεβλημένος,
Ἦιρον οἱ πάντες δεξιὰς τὰς ἑαυτῶν εἰς ὕψος,
Εὐθύς τε προεβάλλετο εἰς τὴν ἀρχὴν ἐκεῖνος.
Τοῦτο τὸ ἔθος γίνωσκε τῆς πρὶν χειροτονίας.
Ἂν δ' οὐκ ἐνῆν τῶν ἀρεστῶν ὁ τὴν ἀρχὴν λαμβάνων,

HIST. 230.
842. Aesopi fab. 135. ed. I. G. Schneid.

HIST. 231.
848. Odyss. IX, 58.

HIST. 232.
860. In margine cd. A. *οὐκ ἦν*, unde Högero videtur scribendum, *ἂν δὲ οὐκ ἦν.*

Ἢ οὐδαμῶς ἢ καὶ βραχεῖς ἀνέτεινον τὰς χεῖρας,
Καὶ τῆς ἀρχῆς ἀνάξιος δοκῶν ἀπεκληροῦτο.
Εἰ δ' ἦν ἰσότης ἀριθμοῦ τῶν τε τεινάντων χεῖρας
Καὶ τῶν τὰς χεῖρας τὰς αὐτῶν συνόλως μὴ τεινάντων,
Σκέψις πάλιν ἐγένετο πολλάκις περὶ τούτου.

ΠΕΡΙ ΣΥΝΟΔΟΥ ΚΑΙ ΣΥΛΛΟΓΟΥ, ΤΙΝΙ ΔΙΑΦΕΡΟΥΣΙΝ. σλγ'.

Διαφορὰν συνόδου τε μάθε καὶ τοῦ συλλόγου.
Ἡ σύνοδος, συνέλευσις ἐκ πόλεων μυρίων,
Σύλλογος δὲ συνέλευσις μιᾶς πόλεως πλήθους.

ΤΙΣ ΔΙΑΦΟΡΑ ΠΑΡΑΠΛΗΓΟΣ ΚΑΙ ΜΑΙΝΟΜΕΝΟΥ ΚΑΙ ΟΝΕΙΡΟΠΟΛΟΥΝΤΟΣ ΚΑΙ ΟΝΕΙΡΩΤΤΟΝΤΟΣ. σλδ'.

Παρακοπή, μανία τε καὶ ἡ μελαγχολία,
Ἐν τίνι διαφέρουσιν, νῦν σαφεστάτως μάθε.
Παρακοπὴ καὶ σὺν αὐτῇ καὶ ἡ παραπληξία,
Παραφροσύνη τις μικρά, ὡς πυρετοῖς μετρίοις.
Ἀποπληξίαν οὐ λαλῶ νῦν καὶ ἡμιπληξίαν.
Ἔγνως τὸ τί παρακοπὴ καὶ ἡ παραπληξία.
Μελαγχολία, λογισμοῦ συνθόλωσις βαθεῖα,
Ὑπὸ μελαίνης τῆς χολῆς σκοτίζουσα τὰς φρένας,
Χαύνους ποιοῦσα καὶ δειλοὺς τοὺς ταύτῃ συσχεθέντας.
Ἡ δὲ μανία παντελεῖς φρενῶν ἐστιν ἐκστάσεις,
Ἄγριοι καὶ δυσόμιλοι πᾶσι τοῖς ἐντυχοῦσι,
Ὡς λίθους ἕλκειν, ξίφη τε καὶ πλήττειν τοὺς τυχόντας·
Καί γε σαρκῶν ἐφάπτεσθαι πολλάκις καὶ οἰκείων.
Γίνεται τοῦτο δέ, χολῆς ξανθῆς ὑπερζεσάσης.
Ἐν τούτοις διαφέρουσιν οἵσπερ τανῦν εἰρήκειν
Παρακοπὴ μανία τε καὶ ἡ μελαγχολία.
Νῦν δὲ τὸ ὀνειροπολεῖν καὶ ὀνειρώττειν μάθε.
Τὸ ὀνειρώττειν μέν ἐστι, γονορρυεῖν ὀνείροις.
Τὸ δ' ὀνειροπολεῖν ἐστιν ὀνείρους ὕπνοις βλέπειν,
Εἴτε καὶ κρίνειν τεχνικῶς ὀνείρων τὰς ἐκβάσεις.

ΠΕΡΙ ΤΟΥ, ΤΥΡΕΥΟΝΤΕΣ ΠΟΘΕΝ ΛΕΓΕΤΑΙ. σλέ.

Ἐκ Τυῤῥηνῶν τὸ πανουργεῖν τυρεύειν ὠνομάσθη.
Ἐκ τούτων καὶ τὸ τύραννος ὁμοίως ἐπεκλήθη.
Βίαιοι γὰρ οἱ Τυῤῥηνοὶ καὶ θηριώδεις ἄγαν,
Ὡς μέχρι καὶ Ἱέρωνος ἱερουργεῖν ἀνθρώπους.
Ἐκ τούτων οὖν τὸ πανουργεῖν τυρεύειν ὠνομάσθη,
Εἴτ' οὖν ἀπὸ τοῦ γάλακτος, ὅπερ τυροποιοῦμεν
Κυκῶντες καὶ συστρέφοντες, πηγνύντες τε πυτίαις.

ΛΕΞΙΣ ΙΣΤΟΡΙΩΔΗΣ, ΠΟΘΕΝ ΑΤΟΠΟΝ ΛΕΓΕΤΑΙ. σλς'.

Ἄτοπον, ἀκατάσκευον, ἀπόδειξιν μὴ ἔχον.
Τόπους τὰς ἀποδείξεις δέ φαμεν καὶ ἐργασίας,
Ἐκ τόπων οἷς οἱ κυνηγοὶ καθήμενοι λαθραίως
Τοὺς θῆρας κατεργάζονται καὶ κτείνουσι τοξείαις.
Ὅμηρος τούτους προδοκὰς τοὺς τόπους ὀνομάζει.

ΠΟΘΕΝ ΕΚΛΗΘΗ ΤΟ ΣΚΑΙΩΡΟΥΣΙΝ. σλζ'.

Σκαιὸν τὸ ἐπαρίστερον καὶ μάταιον ὑπάρχει,
Ὤρα νοεῖται δ' ἡ φροντὶς ἤγουν βουλὴ ματαία
Καὶ πᾶν κακὸν καὶ πονηρὸν ἐκ τούτου σκαιωρία,
Ἢ ἐκ πυγμάχου τοῦ σκαιοῦ νικῶντος πανουργίαις.

HIST. 235.

889. Conf. Etymol. M. s. v. τύραννος, Scholia ad Luciani Catapl. init., et quae leguntur in Sophocl. Oed. Tyr. p. XIII. Erf. edit. mai. — Pro πανουργοῦν scripsi πανουργεῖν.

895. Margo cd. A. κυκλῶντες.

HIST. 236.

897. Ἐργασίαι sunt *expositiones argumentorum.* Cf. Ernestii lex. technol. gr. rhet. s. h. v.

899. Margo cd. A. παντελῶς pro τοξείαις.

900. Iliad. IV, 107.

ΠΕΡΙ ΤΟΥ, ΜΗΔΕ ΚΑΝ ΤΟΙΣ ΚΑΚΟΙΣ ΕΙΝΑΙ ΚΑΚΟΝ. σλη'.

Χάριλλος Λάκων ἀδελφὸς ὑπῆρχε τοῦ Λυκούργου.
Ἐπαινουμένου τούτου δὲ πρὸς καλοκἀγαθίαν,
Τίς τῶν Λακώνων ἔλεξε· πῶς ἀγαθὸς τυγχάνει,
Ὁ μηδὲ τοῖς κακοῖς αὐτοῖς κακὸς κἂν ὑπηργμένος;

ΤΙΝΑ ΤΑ ΚΑΘΑΡΜΑΤΑ, Α ΚΑΙ ΦΑΡΜΑΚΟΙ. ΕΤΕΡΟΝ ΔΕ ΟΙ ΦΑΡΜΑΚΕΙΣ ΚΑΙ ΕΤΕΡΟΝ ΟΙ ΦΑΡΜΑΚΟΠΩΛΑΙ. σλθ'.

Εἰς εἰκοστὴν ἐγράφησαν καὶ τρίτην ἱστορίαν,
Πλὴν τοῦδέ σοι τοῦ πίνακος εἰς εἰκοστὴν καὶ τρίτην,
Τίς φαρμακὸς καὶ φαρμακεύς. καὶ νῦν συντόμως φράσω.
Ὁ φαρμακὸς τὸ κάθαρμα τοιόνδε τι ὑπῆρχε·
Τὸν πάντων δυσμορφότατον καύσαντες (ὥσπερ εἶπον)
Εἰς καθαρμὸν τῆς πόλεως ἐν συμφοραῖς μεγίσταις,
Τὴν τέφραν ἔρραινον αὐτοῦ πάσῃ σχεδὸν τῇ πόλει.
Τοῦτο μὲν οὖν τὸ κάθαρμα πρὶν φαρμακὸν ἐκάλουν.
Ὁ φαρμακεὺς ὁ χρώμενος φαρμάκοις εἰς τὸ κτείνειν.
Φαρμακεργάτην κάλει τε καίγε φαρμακοπώλην,
Τὸν φάρμακα σκευάζοντα καὶ πράτην τῶν φαρμάκων.

ΠΕΡΙ ΘΗΡΙΑΚΟΥ ΦΑΡΜΑΚΟΥ ΚΑΙ ΚΟΙΝΗΣ ΑΝΤΙΠΑΘΕΙΑΣ. σμ'.

Οἱ σκευασταὶ θηριακῶν φαρμάκων ἀντιδότων
Τοὺς ὄφεις καὶ ἐχίδνας τε, τὰ δηλητηριώδη,
Κρατοῦσι καὶ ἐκτέμνουσι τὰς κεφαλάς, οὐραῖα,
Μυρίοις τε ἀρτύμασι σκευάσαντες ὡς δέον
Κοινὴν τὴν ἀντιπάθειαν πᾶσιν ἐκ τούτων δρῶσιν.

HIST. 238.

905. „Charilaus fuit filius Polydectis, qui fuit frater Lycurgi. Conf. Plut. Lyc. c. 2 — 5. Adde eund. de invid. et odio §. 5. T. X. p. 188. de discr. amici et adulat. 16. T. VII. p. 179.“ *Höger.*

[illegible] καὶ τοὺς κακοὺς καὶ δολοῤῥάφους πάπας
[illegible] καὶ ἀπεργάζεσθαι κοινὰς ἀντιπαθείας.

ΠΕΡΙ ΧΟΛΩΝΤΩΝ ΤΕ ΚΑΙ ΠΑΡΑΠΑΙΟΝΤΩΝ. σμά.

Τὸ παραπαίειν ἅμα τε καί γε τὸ παρακόπτειν
Παραφροσύνη τις μικρὰ καθέστηκεν, ὡς εἶπον.
Χολᾶν, χολῇ μελαίνῃ δὲ σκοτίζεσθαι τὰς φρένας.

ΠΕΡΙ ΤΟΥ, ΟΠΟΣΟΝ ΚΟΛΟΙΟΙΣ ΒΑΣΙΛΕΙΑΣ ΚΑΘΕΣΤΗΚΕ ΜΕΛΗΣΙΣ. σμβ.

Ἐπὶ τῶν πάντῃ παντελῶς τινῶν ἀφροντιστούντων,
Τὴν παροιμίαν λέγε τις ὑπάρχουσαν τοῦ Τζέτζου·
Ποῦ γάρ ἐστι τοῖς κολοιοῖς φροντὶς τῆς βασιλείας;

ΠΑΡΟΙΜΙΑ, Η ΛΕΓΟΥΣΑ, Η ΑΕΤΟΙΣ ΤΩΝ ΝΟΜΩΝ ΤΟΥ ΠΛΑΤΩΝΟΣ. σμγ.

Ὁμοίαν δὲ καὶ ταύτην μοι τὴν παροιμίαν νόει,
Οὖσαν τοῦ Τζέτζου καὶ αὐτὴν καὶ μετ' αὐτὴν ἑτέρας·
Ποῦ γὰρ φροντὶς τοῖς ἀετοῖς τῶν Πλάτωνος δογμάτων
Καὶ νόμων τούτου πορνικῶν, ἀθέσμων, τῶν δυστόμων,
Οἳ τὰς γυναῖκας γράφουσιν εἶναι μονὰς τοῖς πᾶσιν;

ΠΑΡΟΙΜΙΑ, Η ΛΕΓΟΥΣΑ, ΚΑΙ ΤΑΙΣ ΑΗΔΟΣΙΝ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΣΥΛΛΟΓΙΣΜΩΝ. σμδ.

Καὶ ταύτην ἴσην ταῖς λοιπαῖς τὴν παροιμίαν νόει·
Συλλογισμῶν γὰρ τίς φροντίς ἐστι ταῖς ἀηδόσιν;
Εἶτα καὶ βίβλων οἰασοῦν τῶν Ἀριστοτελείων;

HIST. 243.

937. Pro μονὰς censet κοινὰς legendum esse Höger. Recte.

ΠΑΡΟΙΜΙΑ, ΕΙ ΒΟΥΛΕΙ, ΠΡΟΣΘΕΣ ΚΑΙ ΤΩΝ ΧΡΥΣΙΠΠΟΥ. σμέ.

Καὶ ταύτην Τζέτζου γίνωσκε τὴν παροιμίαν εἶναι,
Ὁμοίαν αἵσπερ ἔφημεν προτέραις παροιμίαις.
Ποῦ γὰρ φροντὶς συλλογισμῶν ἐστὶ ταῖς ἀηδόσι
Τῶν Ἀριστοτελείων τε καί γε τῶν τοῦ Χρυσίππου;
Ὅς διαλεκτικώτατος ὁ Χρύσιππος ὑπῆρχεν.

ΠΕΡΙ ΑΡΤΑΞΕΡΞΟΥ ΤΟΥ ΜΑΚΡΟΧΕΙΡΟΣ, ΠΕΡΣΙΚΩΣ ΔΕ ΤΑΝΥΟΞΑΡΚΟΥ. σμς΄.

Ὁ Ἀρταξέρξης Ἕλλησι μακρόχειρ ἐκαλεῖτο,
Ὡς μακροτέραν τῶν χειρῶν τὴν μίαν κεκτημένος.
Πέρσαι δὲ τὸν μακρόχειρά φασι τανυοξάρκην.

ΠΩΣ Η ΑΔΡΙΑΝΟΥ ΠΟΛΙΣ ΑΙΛΙΑ ΚΑΛΕΙΤΑΙ. σμζ΄.

Ἀδριανὸς Ἀδριανοῦ τοῦ Ἄφρου παῖς ὑπάρχων,
Ἐπ᾽ ἀδελφῇ Τραϊανοῦ Τραϊανῷ γαμβρεύσας
Καὶ μετὰ θάνατον αὐτοῦ λαβὼν τὴν βασιλείαν,
Κατὰ Σκυθῶν στρατεύσας τέ ποτε καὶ κυνηγήσας
Περὶ Ἀδριανοῦ πόλιν, τερφθείς τε τῇ ἀγρεύσει,
Τὸ πρὶν μικρὸν πολίχνιον κλῆσιν Ὀρεστιάδα,
Ὃ Ἀγαμέμνονος υἱὸς πρὶν ἤγειρεν Ὀρέστης,
(Ἐκεῖ λουθεὶς γὰρ ποταμοῖς ἰάθη τῆς μανίας)
Καθηρηκὼς Ἀδριανὸς ὁ βασιλεύς, ὃν ἔφην,
Ἀδριανὸς καὶ Αἴλιος, διπλῆν ἔχων τὴν κλῆσιν,
Εἰς κάλλος τε καὶ μέγεθος ἀνήγειρεν αὐξήσας,
Πόλιν Ἀδριανοῦ, πόλιν Αἰλίαν ὀνομάσας.

HIST. 247. 954. Conf. Cellar. Geogr. antiq. I. p. 1324.

ΠΑΡΟΙΜΙΑ, Η ΛΕΓΟΥΣΑ, ΥΠΕΡ ΧΡΥΣΟΝ ΚΑΙ ΤΟΠΑΖΙΟΝ. σμή.

Ἐπὶ μεγάλαις δωρεαῖς φαμὲν τὴν παροιμίαν,
Τὴν λέγουσαν, ὑπὲρ χρυσὸν καὶ τὸ τοπάζιον δέ.
Χρυσὸς γὰρ ποθεινότατον ὑπάρχει τοῖς ἀνθρώποις.
Χρυσὸς τὰ πάντα κατορθοῖ, χρυσὸς νεῦρα πολέμου,
Χρυσὸς ἀνδρεία, φρόνησις, νοῦς, κάλλος πᾶν ἀνθρώποις.
Καὶ τὰ χρυσοῦ μὲν πρόδηλα τοῖς σύμπασιν ἀνθρώποις.
Τὸ δὲ τοπάζιόν ἐστι λίθος τῶν πρασοχρόων,
Οὐχὶ λαμπρός, οὐ διαυγής, ὡς οἱ λοιποὶ τῶν λίθων,
Οἷα δὲ τὰ πρασίζοντα τυγχάνει τῶν ὀστράκων,
Οἷον πενήτων δ' ἔσθημα πλέον, πλυνθέν, πρασόχρουν.
Πρασόχρουν δ' ὄν, κοκκοβαφές, ἀέρος ἄρσει λάμπει.

ΠΕΡΙ ΤΗΣ ΕΠΙΓΡΑΦΗΣ ΤΗΣ ΠΕΡΙ ΠΡΟΘΥΡΟΙΣ ΤΟΥ ΠΛΑΤΩΝΟΣ ΤΗΣ ΜΗΔΕΙΣ ΕΙΣΙΤΩ ΑΓΕΩΜΕΤΡΗΤΟΣ. σμθ'.

Πρὸ τῶν προθύρων τῶν αὐτοῦ γράψας ὑπῆρχε Πλάτων·
Μηδεὶς ἀγεωμέτρητος εἰσίτω μου τὴν στέγην·
Τουτέστιν, ἄδικος μηδεὶς παρεισερχέσθω τῇδε·
Ἰσότης γὰρ καὶ δίκαιόν ἐστι γεωμετρία.

ΠΕΡΙ ΤΟΥ ΝΟΣΟΥΝΤΟΣ, ΤΟΥ ΥΠΕΚΣΤΑΝΤΟΣ ΕΚ ΤΗΣ ΟΙΚΙΑΣ ΑΥΤΟΥ, ΑΝΘ' ΟΥΠΕΡ Ο ΕΛΘΩΝ ΑΥΤΟΝ ΙΔΕΙΝ ΦΙΛΟΣ ΕΚΑΡΤΕΡΕΙ ΒΡΑΔΥΝΩΝ ΚΑΙ ΟΥΧ ΥΠΕΧΩΡΕΙ. σν'.

Γέγραφέ που φιλόγελως τῷ ἑαυτοῦ βιβλίῳ·
Ἄῤῥωστον ἐπισκέψασθαι παρέβαλέ τις φίλος.
Ὡς οὖν οὐκ ἐξανίστατο καὶ ὑπεχώρει ῥᾷστα,

HIST. 248.

967. Τοπάζιον pro πάζιον scripsi cum Schaefero in Ind. ad Gregor. Cor. pag. 1036. a. Vide tamen Indic. ad Chiliad. s. v. τοπάζιον.

HIST. 249.

In cd. A. in inscriptione videtur esse: ἐπὶ προθύροις.

HIST. 250.

In inscript. in cd. A. est βραδύνων pro βραδύνειν.

Ἀγανακτήσας ὁ νοσῶν ἀνίσταται τῆς κλίνης,
Κἀκείνῳ ἔῤῥωσο εἰπὼν ἀπῆλθε τῆς οἰκίας.

ΠΕΡΙ ΕΠΙΚΟΥΡΕΙΩΝ ΛΕΓΟΝΤΩΝ, ΤΟ ΜΕΛΙ ΔΕΚΑΤΗΜΟΡΙΟΝ ΑΜΒΡΟΣΙΑΣ. σνά.

Ἐξ Ἐπικούρου αἵρεσις ὑπῆρχε φιλοσόφοις
Τὴν ἡδονὴν δοξάζουσα τέλος φιλοσοφίας.
Οὗτοι τιμῶντες ἡδονὴν καὶ τὰ γλυκέα πάντα,
Τὸ μέλι μέρος δέκατον ἐκάλουν ἀμβροσίας.

ΩΣ ΗΡΟΔΟΤΟΣ ΦΗΣΙ ΠΕΡΙ ΤΗΣ ΕΥΔΑΙΜΟΝΟΣ ΑΡΑΒΙΑΣ. σνβ΄.

Ἡρόδοτος, Διόδωρος, Κτησίας, πάντες ἄλλοι,
Λέγουσι τὴν εὐδαίμονα τυγχάνειν Ἀραβίαν,
Ὥσπερ καὶ γῆν τὴν Ἰνδικὴν εὐωδεστάτην ἄγαν,
Ἀρώμασιν ἐκπνέουσαν, ὡς καὶ τὴν γῆν ἐκείνης,
Καὶ λίθους κοπτομένους δὲ ταύτης ἀρωματίζειν.
Τοὺς δὲ ἀνθρώπους τοὺς ἐκεῖ λυθέντας εὐωδίαις,
Ὀστᾶ τινὰ καὶ κέρατα καὶ φύσεις τὰς ὀζώδεις
Τότε καπνίζεσθαι λοιπὸν καὶ ἀνακτᾶσθαι πάλιν.

ΠΕΡΙ ΤΩΝ ΔΩΡΗΜΑΤΩΝ ΑΝΤΩΝΙΟΥ ΤΩΝ ΠΡΟΣ ΚΛΕΟΠΑΤΡΑΝ. σνγ΄.

Ἡ τοῦ Διονυσίου μὲν θυγάτηρ Πτολεμαίου
Καὶ Πτολεμαίου σύναιμος δέσποινα Κλεοπάτρα,
Οὖσα σοφὴ καὶ εὔγλωττος καὶ πανευμορφοτάτη,
Ὡς κάλλει πάντας θέλγειν τε καὶ φύσιν τῶν θηρίων,
Θανόντος ταύτης τοῦ πατρός, εἶχεν ἀμφισβητήσεις
Πρὸς ἀδελφὸν τὸν ἑαυτῆς περὶ τῆς βασιλείας.
Ἐπεὶ δὲ καὶ πρὸς Αἴγυπτον ἦν ἐνδημῶν ὁ Καῖσαρ,
Ὁ Καῖσαρ ὁ Ἰούλιος, ὁ Γάϊος ἐκεῖνος,

HIST. 252.
985. Herodot. III, 112. sq. Diod. Sic. II, 49. Pomponius Mela III, 8. 6. ibique interpr.

HIST. 253.
999. Καίσαρ cd. A. et hic et alibi. At casu vocat. Καῖσαρ.

CHILIAS IX.

Αὐτὸς τὴν δίκην τὴν αὐτῶν ἐδίκαζε τῷ τότε.
Ἀλλ' ὁ μὲν ταύτης ἀδελφός, αὐτὸς ὁ Πτολεμαῖος,
Εἰς βῆμα τὸ τοῦ Καίσαρος δι' ἑαυτοῦ ἐλάλει,
Ἡ Κλεοπάτρα δὲ αὐτὴ στόματι συνηγόρων.
Ἐπεὶ δ' ἡττᾶτο, θέλουσα τὴν νίκην μεταστρέψαι,
Τῷ Καίσαρι μεμήνυκεν· ἔστω γνωστόν σοι, Καῖσαρ,
Ὡς οἱ ἐμοὶ συνήγοροι τὴν δίκην προδιδοῦσιν.
Αὐτοπροσώπως οὖν αὐτὴ δι' ἐμαυτῆς σοι, Καῖσαρ,
Βούλομαι βήματι τῷ σῷ λέγειν, ἃ λέξαι θέλω.
Τοῦτο πανασμενέστατα δεξάμενος ὁ Καῖσαρ
Ἐπένευε. καὶ βήματος λαμπροῦ συγκροτηθέντος,
Ἡ βασιλὶς εἰσέρχεται πρὸς τοῦτο Κλεοπάτρα.
Καὶ κάλλους πρῶτον ἀστραπαῖς ταῖς ὑπὲρ φύσιν ταύτης
Χειροῦται πᾶν τὸ θέατρον, πάντας τοὺς δικασπόλους,
Τὸν Καίσαρα δὲ μάλιστα πάντων χειροῦται πλέον.
Ὡς δὲ σὺν κάλλους ἀστραπαῖς ἐκείνης ταῖς ἀῤῥήτοις
Λόγους ἐκίνει μελιχρούς, δικανικούς, εὐστόμους,
Ὑπὲρ τοὺς λόγους Νέστορος, ὑπὲρ ᾠδὰς κυκνείους,
Ὑπὲρ τὰ πασιθρύλλητα τῶν Σειρηνίδων μέλη,
Καταπλαγέντες σύμπαντες ἔσχον σιγὴν ἐσχάτην.
Τί τὸ ἐντεῦθεν γίνεται, τίς ἀγνοεῖ φρονούντων;
Ἔσχε δικτύοις ἔρωτος τὸν Καίσαρα τὸ πρῶτον,
Τῆς Ἀφροδίτης ἄνθεσιν ἔσχεν αὐτὸν δεσμώτην,
Δουλοῖ τὸν αὐτοκράτορα, δουλώσαντα γῆν πᾶσαν,
Νικᾷ τὴν δίκην, ἔσχηκεν ἆθλον τὴν βασιλείαν.
Μετὰ θανὴν δὲ Καίσαρος Γαΐου Ἰουλίου,
Ὡς θερμοτέρως ἥπτετο πραγμάτων Κλεοπάτρα,

---

11. In cd. A. *συγροτηθέντος*, cui superscriptum *συγχρωτιθέντος*, non, ut in marg. edit. Bas. *συγχρωτηθέντος*. Quod ego posui, expressit etiam Lacisius, *apparato*.

25. In cd. A. ut in edit. Bas. ante *τὴν δίκην* est lacuna. Excidit initium nominis quod terminatur *α*. Nam *ᾱ* remansit. Non dubitavi *νικᾷ*, quod Hoegero in mentem venit, recipere.

26. *Θανὴ* i. q. *θάνατος*, recentioris Graecitatis. Vid. Dufresn.

27. Scripsi *θερμοτέρως* pro *θερμοτέρων*.

Τοὺς Αἰγυπτίους τῆς ἀρχῆς ἐκσπῶσα τῶν Ῥωμαίων,
Αὔγουστος Ὀκταούϊος Ῥώμης κρατῶν τὰ σκῆπτρα,
Ἀνεψιὸς ὢν Καίσαρος Γαΐου Ἰουλίου,
Τὴν ἀνταρσίαν οὐδαμῶς τῶν Αἰγυπτίων φέρων,
Ἐπ' ἀδελφῇ τῇ ἑαυτοῦ κλῆσιν Ὀκταουΐᾳ
Ἔχων γαμβρὸν Ἀντώνιον, στέλλει κατ' Αἰγυπτίων,
Ὡς θραύσῃ τούτων τὴν ὁρμὴν παύσας τὴν ἀνταρσίαν.
Ὡς Κλεοπάτρα δ' ἤκουσεν Ἀντώνιον στρατεύειν
Καθ' ἑαυτῆς εἰς Αἴγυπτον μετὰ στρατοῦ μεγάλου,
Εἰκόνα πάνυ ὅμοιον γράψασα κάλλους ταύτης,
Ἐπιστολὰς δηλούσας τε ἐρᾶν τοῦ Ἀντωνίου
Ἔπεμψε πρὸς Ἀντώνιον. ὃς τῇ σκιᾷ καὶ μόνῃ
Τῇ τῆς εἰκόνος συσχεθεὶς τὴν σύζυγον ἀφῆκεν
Καὶ Κλεοπάτρας γίνεται καὶ μέρους Αἰγυπτίων
Καὶ τοῖς Ῥωμαίοις πόλεμον σὺν τούτοις συνεῤῥήγνυ.
Καὶ πρῶτα μὲν χαρίζεται τῇ Κλεοπάτρᾳ δῶρα,
Τὸν φοινικῶνα σύμπαντα τὸν τῆς Ἱεριχοῦντος,
Ὅπου καὶ τὸ πολύτιμον δένδρον ἐστὶ βαλσάμου,
Κατ' ἄλλους δὲ φυτάριον, οὐ δένδρον ὑπηργμένον.
Τὸν φοινικῶνα τοῦτόν τε καὶ χώρας δὲ μυρίας
Τῇ Κλεοπάτρᾳ δίδωσιν Ἀντώνιος τῷ πόθῳ,
Καὶ Πάρθων δὲ τὴν σύμπασαν αὐτὴν αἰχμαλωσίαν
Καὶ τοῦ Τιγράνου τὸν υἱὸν σὺν ᾐχμαλωτισμένοις.
Καὶ βασιλεῖς ἀπέσφαξεν ἕνεκα ταύτης πόσους.
Καθώσπερ καὶ τὸν Μάλχον δὲ Ἀράβων στεφηφόρον,
Κἄνπερ ὁ Ὀκταούϊος, οὐκ ἐνεγκὼν τὴν ὕβριν
Εἰς ἀδελφὴν τὴν ἑαυτοῦ κλῆσιν Ὀκταουΐαν,
Ἀντ' Ἀντωνίου μὲν αὐτοῦ λαβὼν γαμβρὸν Ἀγρίππαν,
Στρατεύματα κινήσας δὲ καὶ κατὰ γῆς καὶ στόλου,
Ἀναδραμὼν τὴν ἤπειρον, ἦλθεν εἰς τὸν Λευκάκταν,
Καὶ πόλεμον βαρύτατον ἐκείνοις συναράσσει
Κατά τε γῆν καὶ θάλασσαν, ὡς θάλασσαν μὴ πλεῖσθαι,

---

47. Pro φοινικοῦντα scripsi et hic φοινικῶνα, quod et ipsum in cd. A. extare videtur.

Μηδ' εἴκειν ναυκληρήμασι, μηδὲ ταῖς εἰρεσίαις,
Παγεῖσαν ταῖς ἐκχύσεσιν αἱμάτων ταῖς ἀμέτροις,
Τὴν γῆν δὲ πάλιν πέλαγος, ἀλλ' ἐρυθρὸν γενέσθαι,
Τῷ κατασύρειν ποταμοὺς αἱμάτων ἀκενώτους.
Τοὺς ἵππους γὰρ συνέβαινε τοὺς πολεμιστηρίους,
Αὐτοὺς τοὺς ἐπιβάτας τε πελάγει τῶν αἱμάτων
Μέχρι στηθῶν ἐννήχεσθαι· τόσος ἐῤῥύη φόνος.

Ἔτι τελούσης δ' ἐν ἀμφοῖν τῆς μάχης ἰσοῤῥόπου
Κατά τε γῆν καὶ θάλασσαν, καὶ μηδενὸς νικῶντος,
Ὁ Καῖσαρ Ὀκταούϊος ἑτεραλκῆ τὴν νίκην
Ῥωμαίοις ἐποιήσατο ταῖς καταστρατηγίαις.
Βύρσαις βοῶν γὰρ ἔστρωσε τοὺς λόφους νεοδόροις,
Καὶ δι' αὐτῶν, ὀλισθηρῶν τὴν φύσιν ὑπηργμένων,
Ὁλκάδων πλῆθος ἄπειρον πανσόφως καθελκύσας
Εἰς θάλασσαν τὴν ὄπισθεν στόλου τῶν Αἰγυπτίων,
Αἴφνης κατετροπώσατο τούτους καταπλαγέντας,
Καὶ τὸν Ἀντώνιον αὐτὸν ἡρωϊκῷ τῷ τρόπῳ
Πολλοῖς ἐνστάντα καρτερῶς ἀπέκτειναν τῇ μάχῃ·
Ζωγροῦσι Κλεοπάτραν δὲ καὶ τέκνα ταύτης δύο,
Ἄρσεν καὶ θῆλυ, Ἥλιον τῇ κλήσει καὶ Σελήνην.
Καὶ Κλεοπάτρα μὲν αὐτὴν ἀνεῖλε ταῖς ἀσπίσιν,
Αἰχμάλωτος μὴ θέλουσα πρὸς Ῥώμην ἀφικέσθαι.
Πλὴν γενομένη καὶ νεκρὰ τὸ στέφος ἦν κρατοῦσα,
Ὡς μηδὲ μετὰ θάνατον τῆς κεφαλῆς ἐκπέσῃ.
Ὁ Καῖσαρ δ' Ὀκταούϊος ἐκείνην ταριχεύσας
Τῇ ἀδελφῇ τῇ ἑαυτοῦ κατήγαγεν εἰς Ῥώμην,
Θρίαμβον μέγαν καὶ λαμπρὸν καὶ προπομπὴν ποιήσας,
Ἡλίου προπομπεύοντος αὐτοῦ καὶ τῆς Σελήνης,
Τῶν παίδων ὧν εἰρήκειμεν αὐτῆς τῆς Κλεοπάτρας.

---

63. Margo cd. A. πλημμυρεῖσθαι ποταμοῖς.
66. Idem margo ἐγκολυμβᾶν.
75. Idem εὐθὺς pro αἴφνης.
83. Coniunctivus pro optativo ἐκπέσοι est e marg. cd. A.

ΠΕΡΙ ΤΗΣ ΤΟΥ ΜΑΝΩΕ ΘΕΟΥ ΟΠΤΑΣΙΑΣ ΚΑΙ ΠΕΡΙ ΩΝ ΕΦΗ. σνδʹ.

Στεῖρα γυνὴ τῷ Μανωὲ ὑπῆρχε συνοικοῦσα.
Ἔθλιβεν οὐ μετρίως δὲ τούτους ἡ ἀτεκνία.
Ἄγγελος δὲ τῇ γυναικὶ διασάκις ἐπεφάνη
Ἐν τῷ ἀγρῷ καὶ εἴρηκε ταύτην τεκεῖν παιδίον.
Ἡ δέ φησι τῷ Μανωέ, τῷ ταύτης συνευνέτῃ.
Καὶ ὃς ἔθυσεν ἔριφον καὶ ἔθετο εἰς πέτραν.
Ὁ ἄγγελος τῇ ῥάβδῳ δὲ ἐπάταξε τὴν πέτραν
Καὶ φλὸξ ἀρθεῖσα ἐξ αὐτῆς ἀνάλωσε τὸ θῦμα.
Καὶ αὕτη τότε μὲν ἡ φλὸξ εἰς οὐρανὸν ἀνῆλθε
Καὶ μετ' αὐτῆς ὁ ἄγγελος. ὁ Μανωὲ δὲ λέγει·
Θανούμεθα, ὦ γύναιον, θεὸς ἡμῖν ἐφάνη·
Ταῦτα μὲν εἶπε Μανωὲ τῇ τότε ὀπτασίᾳ.
Μετὰ δὲ ταῦτα ἡ γυνὴ κατὰ γαστρὸς λαβοῦσα
Γεννᾷ τὸν μέγαν τὸν Σαμψὼν ὃν πᾶσα βοᾷ γλῶσσα.

ΠΕΡΙ ΜΩΣΕΩΣ ΛΑΜΠΡΥΝΘΕΝΤΟΣ ΤΗι ΘΕΟΥ ΘΕΩΡΙΑι. σνεʹ.

Ὄρει Σινᾶϊ Μωϋσῆς θεῷ προσομιλήσας,
Ὅτε κατάγειν ἔμελλε τὰς θεογράφους πλάκας,
Τῇ ὁμιλίᾳ τῇ θεοῦ καὶ πλησιάσει τούτου
Ἀῤῥήτοις ἀπαστράψεσι λαμπρύνεται τὴν θέαν,
Ὡς ἀντιβλέπειν πρὸς αὐτόν τινα μὴ κατισχύειν.
Ὅθεν παραπετάσματι τὸ πρόσωπον καλύψας
Ἑβραίοις διελέγετο. γυμνῷ γὰρ τῷ προσώπῳ
Οὐδεὶς ἁπάντων ἴσχυε πρὸς τοῦτον ἀντιβλέπειν.

HIST. 254.
89. Lib. Iud. c. 13.
HIST. 255.
103. In marg. cd. A. *Σινῶ.*
105. *τῇ* pro *τοῦ* ante *θεοῦ* e cd. A.
110. *Πρὸς* est in cd. A. In edit. Basil. deest.

ΠΕΡΙ ΣΩΦΡΟΣΥΝΗΣ ΤΟΥ ΠΟΡΦΥΡΙΩΝΟΣ ΟΡΝΕΟΥ. σνϛ'.

Ὁ πορφυρίων ὄρνεον ἄγαν ὑπάρχει σῶφρον,
Ὡς, εἰ καὶ μόνην ὄψοιτο πόρνην, εὐθέως θνήσκειν.
Ἀριστοτέλης, σὺν αὐτῷ Αἰλιανὸς καὶ ἄλλοι
Τὰ περὶ πορφυρίωνος γράφουσι τοῦ ὀρνέου.

ΛΕΞΙΣ ΙΣΤΟΡΙΩΔΗΣ, ΠΟΣΑ ΣΗΜΑΙΝΕΙ ΤΟ ΑΓΕΡΩΧΟΣ. σνζ'.

Ἡ λέξις τὸ ἀγέρωχος τρία σημαίνει ταῦτα,
Ἔνδοξον, ἀρτοζήτην τε, τὸν ὑβριστὴν σὺν τούτοις.
Ἀγέρωχον τὸν ἔνδοξον οὕτως ἐτυμολόγει,
Τὸν ἐποχούμενον ἄγαν ἐπὶ τοῦ γέρως·
Ὀχήν, τροφὴν ἀγείροντα πάλιν, τὸν ἀρτοζήτην·
Πάλιν δὲ ἀγεροίοχον, ἀγέρωχόν μοι λέγε,
Τὸν ὑβριστήν, ὀχούμενον ἄγαν ἐπὶ ἐρίδων.

ΛΕΞΙΣ ΙΣΤΟΡΙΩΔΗΣ, ΣΚΥΤΑΛΗ ΠΟΣΑ ΣΗΜΑΙΝΕΙ ΚΑΙ ΠΟΘΕΝ ΕΤΥΜΟΛΟΓΕΙΤΑΙ. σνη'.

Ἓξ τὴν σκυτάλην γίνωσκε σημαίνουσαν, ὦ μάθε·
Σκῦτος τὸ παῖον τὰς πληγὰς παίδων τῶν μανθανόντων.
Σκυτάλη καὶ ἰχθύς ἐστιν· ἐκλήθη δὲ σκυτάλη
Τῷ πληκτικῷ πανεμφερὴς οὖσα τῶν παίδων σκύτει.
Καὶ τῶν δακτύλων τὰ ὀστᾶ καλοῦνται δὲ σκυτάλαι.
Καὶ ῥάβδος δὲ τετράγωνος τῶν μαρμαρεργατούντων.
Ἐκ τοῦ τετραγωνίσματος νομίζω δὲ καὶ ταῦτα
Τῆς ἧς σκυτάλης ἔφημεν τῆς τιμωροῦ τῶν παίδων.
Καὶ πᾶσα ῥάβδος λέγεται σκύταλος καὶ σκυτάλης,

HIST. 257.

115. Scripsi ἡ λέξις. Articulus ἡ aberat. Conf. Etym. M. s. v. ἀγέρωχος.

118. Desunt duae syllabae. Forsitan versus fine excidit ἄλλων. In Etym. M. est, ἀπὸ τοῦ ἄγαν ἐπὶ τὸ γέρας ὀχεῖσθαι.

Εἴτ' ἐκ τῆς τῶν μαρμαρουργῶν ἧς προειρήκειν ῥάβδου,
Εἴτ' ἐκ τοῦ σκύζω, τὸ δηλοῦν ὀργίζομαι, κληθεῖσα,
Ἡ τὰ σκυσμοῦ καὶ τῆς ὀργῆς τλῶσα καὶ ὑπουργοῦσα.
Ἕκτη δὲ ἀξιάκουστος Λακώνων ἡ σκυτάλη,
Τὴν ἥνπερ ἐκφραστέον μοι ὡς οἷόν τε συντόμως.
Οἱ Λάκωνες πρὶν μέλλοντες ἢ στρατηγοῖς ἢ ἄλλοις
Βουλὰς μυστηριάτιδας ἐν γράμμασι σημαίνειν,
Ῥάβδον λαβόντες ἥντινοῦν τῷ μήκει βραχυτάτην,
Καὶ ἐπιμήκει δέρματι πάνυ στενῷ ὡς ζώνῃ
Τὴν ῥάβδου ἐπιφάνειαν πᾶσαν εἱλοῦντες τούτῳ
Ἔγραφον ἅπερ ἤθελον ἑλίξεσι τοῦ δέρους,
Ἃ καὶ ἀνεγινώσκοντο τοῦ δέρους εἱλιγμένου.
Τὸ σύνολον ἀνάγνωσις οὐκ ἦν δὲ τῶν γραμμάτων,
Ἂν ἐκ τῆς ῥάβδου τις αὐτῆς ἀφείλιζε τὸ δέρμα.
Πάλιν δ' ἀνεγινώσκοντο τῇ ῥάβδῳ τῇ ῥηθείσῃ,
Εἴπερ εἱλίχθη τὸ αὐτὸ δέρμα καὶ προσηρμόσθη.
Οὕτως, ὡς ἔφην, γράφοντες ἀφείλισσον τὴν ῥάβδον·
Καὶ μεθ' ἑτέρου ἔστελλον οἷς ἤθελον τὸ δέρμα,
Τὴν ῥάβδον μεθ' ἑτέρου δὲ πλὴν σὺν μεγίστῃ σκέψει.
Ἐκεῖνοι δὲ δεχόμενοι τὴν ῥάβδον καὶ τὸ δέρος,
Εἱλοῦντες ἀνεγίνωσκον, ὡς ἔφημεν καὶ πρώην.
Τοῦτο καλῶς μοι γίνωσκε Λακωνικὴν σκυτάλην,
Δέρος εἰς ῥάβδον ἑλικτόν, γράφον βουλὰς κρυφίους,
Σφενδόνης οὖσαν δύναμιν τῆς Γύγου πρὸ τοῦ Γύγου.
Ἔστι καὶ εἶδος ὄφεως ἕβδομον ἡ σκυτάλη.

ΠΕΡΙ ΤΗΣ ΜΩΣΗΛΕ ΜΟΝΗΣ. σνθ'.

Ἡ νῦν μονὴ τοῦ Μωσηλὲ τοῦ Μωσηλὲ ἦν οἶκος.
Ὃς Μωσηλὲ πρὶν στρατάρχων Βουλγάροις ἡττημένος
Τῷ πέραν μέρει τῶν πηγῶν, μέλλων φυγεῖν εἰς πλοῖον,
Ἀποτυχὼν εἰς θάλασσαν ἄνοπλος ἀπεπνίγη.
Ἐμοὶ θαυμάζειν δ' ἔπεισιν, ὅπως ἀνὴρ ἐκεῖνος

HIST. 258. 135. Vid. Interpret. ad Nepot. Paus. 3.

Θεὸς τυγχάνων θαλασσῶν, θαλάσσαις ἐθεώθη,
Τρέψας τὸ πρὶν ἐπώνυμον ὡς πρὸς φερωνυμίαν.
Καὶ γὰρ τὸ Μεσσηλὲ δηλοῖ ταῖς γοναῖς Αἰγυπτίων
Ποσειδῶ, θεὸν θαλασσῶν καὶ θεὸν τῶν ὑδάτων.

ΠΑΡΟΙΜΙΑ Η ΛΕΓΟΥΣΑ, ΚΑΤΑ ΤΟΝ ΑΙΣΩΠΟΥ ΑΕΤΟΝ ΕΜΟΙΣ ΩΚΥΠΤΕΡΟΙΣ ΤΟΞΕΥΕΙΝ ΜΕ. σξ.

Ὁ μυθογράφος Αἴσωπος τοῖς μύθοις αὐτοῦ πλάττει,
Ὡς ἀετὸς πετώμενος ἐφ' ὕψους ἐτοξεύθη.
Ἰδὼν τὰ βέλους δὲ πτερὰ τῶν ἀετείων ὄντα,
Ἐμοῖς πτεροῖς, ἐβόησεν, ἐγὼ νῦν κατεβλήθην.

ΠΕΡΙ ΙΣΑΑΚ ΚΑΙ ΗΣΑΥ ΚΑΙ ΙΑΚΩΒ. σξα.

Ὁ Ἰσαὰκ ὁ Ἀβραὰμ υἱὸς καὶ ἡ Ῥεβέκκα
Υἱὸν γεννῶσι τὸν Ἠσαῦ, τὸν Ἰακὼβ δευτέρως.
Τῶν ὢν Ἠσαῦ ὑπῆρχε μὲν δασύς τε καὶ πυῤῥάκης,
Καὶ βίον μετερχόμενος θήραν καὶ κυνηγίας.
Ὁ δ' Ἰακὼβ ἦν οἰκουρὸν τὸν βίον κεκτημένος,
Ὃς καὶ στραφέντα τὸν Ἠσαῦ νῆστιν ἐκ κυνηγίας,
Φακῆν ἕψων, ζητήσαντα, οὐκ ἔδωκεν οὐδόλως,
Ἕως εἴπε, καὶ δώῃς μοι τὰ πρωτοτόκιά σου.
Καὶ οὗτος συγκατέθετο λιμῷ νενικημένος.
Κἀκ τούτου δ' ἔσχηκε φακῆν ἀντὶ πρωτοτοκίων.
Ἐξ Ἰακὼβ ἓν πτέρνισμα, ἤτοι ἀπατημία
Πρὸς τὸν Ἠσαῦ τὸν ἀδελφὸν γέγονε τοῦτο πρῶτον.
Τὸ Ἰακὼβ δὲ πτερνιστὴς καθ' Ἕλληνας σημαίνει.
Διδύμων τικτομένων γὰρ πρῶτος Ἠσαῦ ἐξῆλθε,

HIST. 259.

161. In cd. A. videtur esse ἐθειώθη. In marg. scriptum „ἀπεπνίγη, suffocatus sit."

HIST. 261.

174. Pro accusativis στραφέντα τὸν — νῆστιν — ζητήσαντα, requiruntur dativi, coniungendi illi cum ἔδωκεν.

179. E marg. cd. A. pro ἀπάτημα.

Κατόπιν τούτου καὶ αὐτὸς τῆς πτέρνης δεδραγμένος.
Οὕτω λοιπὸν καὶ Ἰακὼβ ἐκλήθη τοῖς τεκοῦσιν.
Ἓν Ἰακὼβ τοῦ πτερνιστοῦ πτέρνισμα τοῦτο πρῶτον
Ὡς πρὸς Ἡσαῦ τὸν ἀδελφόν, τὸ τῶν πρωτοτοκίων,
Ἅπερ αὐτὸς ἀφείλετο, δοὺς τὴν φακῆν πεινῶντι.
Δεύτερον ἄλλο πτέρνισμα τὸ μεῖζον μάνθανέ μοι·
Ὁ Ἰσαὰκ ἀμβλυωπῶν ἤδη τοῖς γήρως χρόνοις
Καὶ νόσῳ συνεχόμενος πρὸς τὸν Ἡσαῦ εἰρήκει·
Τέκνον ἐμὸν πρωτότοκον, Ἡσαῦ μοι κεκλημένε,
Ἔξελθε, θήρευσον ἐμοί τι προσφιλὲς εἰς βρῶσιν,
Ὡς ἂν ἐκ τούτου βεβρωκὼς σὲ τέκνον εὐλογήσω.
Οὕτω λοιπὸν ὁ μὲν Ἡσαῦ ἐξῆλθεν ἐπὶ θήραν.
Ἡ δὲ Ῥεβέκκα τὸν Ἡσαῦ ἐν μίσει τιθεμένη,
Τὸν Ἰακὼβ δὲ στέργουσα, φησὶν ὡς πρὸς ἐκεῖνον·
Ἔξελθε πρὸς τὰ ποίμνια καὶ ἔριφόν μοι ἆξον,
Καὶ βρώματα σκευάσομαι τῷ σῷ πατρί, καὶ φάγοι,
Καὶ εὐλογίαν δώῃ σοι τοῦ ἀδελφοῦ σου, τέκνον.
Ἄγει λοιπὸν ἐρίφιον, σφάττει συντόμως τοῦτο,
Ἡ μήτηρ συνεσκεύασε τοῦτο, παντοίαν βρῶσιν.
Τὸ δέρμα τοῦ ἐρίφου δὲ τῷ Ἰακὼβ καλύπτει
Τὰς χεῖρας καὶ τὸν τράχηλον, ἵν' ὡς Ἡσαῦ δεχθείη.
Καὶ δὴ λαβὼν τὰ βρώματα φέρει πρὸς τὸν πατέρα,
Εἰπών, ἰδοῦ πεπλήρωκα, πάτερ, τὸν σὸν τὸν πόθον.
Φαγὼν οὖν ἐπευλόγει με, πλήρου τὰς ὑποσχέσεις.
Ὁ δὲ χειρῶν ἁψάμενος καὶ τοῦ τραχήλου τοῦδε,
Κεκαλυμμένου δέρματι, ὡς ἔφην, τοῦ ἐρίφου,
Οὕτω πως ἀναφθέγγεται καὶ λέγει πρὸς ἐκεῖνον·
Ἡ μὲν φωνὴ τοῦ Ἰακώβ, αἱ χεῖρες τοῦ Ἡσαῦ δέ.
Ὅμως ἐκεῖνον ὡς Ἡσαῦ εὐλόγησε τῷ τότε.
Ὡς δὲ Ἡσαῦ ἐσύστερον ἦλθε μετὰ τῆς θήρας,
Κλαίων καὶ ὀδυρόμενος περὶ τῆς εὐλογίας,
Εἶπε πρὸς τοῦτον ὁ πατήρ· πᾶσαν τὴν εὐλογίαν
Τῷ ἀδελφῷ σου δέδωκα δόλοις τοῖς τῆς μητρός σου.

211. In marg. cd. A. ηὐλόγησε.

ΠΕΡΙ ΙΣΤΙΑΙΟΥ ΚΑΙ ΑΡΙΣΤΑΓΟΡΑ, Η ΚΑΙ ΕΓΓΡΑΦΗ. σξβ'.

Ὁ Ἱστιαῖος γένει μὲν Μιλήσιος ὑπῆρχε.
Δαρείῳ συστρατεύσας γὰρ Ξέρξου πατρὶ πρὸς Σκύθας,
Ἐπεὶ φιλίαν καθαρὰν ἐτήρησε τοῖς Πέρσαις,
Παρὰ Δαρείου δωρεὰν ἔσχε Μυρκῖνον κτίζειν,
Ἥτις Μυρκῖνος Ἠδωνὸς πρότερον ἐκαλεῖτο.
Ὁ Πέρσης δ' ὁ Μεγάβυζος στραφεὶς ἐκ Παιονίας,
Δαρεῖον πείθει, μηδαμῶς κτίζειν ἐᾶν Μυρκῖνον,
Ἀλλὰ πρὸς Σοῦσα μεθ' αὑτοῦ λαβεῖν τὸν Ἱστιαῖον.
Ὁ Ἱστιαῖος τὸ λοιπὸν τῷ πόθῳ τῆς πατρίδος,
Ὡς ἂν εἰς ταύτην ἐκ Περσῶν ἀποσταλείη πάλιν,
Τοιῷδε μηχανήματι στάσεις δεινὰς ἐγείρει.
Λαβὼν οἰκέτην ἔξυρε τὴν κεφαλὴν ἐκείνου,
Γράφει τε γράμματα στικτά. κομάσαντα δὲ πάλιν
Πέμπει τοῦτον εἰς Μίλητον πρὸς τὸν Ἀρισταγόραν,
Ὃς ἦν γαμβρός, ἀνεψιὸς ὁμοῦ τοῦ Ἱστιαίου.
Ξύρας δὲ τοῦτον καὶ αὐτὸς καὶ ἀναγνοὺς ὡς χάρτην,
Τὰς Ἑλληνίδας ἐκ Περσῶν πάσας ἀφίστα πόλεις,
Καὶ Ἀθηναίους ἔπεισε τὰς Σάρδεις ἐκπορθῆσαι.
Δαρείου τοῖς συμβᾶσι δὲ μεγάλως ἀθυμοῦντος,
Σατράπης Πέρσης παρεστὼς τις λέγει τῷ Δαρείῳ·
„Ἀργαλεὸν δέ μοί ἐστι θεὸν ὥς πάντ' ἀγορεῦσαι·
„Τοῦτο μὲν τὸ ὑπόδημα ἔρραψεν Ἱστιαῖος,
„Ῥαφὲν δὲ ὑπεδήσατο αὐτὸ Ἀρισταγόρας·“
Τουτέστι, τὴν ὑπόθεσιν δέδωκεν Ἱστιαῖος,
Ἐς τέλος δ' ἐξεπέρανεν αὐτὴν Ἀρισταγόρας.

HIST. 262.

217. Immo *Σκύθας*. Vid. Herodot. IV, 137. V, 11. 23. 24. 35. sqq. 97. sqq. VI, 1. *Höger*. Erat in textu *Πέρσας*, quod haud dubie e versu proximo irrepserat.

219. In textu cd. A. *επί*, in margine *ἐπί*: *περί*. In edit. Bas. *περί*. Reposui *παρά*.

237. Est dictum ab Artapherna Histiaeo, non Dario. Vid. Valck. ad Herodot. VI, 1. *Höger*.

Παρὰ Δαρείου τέλος δὲ σταλεὶς ὁ Ἱστιαῖος,
Ὑπεσχημένος σύμβασιν τῶν πόλεων ποιῆσαι,
Γῆν τὴν Περσίδα παρεικὼς ἔῤῥειν καὶ γῆν τὴν Σοῦσαν,
Ἐν τῇ πατρίδι τὸ λοιπὸν τοῖς φίλοις διῃτᾶτο.
Τὴν τελευτὴν εἰ θέλεις δὲ μαθεῖν τοῦ Ἱστιαίου,
Ἔχεις πλατέως ὄπισθεν ταῖς πρώην ἱστορίαις,
Εἰς ἐνενηκοστὸν ἕκτον βαθμὸν παρεγκειμένην.

ΠΕΡΙ ΤΟΥ ΓΙΝΕΣΘΕ ΦΡΟΝΙΜΟΙ ΩΣ ΟΙ ΟΦΕΙΣ, ΑΛΛΩΣ ΕΡΜΗΝΕΥΘΕΙΣΑ ΠΑΡ' ΕΜΟΥ, ΧΑΡΙΕΝΤΩΣ ΚΑΙ ΑΣΤΕΙΩΣ, ΚΑΤΑ ΜΕΘΟΔΟΝ ΔΕΙΝΟΤΗΤΟΣ, ΠΡΟΣ ΤΟ ΕΜΟΙ ΣΥΜΦΕΡΟΝ. σξγ'.

Ἐν ταῖς γραφαῖς ταῖς ἱεραῖς ταῖς τῶν εὐαγγελίων
Χριστός φησί που πρὸς αὐτοὺς τοὺς μαθητὰς καὶ πάντας·
„Γίνεσθε ὡς οἱ ὄφεις μὲν φρόνησιν κεκτημένοι,
„Ἀκέραιοι δὲ γίνεσθε ὡς αἱ περιστεραί μοι.
Τοῦτο δηλοῖ καὶ λέγει δὲ χωρίῳ τῷ ἐκεῖσε·
Τὰς σφῶν τηρεῖτε κεφαλάς, καθάπερ καὶ ὁ ὄφις,
Ὃς ἐπιβουλευόμενος, τυπτόμενος εἰς φόνον,
Παντοιοτρόπως κεφαλὴν τὴν ἑαυτοῦ συγκρύπτει.
Οὕτως ὑμεῖς, ἀπόστολοι, καὶ εὐσεβὴς δὲ σύμπας,
Τυράννοις τιμωρούμενοι καὶ ἀσεβῶν τῷ γένει,
Τὴν κεφαλὴν φρουρεῖτέ μοι, πίστιν τὴν ἡμετέραν,
Καὶ μὴ θεὸν ἀρνήσησθε μέχρις αὐτοῦ θανάτου.
„Ἀκέραιοι δὲ γίνεσθε, ὡς αἱ περιστεραί μοι.
Καὶ τοῦτο πάλιν τὸ αὐτὸ δηλοῖ τε καὶ σημαίνει.
Ἀκέραιοι γὰρ λέγονται περιστεραὶ τοιῷσδε,
Φρόνιμοι, ὥσπερ λέγεται περιστερὰ τοῦ Νῶε,
Ἀπολυθεῖσα ὑπ' αὐτοῦ κατακλυσμοῦ τῷ χρόνῳ
Καὶ πάλιν ὑποστρέψασα πρὸς κιβωτὸν τὴν Νῶε.

HIST. 263.
248. Matth. X, 16.

259. In marg. ed. A. *θεοῦ.*

ΠΕΡΙ ΙΣΤΙΑΙΟΥ ΚΑΙ ΑΡΙΣΤΑΓΟΡΑ, Η ΚΑΙ ΕΓΓΡΑΦΗ. σξβ'.

Ὁ Ἱστιαῖος γένει μὲν Μιλήσιος ὑπῆρχε.
Δαρείῳ συστρατεύσας γὰρ Ξέρξου πατρὶ πρὸς Σκύθας,
Ἐπεὶ φιλίαν καθαρὰν ἐτήρησε τοῖς Πέρσαις,
Παρὰ Δαρείου δωρεὰν ἔσχε Μυρκῖνον κτίζειν,
Ἥτις Μυρκῖνος Ἠδωνὸς πρότερον ἐκαλεῖτο.
Ὁ Πέρσης δ' ὁ Μεγάβυζος στραφεὶς ἐκ Παιονίας,
Δαρεῖον πείθει, μηδαμῶς κτίζειν ἐᾶν Μυρκῖνον,
Ἀλλὰ πρὸς Σοῦσα μεθ' αὐτοῦ λαβεῖν τὸν Ἱστιαῖον.
Ὁ Ἱστιαῖος τὸ λοιπὸν τῷ πόθῳ τῆς πατρίδος,
Ὡς ἂν εἰς ταύτην ἐκ Περσῶν ἀποσταλείη πάλιν,
Τοιῷδε μηχανήματι στάσεις δεινὰς ἐγείρει.
Λαβὼν οἰκέτην ἔξυρε τὴν κεφαλὴν ἐκείνου,
Γράφει τε γράμματα στικτά. κομάσαντα δὲ πάλιν
Πέμπει τοῦτον εἰς Μίλητον πρὸς τὸν Ἀρισταγόραν,
Ὃς ἦν γαμβρός, ἀνεψιὸς ὁμοῦ τοῦ Ἱστιαίου.
Ξύρας δὲ τοῦτον καὶ αὐτὸς καὶ ἀναγνοὺς ὡς χάρτην,
Τὰς Ἑλληνίδας ἐκ Περσῶν πάσας ἀφίστα πόλεις,
Καὶ Ἀθηναίους ἔπεισε τὰς Σάρδεις ἐκπορθῆσαι.
Δαρείου τοῖς συμβᾶσι δὲ μεγάλως ἀθυμοῦντος,
Σατράπης Πέρσης παρεστώς τις λέγει τῷ Δαρείῳ·
„Ἀργαλεὸν δέ μοί ἐστι θεὸν ὡς πάντ' ἀγορεῦσαι·
„Τοῦτο μὲν τὸ ὑπόδημα ἔῤῥαψεν Ἱστιαῖος,
„Ῥαφὲν δὲ ὑπεδήσατο αὐτὸ Ἀρισταγόρας·"
Τουτέστι, τὴν ὑπόθεσιν δέδωκεν Ἱστιαῖος,
Ἐς τέλος δ' ἐξεπέρανεν αὐτὴν Ἀρισταγόρας.

HIST. 262.

217. Immo *Σκύθας*. Vid. Herodot. IV, 137. V, 11. 23. 24. 35. sqq. 97. sqq. VI, 1. *Höger*. Erat in textu *Πέρσας*, quod haud dubie e versu proximo irrepserat.

219. In textu cd. A. *επί*, in margine *ἐπί*: *περί*. In edit. Bas. *περί*. Reposui *παρά*.

237. Est dictum ab Artapherna Histiaeo, non Dario. Vid. Valck. ad Herodot. VI, 1. *Höger*.

Παρὰ Δαρείου τέλος δὲ σταλεὶς ὁ Ἱστιαῖος,
Ὑπεσχημένος σύμβασιν τῶν πόλεων ποιῆσαι,
Γῆν τὴν Περσίδα παρεικῶς ἔῤῥειν καὶ γῆν τὴν Σούσων,
Ἐν τῇ πατρίδι τὸ λοιπὸν τοῖς φίλοις διῃτᾶτο.
Τὴν τελευτὴν εἰ θέλεις δὲ μαθεῖν τοῦ Ἱστιαίου,
Ἔχεις πλατέως ὄπισθεν ταῖς πρώην ἱστορίαις,
Εἰς ἐνενηκοστὸν ἕκτον βαθμὸν παρεγκειμένην.

ΠΕΡΙ ΤΟΥ ΓΙΝΕΣΘΕ ΦΡΟΝΙΜΟΙ ΩΣ ΟΙ ΟΦΕΙΣ, ΑΛΛΩΣ ΕΡΜΗΝΕΥΘΕΙΣΑ ΠΑΡ' ΕΜΟΥ, ΧΑΡΙΕΝΤΩΣ ΚΑΙ ΑΣΤΕΙΩΣ, ΚΑΤΑ ΜΕΘΟΔΟΝ ΔΕΙΝΟΤΗΤΟΣ, ΠΡΟΣ ΤΟ ΕΜΟΙ ΣΥΜΦΕΡΟΝ. σξγ'.

Ἐν ταῖς γραφαῖς ταῖς ἱεραῖς ταῖς τῶν εὐαγγελίων
Χριστός φησί που πρὸς αὐτοὺς τοὺς μαθητὰς καὶ πάντας·
„Γίνεσθε ὡς οἱ ὄφεις μὲν φρόνησιν κεκτημένοι,
„Ἀκέραιοι δὲ γίνεσθε ὡς αἱ περιστεραί μοι.
Τοῦτο δηλοῖ καὶ λέγει δὲ χωρίῳ τῷ ἐκεῖσε·
Τὰς σφῶν τηρεῖτε κεφαλάς, καθάπερ καὶ ὁ ὄφις,
Ὃς ἐπιβουλευόμενος, τυπτόμενος εἰς φόνον,
Παντοιοτρόπως κεφαλὴν τὴν ἑαυτοῦ συγκρύπτει.
Οὕτως ὑμεῖς, ἀπόστολοι, καὶ εὐσεβὴς δὲ σύμπας,
Τυράννοις τιμωρούμενοι καὶ ἀσεβῶν τῷ γένει,
Τὴν κεφαλὴν φρουρεῖτέ μοι, πίστιν τὴν ἡμετέραν,
Καὶ μὴ θεὸν ἀρνήσησθε μέχρις αὐτοῦ θανάτου.
„Ἀκέραιοι δὲ γίνεσθε, ὡς αἱ περιστεραί μοι.
Καὶ τοῦτο πάλιν τὸ αὐτὸ δηλοῖ τε καὶ σημαίνει.
Ἀκέραιοι γὰρ λέγονται περιστεραὶ τοιώςδε,
Φρόνιμοι, ὥσπερ λέγεται περιστερὰ τοῦ Νῶε,
Ἀπολυθεῖσα ὑπ' αὐτοῦ κατακλυσμοῦ τῷ χρόνῳ
Καὶ πάλιν ὑποστρέψασα πρὸς κιβωτὸν τὴν Νῶε.

HIST. 263.
248. Math. X, 16.

259. In marg. cd. A. θεοῦ.

Καὶ πᾶσα δὲ περιστερὰ εἰ γεννηθῇ οἰκίᾳ,
Ἐκ ταύτης οὐκ ἀποφοιτᾷ, εἰ μὴ ὑπάρχει νόθη,
Καὶ μὴ τεχθεῖσα ἐν αὐτῇ, ἀλλ' ἄλλοθεν ἀχθεῖσα.
Τὰ ἱερὰ μὲν λόγια οὕτω τηρεῖν κελεύει
Τὴν κεφαλὴν τὴν ἑαυτῶν, ἤγουν ἡμῶν τὴν πίστιν.
Ἐγὼ τηρεῖν δὲ κεφαλὴν εἶπον ἀστείῳ λόγῳ,
Μεθόδῳ τε δεινότητος, ῥητορικῷ τῷ τρόπῳ,
Τὰς κεφαλὰς καὶ τοὺς ἡμῶν αὐθέντας καὶ δεσπότας
Τηρεῖν, μὴ ὑποκλέπτεσθαι καὶ ἀπατᾶσθαι δόλοις
Τοῖς τῶν κλεπτσαγίων τε καὶ τζουριχοαγίων,
Τοὺς οὓς ἐχειροτόνησαν, ὠνόμασαν ἁγίους
Ἄνθρωποι ἀλιτήριοι, ὁμότροποι ἐκείνοις.

ΠΕΡΙ ΤΟΥ, ΜΗ ΓΙΝΟΥ ΦΡΟΝΙΜΟΣ ΠΑΡΑ ΣΑΥΤΩι. σξδ'.

Τοῦτό φησιν ὁ Σολομῶν, παιδεύων τοὺς ἀνθρώπους,
Μὴ αὐτοβούλους γίνεσθαι καὶ τῶν αὐταρεσκούντων,
Χρᾶσθαι δὲ συμβουλεύουσιν. ἐγὼ δ' εἰρήκειν τοῦτο,
Ἀνθ' οὗ γράφων ἐξήγησιν Ὁμήρου τῇ Αὐγούστῃ,
Ἔχουσαν καὶ μετάφρασιν ἡμαξευμένοις στίχοις,
Πρῶτον μὲν τετραδίσκια τῶν σμικροτάτων γράφων,
Ἑνὸς ἑκάστου ἀπ' αὐτῶν μὴ πλέον τι χωροῦντος
Ὀκτὼ καὶ ὀγδοήκοντα στίχων σὺν διηκάδι,
Τῷ καθ' ἓν ἐλάμβανον δώδεκα τῶν χρυσίνων,
Χρυσίνων νομισμάτων δέ, πλὴν ἐκ λευκοῦ χρυσίου.
Ἐπεὶ πυκνοῦν δὲ μηνυθεὶς τοὺς χάρτας πρὸς ὀλίγον
Τῷ ἐπὶ διοικήσεων τελοῦντι τῆς Αὐγούστης,
Λαβὼν δέ τι τετράδιον μέγιστον ἐγγράφειν

---

268. E marg. cd. A. pro *ἀχθείη*.

HIST. 264.

283. *τετραδίσκιον*, *τετράδιον*, *τετράς*, significant quaternionem, quaterna folia simul iuncta.

285. Lacisius vertit *cum margine*. Mihi videtur *διηκάδι* corruptum esse.

290. Schwarz. de ornamentis librorum p. 160. putat Tzetzam significare voluisse, se *in magno quodam quaternione* singulas paginas *per ternas columnas* scripsisse.

Τριπαγισμοῖς ἐν στιχισμοῖς τετράδια ὡς δέκα.
Ὃ δὲ καὶ τὸ δεκάπλασμα ἴσον ἁπλῷ ἐδόκει,
Καὶ μᾶλλον δὲ καὶ ἔλαττον, εἶτε καὶ ὡς οὐδέν τι.
Λαβὼν γάρ ταῦτά μοι, οὐδὲν ἐκεῖνος ἀπεστάλκει.
Γράφε δὲ γράφε συνεχῶς, ἐμήνυε καὶ μόνον,
Καὶ μετὰ τὴν συμπλήρωσιν σχῆς δωρεὰς ὁποίας.
Πρὸς τὸ αὐτοῦ κληρόψυχον ἔγραψα τὰ γραφέντα.

ΠΕΡΙ ΑΛΙΤΗΡΙΩΝ, ΠΟΘΕΝ ΕΚΛΗΘΗΣΑΝ. σξέ.

Λιμός ποτε κατέσχηκε μεγίστη καὶ Ἀθήνας,
Ὡς περιτρέχειν πανταχοῦ τοὺς δραστηριωτέρους,
Εἴ πως ἐκείνοις ἀκουσθῇ ψόφος ἀλοῦσης μύλης.
Εὐθὺς γὰρ παρεισρέοντες ἐν ἀκαθέκτῳ ῥύμῃ,
Τὰ ἄλια καὶ ἄλευρα ἥρπαζον ἐκ τηρούντων.
Ἐκ τούτων ἀλιτήριος καλεῖται πᾶς κακοῦργος.

ΛΕΞΕΩΝ ΔΙΑΦΟΡΑ, ΤΙ ΔΙΑΦΕΡΕΙ ΠΑΧΥΣ ΚΑΙ ΠΑΧΗΣ. σξς'.

Παχὺς μὲν ὁ ἀνόητος κυρίως κλῆσιν φέρει.
Πάχης δὲ ὁ κατάσαρκος καὶ πιμελὴς καλεῖται.
Ἐμοὶ δὲ ὁ κατάσαρκος, ὡς καὶ Ἀριστοφάνει,
Παχὺς κατονομάζεται, καὶ ὁ ἀνόητος δέ.
Ὁ γὰρ παχὺς ἀνόητος τῶν φυσικῶν τοῖς λόγοις.
Τῶν ἔξω γὰρ οἱ σύμπαντες, πολλοὶ δὲ καὶ τῶν ἔσω,
Εἱρκτήν φασι καὶ φυλακὴν ψυχῆς εἶναι τὸ σῶμα.
Ἂν οὖν τὸ σῶμα πέφυκε παχὺ καὶ πιμελῶδες,
Εἴργει δὲ ὄμμα τῆς ψυχῆς τῶν νοητῶν τι βλέπειν·
Ἂν δέ γε κάτισχνόν ἐστιν, οὐ κατειργνύει τόσον,

HIST. 265.

298. Plutarch. de curios. §. 16. T. X. p. 148. Hutt.

302. Ἄλια mihi videtur corruptum ex ἄλφιτα. Lacisius vertit *quae molebantur.*

HIST. 266.

304. In inscriptione pro τί margo cd. A. habet τίνι.

Ἀλλ' ἀπολαύει νοητῶν ἔνδον ἀπαυγασμάτων,
Ὥσπερ ἐπαπολαύει τις ἡλίου σελασμάτων,
Ἂν ἔνδον εἴργνυται φρουρᾶς ὑέλῳ πεφραγμένης,
Εἴτε πετεύροις, ἢ δοραῖς, εἴτε τοιούτοις ἄλλοις.
Οὕτω καὶ ὁ ἀνόητος καὶ πιμελὴς ὁμοίως
Παχὺς κατονομάζεται ἐμοί τε καὶ ἑτέροις.
Πάχης δὲ Ἀθηναίων τις ὑπῆρχε στρατηγέτης.

ΠΕΡΙ ΤΟΥ, Ο ΜΗ ΕΙΣΕΡΧΟΜΕΝΟΣ ΔΙΑ ΤΗΣ ΘΥΡΑΣ, ΑΣΤΕΙΩΣ ΕΡΜΗΝΕΥΘΕΝ. σξζ'.

Θύρα, τὸ θεῖον δίδαγμα τὸ τῶν εὐαγγελίων,
Δι' ἧς ὁδὸς τοῖς θέλουσιν εἰς ἄνω βασιλείαν.
Ὁ γοῦν μὴ εἰσερχόμενος διὰ τῆς θύρας ταύτης,
Κλέπτης τυγχάνει καὶ λῃστὴς καὶ τῶν ἀσεβεστάτων,
Ψυχὰς ληΐζων εὐσεβῶν καὶ δαίμοσι παρέχων.
Θύρα μὲν αὕτη ταῖς γραφαῖς ἐστὶ ταῖς θειοτέραις.
Ἐγὼ δ' ἀστείως εἴρηκα τῶν μοναστῶν τοὺς νόμους
Θύραν τῶν ζώντων, μᾶλλον δὲ σεμνῶς, ἐν κοινοβίῳ.
Μὴ διὰ θύρας βαίνειν δὲ λέγω τοὺς κλεπταββάδας
Χωστούς, ἐγκλείστους, ἕλκοντας θηρία, στηλοβάτας,
Πάντας ὅσοι παρὰ τὰ νόμιμα δρῶσι τῶν βίων,
Καὶ τῶν μονοτροπούντων δὲ πλὴν ἐν ἐρήμου τόποις.

ΠΕΡΙ ΤΟΥ, ΘΗΡΑΣ ΕΛΚΩΝ ΩΣΠΕΡ ΟΡΦΕΥΣ. σξή.

Ὀρφεὺς ἦν Θρᾷξ ἐξ Ὀδρυσσῶν, πατρίδος Βισαλτίας,
Ὑπερτερῶν τῶν μουσικῶν πάντων, ὧν φάος εἶδεν,
Ὡς λίθους, θῆρας, καὶ φυτὰ καὶ πᾶσαν θέλγειν φύσιν

---

320. Cf. Thucyd. III, 18.

HIST. 267.

330. Erat *στελοβάτας.*

332. Erat *τρόποις.* Etiam Lacisius habet *locis.*

HIST. 268.

334. In marg. cd. A. *οὗς* pro *ὧν*, et in margine cod. etiam *φάος* pro *βίος.*

Τῇ μουσικῇ τῇ ἑαυτοῦ, καὶ καθελκύειν ταῦτα.
Ταῖς πρὶν εὕρῃς δωδέκατον ταύτην τὴν ἱστορίαν.

ΠΕΡΙ ΤΟΥ, ΜΗ ΔΕΧΕΣΘΑΙ, ΑΛΛ' ΑΠΟΠΕΜΠΕΙΝ ΕΞ ΟΠΙΣΩ. σξθ'.

Τὸ σχῆμα τοῦτο κόλλησις τοῖς ῥήτορσι τυγχάνει.
Αὕτη δ' ἐστὶν ἡ κόλλησις, χρῆσις ἐξ Ἡσιόδου,
Μεθόδῳ μοι δεινότητος ῥηθεῖσα συμφερόντως.
Ἐκεῖ Πανδώραν γὰρ αὐτός φησιν ἐξαποπέμπειν·
Ἐγὼ τὰ διλιτραῖα δὲ μῆλα τῶν κλεπταββάδων.
Τί δὲ ἡ παρῳδία τε καὶ κόλλησις, εἰρήκειν,
Εἰς τῶνδε τὴν ἑκατοστὴν ἑξηκοστὴν ἐννάτην.

ΧΡΗΣΙΣ ΕΞ ΗΣΙΟΔΟΥ, ΑΣΤΕΙΑ ΛΟΓΙΚΗ ΧΡΕΙΑ ΓΕΓΟΝΥΙΑ ΤΩι ΤΖΕΤΖΗι. σο'.

Μή πού τι γένηται κακὸν θνητοῖσιν, ὁ Ἀσκραῖος
Εἶπε, μὴ βλάβη γένηται θνητοῖς ἐκ τῆς Πανδώρας.
Ἐγὼ δὲ τὰ λιτρόμηλα καὶ διλιτρόμηλα δὲ
Τῶν κλεπταββάδων ὄπισθεν εἰρήκειν ἀποπέμπειν,
Μή που κακόν τι γένηται, ἀποθανεῖν ἀμήλους,
Ὅσοι λίτρας μὴ κέκτηνται, μηλάββαδα ὠνεῖσθαι.
Τοῦτο δ' ἀστεία, λογικὴ χρεία τυγχάνει πάντως.
Ἐρεῖ γάρ τις εὐτράπελος ἄνθρωπος τῶν ἀστείων,
Τὰ κλεπταββάδων ἔφασκε λιτρόμηλα ὁ Τζέτζης
Στρέφειν, μὴ θάνοι ἄμηλος πᾶς ἄλιτρος ἀνθρώπων.

ΠΕΡΙ ΤΟΥ ΟΥΤΕ ΤΙ ΜΑΝΤΙΣ ΕΩΝ ΟΥΤ' ΟΙΩΝΩΝ ΣΑΦΑ ΕΙΔΩΣ. σοα'.

Ἀπόφθεγμα παρέλειψας ῥηθέν μοι τῶν ἀστείων,
Κείμενον ταῖς ἐπιστολαῖς, ὃ πρότερον λεκτέον,
Καὶ μετ' αὐτὸ τὸν μάντιν δὲ καὶ τὸν οἰωνοσκόπον.

HIST. 269.
341. Ἐργ. 76.
HIST. 270.
345. Ἐργ. 77.

HIST. 271.
355. Odyss. I, 202.

[illegible] ψαλλόντων,
[illegible]ίοισι,
[illegible] τοῦ δικαίου·
[illegible]
[illegible] ὅπως
[illegible] ἄλλον
[illegible]
[illegible]
[illegible]
[illegible] προσφέρω
[illegible]
[illegible]
[illegible]
[illegible] βίβλου,
[illegible]
[illegible] φίλος,
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]

[illegible] ΞΕΡΞΟΥ
[illegible]

[illegible] παῖδες.
[illegible]
[illegible] Ἑλλάδος
[illegible] παῖδες,
[illegible]

---

362. Ἔργ. 363. sqq.

366. ἔγω velut ab ἄγω, vix [illegible].

[illegible]
In inscript. [illegible] pro ψιλ[illegible] ed. A. Vid. Lobeck. ad Phrynich. p. [illegible]

ΠΕΡΙ ΤΟΥ ΙΞΙΟΝΟΣ ΤΡΟΧΟΥ. σογ'.

Ἰξίων ὁ Φλεγύου παῖς, ὢν Λαπιθῶν ἐκ γένους,
Ἔσχε πρὸς γάμον σύνευνον Δίαν Δηϊονέως,
Ἄλλοις Ἠϊονέως δέ, παρὲξ γραφῆς τοῦ δέλτα.
Οὗτος ποιήσας ὄρυγμα καὶ πῦρ ὑποστορέσας
Καὶ συγκαλύψας ἄνωθεν τὴν ὀρυγὴν δολίως,
Τὸν πενθερὸν κατέπρησεν, ἕδνα ζητοῦντα τούτῳ.
Πρῶτος συγγενοκτόνος δὲ γενόμενος ἐμάνη.
Σωφρονισθεὶς μετέπειτα φεύγει τοῦ φόνου χάριν,
Καὶ πρὸς τὸν Δία προσελθὼν καθαίρεται τοῦ φόνου.
Ἠράσθη καὶ τῆς Ἥρας δέ, βιάζειν ἐπιχειρεῖ.
Εἰπούσης Ἥρας δὲ Διῒ τὴν τόλμαν τὴν ἐκείνου,
Ὁ Ζεὺς θέλων διάπειραν λαβεῖν τῆς ἀληθείας,
Ἥρᾳ νεφέλην εἴκασε καὶ συγκατάγει τούτῳ.
Ὃς τῇ νεφέλῃ συμμιγεὶς ἐν σχήματι τῆς Ἥρας
Ἔσχηκε παῖδα Κένταυρον, ἄνθρωπον τῶν δυσμόρφων,
Ὃς ἵπποις Μαγνητίδεσιν ἐν τόποις τοῦ Πηλίου
Μιγνύμενος ἐγέννησεν ἱππομιγεῖς Κενταύρους,
Ὡς Πίνδαρός τε γέγραφε καὶ σύμπας μυθογράφος.
Τῆς τόλμας ταύτης δ' ἕνεκα Ἰξίων ἐν τῷ Ἅιδῃ
Ἐν σιδηρῷ στρεβλούμενος τροχῷ ποινηλατεῖται.
Μῦθοι μὲν ταῦτα παλαιῶν, ψυχὰς κηλοῦντες νέων.
Μεγάλα δ' ἁβρυνόμενός τις ἐν ἀλληγορίαις,
Παλαίφατος φιλόσοφος, ἐκ Στωϊκῶν τοῦ γένους,
Μηδὲν δὲ λέγων μηδαμῶς τῶν ἐπαξίων λόγου,
Πλὴν μόνον ἐν Ἀλκήστιδι, κἂν τούτῳ δὲ τῷ μύθῳ
Τἆλλα παρῆκεν ἅπαντα, τὴν Ἥραν καὶ τὸν Δία,
Μῖξιν νεφέλης, Κένταυρον καὶ κλῆσιν τὴν Κενταύρου,

HIST. 273.

387. Cf. Wessel. ad Diod. Sic. IV, 69. pag. 314. Schol. Apollon. Rhod. III, 62.

393. Cd. A, in textu τὴν Δίαν. Non dubium quin τὸν Δία verum sit.

402. Pindar. Pyth. II, 83. Heyn.

408. ουδαμῶς (μη supra) cd. A.

92—439.

ἔργα δὲ τὰ Κυταί...

...κοντα Πελασγ...

...θοῦσαν,

[illegible]

...ρέοντες

...δὲ τοῦτο.

...ἀλλ' ἄρ' ἐφρίσσον)

...τὸν ὁρῶντα.

...ουντες.

...δέ σε λέγω,

...τοὺς ἑταίρους.

...λέγεις.

...Ἑλλήνων.

...τῇ Ἑλλήνων,

[illegible]

Ὅπως ψευστάζεις καὶ λαλεῖς οὐδὲν ἠκριβωμένως.
Ἄκουε δὲ καὶ μάνθανε πάντα σαφῶς ἐκ Τζέτζου,
Σύ τε καὶ πᾶς βουλόμενος. οὐκ ἀπεικὸς γὰρ τοῦτο,
Εἴ τις ἐν βίῳ ψεύδοιτο, μανθάνειν ἐν τῷ Ἅιδῃ,
Κἂν γέρων, κἂν φιλόσοφος, κἂν Στωϊκὸς τυγχάνῃ.

Ὅτι μὲν ἐπυρόλησε τὸν πενθερὸν Ἰξίων,
Πρᾶγμά ἐστι τῶν ἀληθῶν, καὶ ἡ φυγὴ πατρίδος.
Δία δ᾽ ἐνταῦθα μὴ τὸν νοῦν, μὴ τὸν ἀέρα νόει,
Μηδὲ θεὸν τὸν φλαυρὸν ἐκεῖνον τῶν Ἑλλήνων,
Μὴ οὐρανόν, μὴ ἥλιον, μηδὲ τὴν εἱμαρμένην,
Μηδ᾽ ἄλλο σημαινόμενον, ἀστέρα Δία, τἄλλα·
Δία δ᾽ ἐνταῦθα νόησόν τινα τῶν βασιλέων.
Τοὺς πρὶν γὰρ πάντας βασιλεῖς Δίας οἱ πρὶν ἐκάλουν,
Ἀπὸ τοῦ Βήλου τοῦ Διὸς Αἰγύπτου βασιλέως,
Κἀκ τοῦ ἀστέρος τοῦ Διὸς ὡς βασιλεῖς ποιοῦντος.
Ἂν γάρ, εἰς πέμπτην λέοντος μοῖραν ἡλίου ὄντος,
Ἐκεῖ καὶ Ζεὺς ἐφευρεθῇ, πᾶς ὁ τεχθεὶς τῷ τότε,
Ἢ βασιλείαν ἔσχηκεν ἢ στεφανηφορίαν.

Ζεὺς γοῦν τις βασιλεύς, Ἰξίονα καθαίρει,
Οὗπερ τῆς Ἥρας γυναικὸς ἤτοι τῆς βασιλίδος
Ἠράσθη καθαιρόμενος. ἡ δ᾽ οὖσα τῶν σωφρόνων,
Τῷ ταύτης ἔλεξεν ἀνδρί. ὁ δ᾽ ἀπιστῶν ἐκείνῃ,
Ὡς Ἥραν κατεκόσμησεν αὔραν, Νεφέλην κλήσει.
Ἥνπερ Ἰξίων συμμιγεὶς Κένταυρον κύει γόνον,
Ἄνθρωπον δυσμορφότατον, Ἴμβρον λαχόντα κλῆσιν.
Κένταυρον ἐπιθέτως δὲ καλούμενον, τοιῶςδε·
Οὐχ ὡς τῶν ταύρων κεντητήν (κεντόταυρον ἐχρῆν γάρ),
Ἀλλ᾽ ὡς ἐκ δούλης γεννητόν, κένταυρον ἔφαν τοῦτον.
Κεντῶν Ἰξίων αὔραν γάρ, τουτέστι τὴν δουλίδα,
Ἐκεῖνον ἐπαιδούργησεν, Ἴμβρον λαχόντα κλῆσιν.
Οὐκ ἀγνοεῖς τὴν αὔραν δὲ σημαίνουσαν τὴν δούλην.

---

458. Videtur excidisse φόνου, ut οὗτος.

464. In Ovid. Metam. XII, 310. est *Imbreus* Centaurus.

Ἤκουσας γάρ, Παλαίφατε, λέγοντος τοῦ Μωσέως·
Ὡς ἡ θυγάτηρ Φαραὼ πρὸς ποταμὸν κατέβη,
Αὗραι παρεπορεύοντο ταύτῃ δὲ καὶ δουλίδες.
Ἀλλὰ ταυτὶ μὲν οὑτωσί. Ἰξίονα δ' ἐκεῖνον
Ὁ βασιλεὺς ἐπὶ τροχοῦ δεσμήσας σιδηρέου,
Ποινηλατῶν, ἀπέκτεινε τῆς ἀσεβείας χάριν,
Τὸν Ἴμβρον τὸν Ἰξίονος υἱὸν δὲ καὶ Νεφέλης,
Τὸν ἐπιθέτως Κένταυρον, ὡς ὄντα παῖδα δούλης,
Τόποις τοῖς περὶ Πήλιον νέμειν τὰς ἵππους στέλλει,
Ὃς κατοικήσας καὶ ζευχθεὶς καὶ γυναικὶ πρὸς γάμον,
Παῖδας τεκὼν οὐχὶ βραχεῖς, οὐδ' ἀσθενεῖς πρὸς ῥώμην,
Ἵπποις ταῖς Μαγνητίδεσσι μιγνύμενος Πηλίῳ,
Συμμιγνυμένων καὶ αὐτῶν, οὐ, Πίνδαρος ὡς λέγει,
Αἰσχρῶς καὶ ἀπρεπέστατα καὶ μίξει δὲ θηρίων,
Ἀλλὰ συγγυμναζόμενος σὺν ἐγγυμναζομένοις,
Στρατὸν ἱππότην θαυμαστὸν ἐξέθρεψεν ἐκείνους,
Ἐποχουμένους Θετταλαῖς ἵπποις τῶν Μαγνητίδων,
Ὧν μνημονεύει καὶ χρησμὸς οὕτω κατ' ἔπος λέγων:
„Γαίης μὲν πάσης τὸ Πελασγικὸν Ἄργος ἄμεινον,
„Ἵπποι Θετταλικαί, Λακεδαιμόνιαι δὲ γυναῖκες,
„Ἄνδρες δ' οἳ πίνουσιν ὕδωρ καλῆς Ἀρεθούσης.
„Ἀλλ' ἔτι καὶ τῶν δ' εἰσὶν ἀμείνονες, οἳ τὸ μεταξὺ
„Τίρυνθος ναίουσι καὶ Ἀρκαδίης πολυμήλου,
„Ἀργεῖοι λινοθώρηκες, κέντρα πτολέμοιο.
„Ὑμεῖς δ' Αἰγιέες, οὔτε τρίτοι, οὔτε τέταρτοι,
„Οὔτε δυωδεκατοῖοι, οὔτ' ἐν λόγῳ, οὔτ' ἐν ἀριθμῷ.

---

471. Erat ἤκουσαν.
489. Vid. Schol. ad Theocrit. XIV, 48.
490. In schol. Theocr. Θρηΐκιαι. Cf. Heins. Lectt. Theocr. p. 365. Iterum extat hoc epigr. hist. 291.
492. In schol. οἵ τε μεσηγύ.
495. Margo cd. A. ut schol. ὦ Μεγαρεῖς.
496. In marg. cd. A. συνεξηγεῖς. In schol. Theocr. δυωδέκατοι. Recte.

ΠΕΡΙ ΤΩΝ ΔΕΞΙΠΠΟΥ ΣΚΥΘΙΚΩΝ. σοδ'.

Δέξιππος ὁ φιλόσοφος, μύστης ὢν Ἰαμβλίχου,
Πολλὰ μὲν συνεγράψατο καὶ ἕτερα βιβλία,
Ἐν τῷ ἑνὶ ἐνέτυχον τῷ εἰς κατηγορίας·
Ἔγραψε δὲ καὶ Σκυθικά, ἃ μέχρι νῦν οὐκ οἶδα,
Καὶ ἕτερα, ὡς εἴρηκα. μόνον τὸ ἓν δ' ἀνέγνων.

ΠΕΡΙ ΣΕΜΙΡΑΜΕΙΩΝ ΤΕΙΧΩΝ. σοε'.

Τῶν Ἀσσυρίων ἄνασσά τις, Δορκετὼ τὴν κλῆσιν,
Νέῳ τινὶ μοιχεύεται δι' ἔρωτα, Συρίσκῳ.
Ἔγγυος γεγονυῖα δέ, τὴν φήμην αἰδουμένη
Τὸν μὲν Σύριακον ἀφαντοῖ· τεκοῦσα δὲ τὸ βρέφος
Ἐν τοῖς ἀγροῖς ἐκτίθεται. αὐτὴ δ' αὑτὴν ἐμβάλλει
Εἰς λίμνην τὴν τοῦ Μύριδος, οὗπερ καὶ ἀπεπνίγη·
Σύρων γραφαὶ δὲ λέγουσιν, ἰχθὺν αὐτὴν γενέσθαι·
Ὅθεν οὐδὲ ἐσθίουσι τινῶν ἰχθύων Σύροι.
Ἀλλ' ἐατέον νῦν ἡμῖν τὰ Δερκετοῦς πλατύνειν.
Τὸ Δερκετοῦς δ' ἐν τοῖς ἀγροῖς βρέφος ἀπεῤῥιμμένον
Ἐκ τῶν ποιμνίων τῶν ἐγγὺς περιστερῶν τὰ γένη
Τυρῷ χλωρῷ καὶ γάλακτι ξένως ἐβρεφοτρόφουν.
Ὡς εἶδον οἱ ποιμένες δὲ τοὺς ὑποπτέρους κλέπτας
Συλῶντας γάλα τὸ αὐτῶν καὶ τοὺς τυροὺς ὁμοίως,
Σὺν ἀγελάρχῃ τῷ αὐτῶν, ᾧπερ ἡ κλῆσις Σίμμας,
Θαυμάσαντες ἀπέρχονται ἰδεῖν τί δρῶσι ταῦτα.
Βλέπουσι βρέφος θῆλυ δὲ βασιλικοῖς σπαργάνοις,
Ἐκ τιθηνῶν τῶν πτερωτῶν τρεφόμενον οἷς ἔφην.

HIST. 274.

De Dexippi Scythicis cf. Geograph. d. Griech. u. Röm. von Ukert, I. p. 138.

HIST. 275.

502. Cf. Diod. Sic. II, 4. sqq. ibique Wessel.

506. ἐμβάλλει cd. A. In edit. Bas. vitiose ἐκβάλει.

507. Marg. cd. A. ἧπερ.

509. Cf. Diodor. l. c. Xenoph. Anab. I, 4. 9. Lucian. de Syr. §. 14. Ctesiae Pers. XII. p. 92. sqq. Lion.

513. Margo cd. A. χλωρῷ, quod in textum recepi. Bekkeri Anecd. p. 73. χλωρὸς τυρός: ὁ νέος καὶ πρόσφατος.

Ὃ καὶ λαβὼν ἀνέτρεφεν ὁ Σίμμας ὡς οἰκεῖον,
Καὶ κλῆσιν κατωνόμασε Σεμίραμιν καλεῖσθαι.
Ὡραίας δ᾽ εἰς ὑπερβολὴν γεγεννημένης κόρης,
Τοῦ βασιλέως λογιστής ἔρχεταί τις τοῦ Νίνου
Ἐπ᾽ ἀγελῶν κατασκοπῇ, τῶν ἵππων καὶ τῶν ἄλλων,
Ὧι Μένοινις ἡ κλῆσις ἦν, Διόδωρος ὡς γράφει.
Ἰδὼν δὲ τὴν Σεμίραμιν, ἄῤῥητον οὖσαν κάλλος,
Πειθοῖ καὶ λιπαρήσασι καὶ δώροις δὲ μυρίοις
Ἔσχηκε ταύτην σύνευνον λαβὼν ἀπὸ τοῦ Σίμμα.
Ὡραίαν καὶ ἀγχίνουν δὲ πρὸς ἅπαν πεφυκυῖαν,
Καίγε καὶ πανευμήχανον, σύμβουλον δεξιάν τε
Εἶχε, ψυχήν τε καὶ ζωήν, ὄμμα, καρδίαν, πάντα.
Τῷ βασιλεῖ τὰ Βάκτρα δὲ Νίνῳ πολιορκοῦντι,
Μηδὲν δ᾽ ἀνύειν σθένοντι, παρὼν ὁ Προκανδαύλης,
Ὁ πρόταγος τῶν ταγῶν τε πάντων τῶν ἐν ὑστέροις,
Λέγει τῷ Νίνῳ βασιλεῖ· ὦ στεφηφόρε Νίνε,
Εἴπερ παρῆν Σεμίραμις, ἥπερ συνευνητεῖ μοι,
Εἶχες ἂν Βάκτρα πρὸς βραχὺν ἐκπορθηθέντα χρόνον.
Καὶ δὴ καὶ μεταστέλλονται τὸ γύναιον εὐθέως.
Ἡ δὲ πολὺ διάστημα ὁδοῦ μέλλουσα βαίνειν
Πρῶτον ἐμηχανήσατο στολὴν ἐντεχνοτάτως,
Κωλυτικὴν ἀλέας τε καὶ ὄμβρων ὑπηργμένην,
Καὶ τὸν φοροῦντα εἴργουσαν γινώσκεσθαι ῥαδίως,
Εἴτ᾽ ἐκ τοῦ γένους τῶν ἀνδρῶν, εἴτε γυνὴ τυγχάνει,
Καὶ πρὸς τὸ πράττειν ἅπαντα ὅσα τις πράττειν θέλοι,
Οὖσαν ἐκείνην τὴν στολὴν τῶν ἄγαν εὐκινήτων.
Τί τὰ πολλά; πεπόρθηκεν ῥᾷστα Βακτρίων πόλιν
Ἐξ ἀπομάχου φάραγγος σὺν τοῖς κρημνοβατοῦσιν
Εὐθέως ἀνερπύσασα, τῶν ἄλλων μαχομένων.
Ὁ βασιλεὺς ὁ Νῖνος δὲ ταύτης θελχθεὶς τῷ κάλλει
Τὸν κερασφόρον Μένοινιν ἐκείνης συνευνέτην

---

525. A Diodoro II, 5. appellatur *Μενόνης*. Verum nomen videtur *Ὄννης*. Vid. Heeren ad Ctesiae fr. p. 93. Lion.

534. Sic scripsi pro *πρότραγος* v. *τράγων*.

Πρῶτον ἐδόκησε πεισθεῖ ταύτην αὐτῷ δωρεῖσθαι.
Ὁ βασιλεὺς δὲ σύνευνον ἀντὶ αὐτῆς ἐδίδου
Τὸ ἑαυτοῦ θυγάτριον, Σωσάνναν καλουμένην.
Τούτου δὲ δυσχεραίνοντος, ἀποτυφλοῦν ἠπείλει.
Μένωνις οὕτω τολμηκὸν ἐκστὰς φρενῶν ἐκ λύπης
Ἀγχόνῃ πνίξας ἑαυτὸν ἐξήγαγε τοῦ βίου.
Νῖνος δ' ἐκ Σεμιράμιδος γεννήσας τὸν Νινύαν
Καὶ μετ' ὀλίγον τεθνηκὼς ἐᾷ τὴν βασιλείαν
Αὐτῇ τῇ Σεμιράμιδι καὶ τῷ υἱῷ Νινύᾳ.
Ἡ δὲ τὴν πολυθρύλλητον ἔκτισε Βαβυλῶνα
Ἐν μυριάσι τεχνιτῶν διακοσίαις ὅλαις·
Ἔκτισε ταύτην δὲ πόλιν ἐνιαυτῷ καὶ μόνῳ
Ἀπὸ ὀπτῆς τῆς πλίνθου μέν, οὐκ ἀπὸ λίθων οὖσαν.
Ὀπτὴν δὲ πλίνθον, γίνωσκε, τὴν βήσαλον καλοῦμεν.
Τὸ Βαβυλῶνος κτίσμα γὰρ ὑπῆρχεν ἐκ βησάλου,
Ἀντὶ δ' ἀσβέστου ἄσφαλτον εἶχεν ἐγκεχρισμένην.
Ἡ πᾶσα δὲ περίμετρος ὑπῆρχε Βαβυλῶνος
Στάδιοι τριακόσιοι ἑξήκοντα Κτησίᾳ,
Κατὰ δὲ Κλείταρχον αὐτὸν καὶ τοὺς μετ' Ἀλεξάνδρου
Καὶ κατὰ τὸν Διόδωρον αὐτὸν τὸν Σικελὸν δὲ
Τριακοσιεξήκοντα καὶ πέντε δὲ σταδίων.
Κοκκειανὸς δὲ Κάσιος Δίων, γραφαῖς Λατίνων;
Τετρακοσίων ἔγραψε ταύτην σταδίων εἶναι.
Ἡρόδοτος δ' ὁ συγγραφεὺς ἐν Μούσαις ταῖς ἐννέα,
Καὶ ὁ Φιλόστρατος αὐτὸς ἐν βίῳ Τυανέως
Σταδίων ὀγδοήκοντα σὺν τοῖς τετρακοσίοις.
Ὕψος πεντηκοντόργυιον τειχῶν, κατὰ Κτησίαν,
Ἄλλοις πεντηκοντάπηχυ. φαίνεται δὲ Κτησίας
Τῷ Τζέτζῃ ἀληθέστερα συγγράφειν τῶν ἑτέρων,
Τέως εἰς ἅπερ ἔγραψε περὶ τῆς Βαβυλῶνος.

---

562. Addidi *πόλιν*.

570. Diod. Sic. II, 7. p. 120. Ctes. fr. p. 100. Lion.

572. Cf. Dion. Cass. lib. 68, 27. p. 1141. not. et fragm. pag. 1526. Herodot. I, 178. sqq.

575. Lib. I, 25. p. 32.

Τριακοσίων γὰρ αὐτὸς ἑξήκοντα σταδίων
Πᾶσαν αὐτῆς περίμετρον ὑπάρχειν διαγράφει.
Οἱ δ' ἄλλοι παραυξάνουσι πλέον καὶ πλέον ταύτην.
Ὁ περὶ τὴν περίμετρον γοῦν ἐλαττῶν τὸ μῆκος
Οὐκ ἂν μακρὸν τοῦ δέοντος παρηύξανε τὰ ὕψη.
Ἀλλ' ὅτε ταῦτα ἴσως μὲν κατεῖδεν ὁ Κτησίας,
Ἦσαν ἑξηκοντόργυια τὰ ὕψη τὰ τῶν πύργων,
Καὶ δὴ πεντηκοντόργυια τότε τειχῶν τὰ ὕψη.
Ὑπὸ πολέμων καὶ σεισμῶν δ' ἴσως καταπτωθέντα,
Ὕστερον ἂν ὁ Κλείταρχος καὶ πᾶς μετ' Ἀλεξάνδρου
Κατεῖδον οὕτω ταπεινὰ τῶν ὀργυιῶν τὰ ὕψη,
Ὡς πρὸς πηχῶν ἐλάττωσιν μόλις ποσὸν λαβόντα.
Πλάτει τῆς Βαβυλῶνος δ' ἦν κατά τινας τὸ τεῖχος
Ἓξ ἅρμασιν ἱππάσιμον, τρισὶ δὲ καθ' ἑτέρους.
Μέσον τῆς Βαβυλῶνος δὲ ῥεῖ ποταμὸς Εὐφράτης,
Ὡς πρὸς τὴν μεσημβρίαν δὲ τὴν ἐκροὴν ποιεῖται·
Πρὸς μέρος δὲ ἑκάτερον τοῦ ποταμοῦ Εὐφράτου
Βασίλεια ἐνίδρυτο, λαμπρῶς ἐξειργασμένα,
Κάτωθεν κοίτης ποταμοῦ θόλοις ἐγκεκρυμμέναις
Ἔχοντα τὴν διάβασιν, ὡς θαυμασμὸν παρέχειν.
Ἐκ δὲ τῶν Σεμιράμεως συγκλητικῶν προὐχόντων
Εἷς ἕκαστος ἐγένετο τοῦ τείχους ἐπιστάτης
Ἑνὸς καὶ οὐ περαίτερον σταδίου κτιζομένου.
Ἔχεις τὰ Σεμιράμεια τείχη σοι γεγραμμένα.

ΠΕΡΙ ΤΟΥ, ΑΤΕΙΧΙΣΤΟΝ ΕΙΝΑΙ ΤΗΝ ΣΠΑΡΤΗΝ. σος'.

Πάλαι μὲν Σπαρτιᾶται τε καὶ γένη τῶν Λακώνων,
Κάλλιστα λογιζόμενοι σοφῇ τῇ διανοίᾳ,
Ὡς ἄνδρες φύλακες τειχῶν, οὐ τῶν ἀνδρῶν τὰ τείχη,
Τοῖς ὅπλοις καὶ τοῖς σώμασι, ταῖς μάχαις ἐπυργοῦντο,
Τὰ τείχη δὲ τῶν πόλεων πολλάκις παρῃροῦντο,

HIST. 276.
606. Vid. Plutarch. Apophth. Lac. Ages. XXIX. ibique Wyttenb. p. 410. ed. Lips.

Μή πως θαῤῥοῦντες ἐπ' αὐτοῖς ῥᾳστώνην σχῶσιν ὅπλων.
Ποτὲ καί τις τῶν στρατηγῶν, μᾶλλον φρονοῦντες πάντες
Γυμνοὺς ἀσπίδων ἄνευθε τοὺς φύλακας ἐῶσιν,
Ὅπως ἐπαγρυπνότερα τὴν φυλακὴν ποιῶνται,
Καὶ μὴ θαῤῥήσαντες αὐταῖς εἰς ὕπνον ἐκτραπῶσιν.

ΠΕΡΙ ΤΟΥ ΧΡΗΣΜΟΥ ΤΟΥ, ΒΟΥΣ ΒΟΗΣΕΙ ΚΑΙ ΤΑΥΡΟΣ ΘΡΗΝΗΣΕΙ. σοζ'.

Χρησμὸς ἦν περιφόρητος Κωνσταντινοπολίταις
Αὐτὸ τὸ βοῦς βοήσει τε καὶ ταῦρος δὲ θρηνήσει.
Ἐκ τούτου γοῦν ἀνέπλαττον καὶ συμφορὰς καὶ φόβους.
Ὡς δ' ἀμετράριθμοι στρατοὶ Ἀλαμανῶν καὶ ἄλλων
Κατὰ τῆς πόλεως αὐτῆς ἦλθον τῆς Κωνσταντίνου,
Καὶ πᾶσιν ἐπηλπίζοντο κατασκαφαί, πορθήσεις,
Καὶ πάντες ἦσαν ἔκπλαγεῖς καὶ τῶν ὀνειροφόβων·
Τῷ τότε καὶ ἡ σύζυγος τοῦ Μεγαλεταιράρχου,
Δειματουμένη τοῖς στρατοῖς ἐκείνοις τοῖς ἀπείροις
Καὶ τοῖς λογοποιήμασι τοῖς μυθοπλαστουμένοις,
Ἀναπλασάσης τῆς ψυχῆς ἐκείνης τὰ τοῦ φόβου,
Ὄναρ ἐδόκησεν ὁρᾶν τὰ προτεθρυλλημένα,
Τὴν Κωνσταντίνου πρῶτα μὲν πλίνθινον ἔχειν τεῖχος,
Περὶ βοὸς δὲ ἀγορὰν ἤτοι πρὸς βοῦν τὸν τόπον.
Ἐδόκει βλέπειν καὶ στρατὸν καὶ πλήθη πανοπλίας,
Περὶ τὸν ταῦρον δ' ἄνθρωπον καθήμενον κιτρόχρουν
Συμπλαταγοῦντα χεῖρας τε καὶ σύνθρηνον βοῶντα.
Τοῦτο ἰδοῦσα πρὸς αὐτὸν ἐμήνυσε τὸν Τζέτζην,
Ἐσχάτης εἶναι συμφορᾶς τοῦτο λογιζομένη·
Ὁ δὲ τεῖχος τὸ πλίνθινον καρπῶν γῆς ἀφθονίαν
Καὶ ἔτος εὐφορώτατον ἔφη τῇ Κωνσταντίνου.
Ἴστε τὴν εὐφορίαν δὲ τὴν τότε, οἱ παρόντες.

HIST. 277.
615. Ita cd. A. pro Κωνσταντινουπολίταις.
620. κατασκαφαὶ cd. A. pro accusativo.

Τὸ πανοπλίας δὲ πολλὰς περὶ τὸν βοῦν ὑπάρχειν,
Καὶ τὸν κιτρόχρουν ἄνθρωπον τὸν ὄντα πρὸς τὸν ταῦρον
Εἶπε γενέσθαι πλήρωμα χρησμῶν τῶν θρυλλουμένων,
Τοῦ βοῦς (λέγει) βοήσει τε καὶ ταῦρος δὲ θρηνήσει.
Πλὴν ἀλλ᾽ οὐχ ὡς ἐνόησαν οἵπερ νοοῦσι φόβους,
Ἀλλ᾽ ἐπὶ τῷ συμφέροντι πᾶσιν ἡμῶν πολίταις.
Καὶ ἄκουσον, πανσέβαστε, καὶ δίδασκε καὶ ἄλλους,
Ὁ Τζέτζης (λέγουσα) ἐμοὶ οὕτω ταδὶ διδάσκει.
Βοῦν μὲν ἡμεῖς τὴν θήλειαν τὴν τῶν βοῶν καλοῦμεν,
Κἂν καὶ τὸν ταῦρον πώποτε καὶ μόσχον βοῦν καλῶμεν.
Ταῦρον κυρίως δὲ βοῶν τὸν ἄρσενα καλοῦμεν.
Τὸν ταῦρον τοῦτον δ᾽ Ἰταλὸν καλοῦσιν οἱ Λατῖνοι.
Ἡ βοῦς ἡ ἡμετέρα δὲ ἤγουν ἡ Κωνσταντίνου,
Ἡ ἐκ τῶν ταύρων Ἰταλῶν Ῥωμαίων ἐκτισμένη,
Ὅπλων παντοίων γέμουσα, βρωμάτων, στρατευμάτων,
Βοήσει τὸ πολεμικὸν κατὰ τῶν ἀντιπάλων.
Ὁ ταῦρος δὲ ὁ Ἰταλός, στρατὸς ὁ τῶν Λατίνων,
Καὶ ὠχριάσει τῷ πολλῷ τοῦ φόβου καὶ θρηνήσει,
Ἂν βασιλέως οὐ πεισθῇ τοῦ κραταιοῦ τοῖς λόγοις.

ΠΕΡΙ ΧΡΗΣΜΟΥ ΤΟΥ ΛΕΓΟΝΤΟΣ, ΟΥΑΙ ΣΟΙ ΕΠΤΑΛΟΦΕ, ΟΤΙ ΟΥ ΧΙΛΙΑΣΕΙΣ.

σοή.

Οὐαί σοι, ὦ ἑπτάλοφε, ὅτι οὐ χιλιάσεις,
Χρησμὸς ὑπῆρχεν ἕτερος Κωνσταντινοπολίταις,
Ὥσπερ τὸ βοῦς βοήσει τε καὶ ταῦρος δὲ θρηνήσει.
Ἐπεὶ δὲ τοῦτον ἔλυσα καλῶς καὶ συμφερόντως
Ὄναρ φανέντα γυναικὶ τοῦ Μεγαλεταιράρχου·
Οὐαί σοι δ᾽, ὦ ἑπτάλοφε, ἣν τῶν ἀντιπιπτόντων.
Ἴσως γὰρ ἄν τις πρὸς ἡμᾶς τῶν συνετῶν εἰρήκει,

---

637. Sic pro πανοπλίαν e marg. ed. A.

χω.
ἐν τῇ Κωνσταντίνου.
ἔστερε τῶν ἱεροσύλων.
Οἱ ῥήτορες αἰθέριοι δοκοῦσι τῷ ἐπάρχῳ,
Τὸ βοῦς βοήσει, πῶς λέγεις, καὶ ταῦρος δὲ θρηνήσει,
Εἶναι ἐπὶ συμφέροντι πόλεως Κωνσταντίνου;
Οὐ λέγει ἕτερος χρησμὸς περὶ τῆς Κωνσταντίνου,
Οὐαί σοι, ὦ ἑπτάλοφε, ὅτι οὐ χιλιάσεις;
Ἵνα γοῦν μὴ προφέρῃ τις τοῦτο ἀπολογίαν,
Λύσιν τοῦ ἀντιπίπτοντος φθάσας ἐποιησάμην,
Λύσας καὶ τοῦτο κάλλιστα καὶ συμφερόντως τότε.
Εἰπὼν γὰρ τῇ τὸν ὄνειρον τοῦτον θεασαμένῃ,
Οὕτω καλλίστως νόει μοι καὶ πόλει συμφερόντως,
Τὸ βοῦς βοήσει τε αὐτὸ καὶ ταῦρος δὲ θρη-
νήσει,
Καὶ τὸ οὐαί σοι, ὦ ἑπτάλοφε, ὅτι οὐ χιλιάσεις,
Οὕτως, ἔφην, νοείτωσαν, μὴ ὡς αὐτοὶ νοοῦσι,
Μὴ ἓν μέρος, ἐπίῤῥημα, οὐαὶ τῆς θρηνῳδίας,
Δύο μέρη τοῦ λόγου δέ, οὐ ἄρνησιν, καὶ αἲ δέ,
Ἤτοι, Κωνσταντινόπολις, κἂν οὐχὶ χιλιάσῃς,
Ἀλλὰ χιλίων ἔσωθεν χρόνων καταλυθήσῃ,
Ὅμως οὐ αἲ καὶ θρῆνός σοι, ἀλλὰ χαρὰ ἐσεῖται·
Ἵνα μείζων κτισθήσῃ γὰρ καὶ πλέον λαμπρυνθήσῃ,
Καταλυθήσῃ πρὸς καλὸν τοῖς καταλύσουσί σε.

HIST. 278.

663 — 665. Eaedem lacunae sunt in cd. A. quae in edit. Basil.

666. Scripsi τῷ pro τό.

667. Scripsi βοῦς pro βοᾷ. Eodem versu in marg. cd. A. est κρίνεις pro λέγεις.

677. Versus duabus syllabis longior.

683. Ut tali forma uteretur Tzetzes, coactus fuit ratione versuum politicorum in syllaba quarta decima accentum postulantium.

684. λαμπρυνθήσῃ e marg. cd. A. pro λαμπρυνθείης, quod cd. habet in textu.

685. Margo καταλύουσι.

ΠΕΡΙ ΤΟΥ, ΑΕΙ Δ' ΟΠΛΟΤΕΡΩΝ ΑΝΔΡΩΝ ΦΡΕΝΕΣ ΗΕΡΕΘΟΝΤΑΙ. σοθ'.

Ὁπλότερος κυρίως μὲν ὁ νέος στρατιώτης,
Ἤτοι πολεμικώτερος, ἀπὸ τοῦ ὅπλα φέρειν,
Καταχρηστικωτέρως δὲ ὁπλότερος πᾶς νέος.
Τοὺς νέους δὲ ὁ Ὅμηρος δεικνύων κακοβούλους
Οὕτω κατ' ἔπος ἔγραψε τῇ γάμμα Ἰλιάδι·
„Αἰεὶ δ' ὁπλοτέρων ἀνδρῶν φρένες ἠερέθονται.
Τὴν ἐναντίαν γνώμην δέ φησι περὶ γερόντων,
„Οἷς δ' ὁ γέρων μετέῃσιν, ἅμα πρόσσω καὶ ὀπίσσω
„Λεύσσει, ὅπως ὄχ' ἄριστα μετ' ἀμφοτέροισι γένηται.

ΠΕΡΙ ΤΩΝ ΘΕΤΤΑΛΙΚΩΝ ΤΕΜΠΩΝ. σπ'.

Τὴν Θετταλίαν γίνωσκε, μὴ τὴν Θεσσαλονίκην,
Ὥσπερ τινὲς νομίζουσι, κἀγὼ νῦν παίζων εἶπον,
Πολλάκις καὶ μὴ παίζων δὲ διὰ ἀμαθεστέρους.
Χώραν τὴν Θετταλίαν δὲ συνεκτικήν μοι νόει
Φθίας καὶ Φαρσαλίας δέ, Λαρίσσης καὶ Τρικκάλων,
Δημητριάδος, Ἰώλκου καὶ Γλαφυρῶν καὶ Φοίβης,
Καὶ πόλεων ἑτέρων δὲ χώρα ἡ Θετταλία.
Τέμπη δὲ καὶ κοιλώματα Θετταλικὰ καὶ ὄρη,
Ἃ Πηνειὸς διέκοψεν ὁ ποταμὸς ἐκρέων,
Καὶ μέσος δὲ φερόμενος ῥοῦν κατασύρει τούτων.
Ὁ Πηνειὸς δ', Ὀνόχονος, καὶ Σπερχειὸς καὶ ἄλλα
Καὶ Σαλαμβρία παρ' αὐτοῖς βαρβάροις ἰδιώταις
Εἷς ποταμὸς ἐν πλείοσιν ὀνόμασιν ὑπάρχει.
Ἔγνως καὶ τὰ Θετταλικὰ ποῖα τυγχάνει Τέμπη·
Ἐγὼ δὲ παίζων εἴρηκα τὰ τῆς Θεσσαλονίκης.

HIST. 279.

686. Delevi articul. ante ὁπλότερος, vel auctoritate motus codicis, in quo saepe post literam magnam eadem parva exarata est.

691. Iliad. III, 108. sqq.

HIST. 280.

699. Ita cd. A. pro τρικάλων.

702. Aelian. V. H. III, 1. ibique Int.

705. In marg. cd. A. Σπερχεῖος.

Καὶ γὰρ ἐβαρβαρώθησαν οἱ πλείους σχεδουργίαις,
Βίβλους ἀναγινώσκοντες τῶν παλαιῶν οὐδόλως,
Ὡς τόπους, χώρας, πράγματα γινώσκειν σαφεστάτως,
Καὶ θησαυροὺς ἀρύεσθαι, λόγους σοφῶν παντοίων,
Τῶν ἀμαθῶν καπήλων δὲ πλοκῇ λαβυρινθώδει
Μόνῃ τὸν νοῦν προσέχοντες καὶ κεκαπηλευμένῃ.

ΠΕΡΙ ΤΟΥ, ΤΛΗΤΕ ΦΙΛΟΙ, ΚΑΙ ΜΕΙΝΑΤ' ΕΠΙ ΧΡΟΝΟΝ. σπά.

Τὸν Ὀδυσσέα Ὅμηρος τῇ βῆτα ῥαψῳδίᾳ
Φέρει παρηγορούμενον τὰ πλήθη τῶν Ἑλλήνων
Καὶ καρτερεῖν κελεύοντα βραχύτατον πρὸς χρόνον,
Ἕως ἂν ἐκπορθήσωσι τὴν πόλιν τὴν τῶν Τρώων.
Σύντομον δὲ τὴν πόρθησιν εἶναι τῆς Τροίας λέγει,
Λέγων σημεῖα, τέρατα τὰ τούτοις προφανέντα,
Καὶ μάντεως τοὺς λόγους δὲ τοὺς ἐπὶ τοῖς σημείοις.
Ταῦτα Ὁμήρῳ Ὀδυσσεὺς Ἑλλήνων στρατῷ λέγει.
Ἐγὼ τῶν φίλων δέ τινι ταῦτα τὰ ἔπη λέγω,
Προτρέπων τοῦτον πρὸς μικρὸν ἐγκαρτερῆσαι χρόνον.

ΠΕΡΙ ΤΟΥ, ΟΣ ΔΕ ΜΗΘ' ΑΥΤΟΥ ΝΟΕΩΝ, ΜΗΤ' ΑΛΛΟΥ ΑΚΟΥΩΝ. σπβ'.

Ὁ ποιητὴς Ἡσίοδος πρὸς ἀδελφὸν τὸν Πέρσην,
„Καλόν, φησίν, ἀφ' ἑαυτοῦ νοεῖν τινὰ τὸ πρέπον.
„Καλὸν καὶ ὃς τῷ λέγοντι τὸ δέον ὑπακούοι.
„Ὃς οὐ νοεῖ δ' ἀφ' ἑαυτοῦ, οὐδ' ἄλλου ἐκμανθάνοι,
„Οὗτός ἐστι φαυλότατος τῶν ἀπηγορευμένων.
Ταῦτα μὲν ὁ Ἡσίοδος πρὸς ἀδελφὸν τὸν Πέρσην.
Αὐτὰ μὲν χρησάμενος κἀγὼ ἐξ Ἡσιόδου
Φίλῳ τινὶ καὶ μαθητῇ προσφυεστάτως εἶπον.

HIST. 281.

716. Odyss. II, 299.

724. Articulum τὰ inserui.

HIST. 282.

727. O. et D. 291. sqq.

732. Post μὲν videtur οὖν excidisse, et ταὐτὰ scribendum.

ΠΕΡΙ ΤΟΥ, ΕΡΡ' ΕΚ ΝΗΣΟΥ ΘΑΣΣΟΝ, ΕΛΕΓΧΙΣΤΕ ΖΩΟΝΤΩΝ. σπγ'.

Εἰς Αἰολίαν Ὀδυσσεὺς ἀνέμοις ἐξωσμένος,
(Νῆσος ἡ Αἰολία δὲ Ῥηγίῳ Ἰταλίας)
Ἀξιωθεὶς ἐλέους τε καὶ οἰκτιρμῶν Αἰόλῳ,
Ἐγκατακλειστους ἐν ἀσκῷ πάντας λαβὼν ἀνέμους,
Ἑνὸς δὲ μόνου πνέοντος, ὃς ἦγε πρὸς πατρίδα,
Ἐπεὶ κατεῤῥαθύμησε τῆς ἐντολῆς Αἰόλου,
Ὑπνώσας πρὸ τοῦ πρότερον φθάσαι πρὸς τὴν πατρίδα,
Ἔλυσαν δ' Ἰθακήσιοι ἀσκὸν τὸν τῶν ἀνέμων,
Μεστὸν αὐτὸν νομίσαντες χρημάτων πεφυκέναι·
Ἅπας δ' ἐκπνεύσας ἄνεμος τὴν θάλασσαν ἐστρόβει,
Καὶ τούτου πάλιν ἤγαγε τὴν ναῦν εἰς Αἰολίαν·
Αἰόλος τοῦτον κατιδὼν καὶ ὀργισθεὶς πρεπόντως,
Λέγων, οὐχὶ κατέδησα σύμπαντας τοὺς ἀνέμους,
Ἕνα δέ σοι τὸν πρόσφορον εἴασα πνέειν μόνον;
Τίς ἡ αἰτία τῆς στροφῆς τῆς πρὸς ἡμᾶς μοι λέγε,
Εἰ μή που πάντων γέγονας παρήκοος, ὧν εἶπον.
Ἔῤῥ' ἐκ τῆς νήσου τολοιπὸν φαυλότατε τῶν ζώντων.

ΠΕΡΙ ΤΟΥ, ΝΗΠΙΟΣ ΟΣ ΤΑ ΕΤΟΙΜΑ ΛΙΠΩΝ ΑΝΕΤΟΙΜΑ ΔΙΩΚΕΙ. σπδ'.

Τίνος τυγχάνει τὸ ῥητόν, ἐκ λήθης παρεσύρην,
Εἴτ' οὖν ἐξ Ὀδυσσείας γε καθέστηκεν Ὁμήρου,
Εἴτ' οὖν ἑτέρου ποιητοῦ. βίβλους γὰρ ὡσεὶ δύο,
Εἴτε καὶ τρεῖς, ἢ τέσσαρας, στέρνοις ἐμοῖς συγκρύπτω,
Καὶ ἀργαλέον μοί ἐστιν θεὸν ὡς πάντα λέγειν.
Εἰκὸς δὲ καὶ λανθάνεσθαι τίνων εἰσὶ τὰ ἔπη·
Ἑρμῆς γὰρ ὁ χρυσόῤῥαπις οὐ μάχεται τῇ λήθῃ.
Τέως ὁ νοῦς σαφέστατος καθέστηκε τοῦ ἔπους,

HIST. 283.

750. Odyss. X, 72.

HIST. 284.

751. Ἐκ λήθης παρασύρεσθαι videtur Tzetzes significare *oblivisci*.

Μωρὸς εἶ, λέγοντος ἐμοῦ τῷ ᾧ ἐγράφη τάδε,
Ὅτι παρεὶς τὰ ἕτοιμα κέρδη σῶν ὀφφικίων,
Ψυχραῖς ἐλπίσι πεποιθὼς ἐκτρέχεις τῆς πατρίδος.

ΠΕΡΙ ΤΟΥ, ΠΟΙΜΑΙΝΕ, ΠΥΚΤΕΥΕ, ΔΟΥΛΕΥΕ, ΙΝΑ ΤΑΣ ΔΥΟ ΓΥΝΑΙΚΑΣ. σπέ.

Ἐξ Ἰουδαίας Ἰακὼβ εἰς Μεσοποταμίαν
Ἦλθε πρὸς Λάβαν, ἀδελφὸν αὐτοῦ μητρὸς Ῥεβέκκας.
Ἑπτὰ χρόνους ποιμαίνων δὲ τὰ ποίμνια ἐκείνου
Λείαν πρὸς γάμον ἔλαβε τὴν τούτου θυγατέρα,
Ὀφθαλμιῶσαν οὖσαν τε καὶ χρόνῳ πρεσβυτέραν,
Οὐ τὴν Ῥαχὴλ τὴν νέαν δὲ καὶ συμπεφωνημένην.
Ἄλλους ἑπτὰ δουλεύσας τε χρόνους σὺν τοῖς προτέροις
Καὶ τὴν Ῥαχὴλ ἠγάγετο γάμοις τὴν ποθουμένην.
Εἰ θέλεις καὶ τὸ γένος δὲ τοῦτο μαθεῖν μοι, μάθε.
Ὁ Ἀβραὰμ καὶ ὁ Ναχὼρ ἦσαν υἱοὶ τοῦ Θάῤῥα,
Καὶ Ἄραν πρότερος αὐτῶν, ὅσπερ καὶ πρῶτος θνήσκει,
Υἱὸν τὸν Λὼτ καταλιπών, Μελχὰ δὲ θυγατέρα,
Τὴν ἣν πρὸς γάμον ἔλαβε Μελχὰ Ναχὼρ ὁ θεῖος.
Τῇ Σύρων καὶ Ἑβραίων δὲ κατ' ἴσον διαλέκτῳ
Μελχὰ δηλοῖ βασίλισσαν, ὁ Μάλχος βασιλέα.
Ἐκ τῆς Μελχὰ γεγέννηκεν παῖδας Ναχὼρ ὁ θεῖος
Ἄλλους πολλοὺς καὶ Βαθουὴλ σὺν τοῖς πολλοῖς ἐκείνοις.
Ὁ Βαθουὴλ γεγέννηκε Λάβαν δὲ καὶ Ῥεβέκκαν,
Ἐκ τῆς Ῥεβέκκας Ἰσαάκ, Ἠσαῦ καὶ Ἰακὼβ δέ.
Ὁ Ἰακὼβ δουλεύσας δὲ τοῖς δισεβδόμοις χρόνοις,
Τὴν Λείαν ἔσχε καὶ Ῥαχὴλ τὰς Λάβαν θυγατέρας,
Καὶ Ζέλφαν καὶ τὴν Βάλλαν δέ, τούτων παιδίσκας οὔσας.
Ὥσπερ βαλὼν ἐξέβαλε δώδεκα πατριάρχας.
Περὶ τῶν δύο γυναικῶν ἔχεις τὴν ἱστορίαν.

HIST. 285.
768. Margo cd. A. ἄλλοις — χρόνοις.
775. Pro corrupto κτῖσον scripsi κατ' ἴσον.
784. Vix alibi verba βάλλειν et ἐκβάλλειν eadem vi qua hic usurpantur.

Ἀνδρέας ὁ τῆς Κρήτης δὲ κανόνι τῷ μεγάλῳ,
Δέον εἰπεῖν τὸ ποίμαινε καὶ δούλευε δὲ μόνον,
Ὅπως πρὸς γάμον λάβῃς μοι τὰς δύο τὰς γυναῖκας,
Καὶ πύκτευε, προσέθετο. τὸ πῶς εἰπεῖν οὐκ ἔχω.
Πύκτην καὶ γὰρ τὸν Ἰακὼβ τὸ σύνολον οὐκ οἶδα,
Πύκτην δὲ Λείας, Ζέλφας τε Ῥαχὴλ τε καὶ τῆς Βάλλας.

ΠΕΡΙ ΤΟΥ, ΟΥ ΓΑΡ ΑΠΟ ΔΡΥΟΣ ΕΙΣΥ ΟΥΔ' ΑΠΟ ΠΕΤΡΗΣ. σπς'.

Οἱ παλαιοὶ ἁπλούστατοι τελοῦντες τῶν ἀνθρώπων
Ἀπὸ δρυῶν τε καὶ πετρῶν ἐδόκουν γεγενῆσθαι
Πάντας, ὅσοι πρὸ τοῦ αὐτῶν ἦσαν ἀνθρώπων γένους,
Ὡς Ὅμηρος τὸν Ἕκτορα λέγοντα φέρει ταῦτα
Πρὸς Ἀχιλλέα, οὐ χρεὼν τὰ ἐκ δρυὸς καὶ πέτρης
Λέγειν ἐμέ, ὡς λέγουσι παρθένοι τε καὶ νέοι,
Παρθένοι καὶ νεάζοντες ἀλλήλοις ὁμιλοῦντες.
Τὰ δ' ἔπη οὕτως ἔχουσιν, ἂν κατ' ὀρθὸν ῥηθείη.
„Οὐ μέν γάρ πώς ἐστιν ἀπὸ δρυὸς ἢ ἀπὸ πέτρης
„Τῷ ὀαριζέμεναι, ἅτε παρθένος ἠΐθεός τε,
„Παρθένος ἠΐθεός τ' ὀαρίζετον ἀλλήλοιϊν.

ΠΕΡΙ ΤΟΥ ΒΑΚΙΔΟΣ ΧΡΗΣΜΟΥ, Ω ΜΕΛΕΟΙ, ΤΙ ΚΑΘΗΣΘΕ; ΛΙΠΩΝ ΦΕΥΓ' ΕΣΧΑΤΑ ΓΑΙΗΣ. σπζ'.

Ὁπότε Ξέρξης ὁ Περσῶν ἐκεῖνος στεφηφόρος
Στόλῳ βαρεῖ τε καὶ πεζοῖς στρατεύμασιν ἀπείροις
Κατ' Ἀττικῆς ἐστράτευε καὶ καθ' Ἑλλάδος πάσης,
Φόβον ποιῶν τοῖς Ἕλλησι, καινοτομεῖ τὰς φύσεις,
Τὸν Ἄθων θαλαττώσας μέν, ὄρος σκληρὸν καὶ μέγα,
Ἑλλήσποντον γαιώσας δὲ διπλῇ γεφυρουργίᾳ,

---

786. De Andrea Hierosolymitano, Cretae Archiepiscopo, vid. Fabric. bibl. Gr. Tom. X. p. [illegible] et p. 136.

HIST. 286.

794. Inserui τοῦ. Höger malit ἑαυτῶν. In edit. Bas. αὐτῶν ἢ τῶν.

800. Iliad. XXII, 126. Odyss. XIX, 163. Platon. Apolog. c. 23

Τότε λοιπὸν οἱ Ἕλληνες δεινῶς ἐπτοημένοι,
Καὶ δὴ χρησμῳδοτούμενοι περὶ συμβησομένων,
Ἐκ χρηστηρίων ἤκουσαν Βάκιδος χρησμολόγου,
„Ὦ μέλεοι, τί κάθησθε; λιπὼν φεῦγ' ἔσχατα γαίης.

ΠΕΡΙ ΧΡΗΣΜΟΥ ΣΙΒΥΛΛΗΣ, ΛΕΓΟΝΤΟΣ, ΑΝΔΡΑΣ ΟΙ ΒΥΖΑΝΤΟΣ ΕΔΟΣ ΚΑΤΑΝΑΙΕΤΑΟΥΣΙΝ. σπή.

Τινὲς μὲν τοῦτον λέγουσι χρησμὸν εἶναι Σιβύλλης,
Οἱ δὲ τῆς Ἠπειρώτιδος τῆς Φαεννοῦς ἐκείνης.
Ἄλλος δ' ἦν ὁ τοῦ Βάκιδος ὁ περὶ Βυζαντίου.
Ἐγὼ τῶν δύο δὲ χρησμῶν μέρη τινὰ συνάψας
Παλινδρομεῖ τῷ μαθητῇ τῇ Βυζαντίδι λέγω.
Ὅτι δὲ δύο οἱ χρησμοί, τὸν Βάκιδος προεῖπον
Τοῖς Ἀττικοῖς καὶ Ἕλλησι τότε προθεσπισθῆναι·
Οὗτος ὁ τῆς Σιβύλλης δὲ χρησμὸς ἢ Φαεννοῦς δὲ
(Πλέον δοκεῖ Σιβύλλης δὲ ἕνεκα Βυζαντίου)
Καὶ περὶ Διογένους δὲ ἐφοίβασε καὶ Τούρκων.
Καὶ τὰ λοιπὰ ἐάσωμεν, λέξωμεν δὲ βραχέα.
„Δὴ τότε Βιθυνῶν γαῖαν λύκοι οἰκήσουσι,
„Ζηνὸς ἐπὶ φροσύνῃσι, κακὸν δ' ἐπιβήσεται ἄνδρας,
„Ἄνδρας, οἳ Βύζαντος ἕδος καταναιετάουσιν.

ΠΕΡΙ ΤΟΥ, ΔΩΡΟΝ ΑΝΤΙΣΤΡΟΦΟΝ ΜΕΝ, ΠΛΗΝ ΘΙΟΝ ΠΟΤΕ ΑΒΡΑΑΜ ΠΡΟΣΗΝΕΓΚΕΝ. σπθ'.

Πῶς Ἀβραὰμ προσήνεγκε δῶρον θεῷ τὸν παῖδα,
Καὶ ἀκοαῖς καθέστηκε κατάδηλον βαναύσοις.
Ἐνταῦθα δὲ ὁ μαθητὴς τὸν ἑαυτοῦ πατέρα
Ἡμῖν κομίζοντα γραφὰς καὶ δῶρον ἀπεστάλκει.

HIST. 287.

812. Non Bacis, sed Pythia Atheniensibus hoc oraculum dedit. Vid. Wessel. ad Herodot. VII, 140.

HIST. 288.

815. Scripsi ὁ pro οὗτος δέ.

817. Haec non magis intelligo, quam scio quis sit v. 822. *Diogenes.*

ΠΕΡΙ ΕΧΕΠΕΥΚΟΥΣ ΓΡΑΦΗΣ, ΜΥΩΠΩΝ ΤΕ ΙΠΠΟΚΕΝΤΟΡΩΝ ΚΑΙ ΑΣΤΡΑΒΗΣ. σϙ΄.

Ἐχεπευκές, πανώλεθρον καὶ τὸ πικρὸν κυρίως,
Ἐκ δένδρου πεύκης δ' ἔσχηκεν ἄμφω τὴν κλῆσιν ταύτην.
Ἡ πεύκη γάρ, ὡς Στάφυλός φησιν ὁ Ναυκρατίτης,
Πανωλεθρίᾳ ὄλλυται, τῆς κορυφῆς κοπείσης.
Ἐχεπευκὲς δὲ τὸ πικρὸν ὅπερ πευκίαν ἔχει,
Ἤτοι πικρίαν πίσσης μέν, δάκρυ δὲ πεύκης πίσσα.
Ἐπεχευκοῦς μὲν κύριαι λέξεις εἰσὶν ἃς ἔφην.
Ῥητορικῶς δὲ καὶ δεινῶς δριμεῖα γλυκυτάτη.
Λέξει τανῦν χρησάμενος οὕτω τοῖς λόγοις εἶπον·
Ὁ μὲν ζητείτω σοι γραφὴν ἐχεπευκῆ σταλῆναι,
Ἤτοι γραφὴν ἐμφαίνουσαν ἀποστολὴν πευκίου.
Μύωψ ἐστὶν ὁ οἶστρος δέ, ζωΰφιον μικρόν τι,
Μεγίστας βλάβας δὲ βουσὶ πελάσας ἐπιφέρον.
Μύωψ ἐστὶ ζωΰφιον, ὡς ἔφην νῦν, ὁ οἶστρος·
Ἔστι καὶ κέντρον ἐκ χαλκοῦ τοὺς ἵππους κινοῦν τρέχειν,
Πτέρναις ἱππέων κείμενον, πρόσω δὲ δεδεμένον.
Ἀστράβη ξύλον ὄρθιον τοῖς δίφροις τῶν ἁρμάτων,
Εἰς ὃ ἐπικεκύφασιν ἡνίοχοι ἐλῶντες.
Ἀστράβη κλῆσιν δ' εἴληχε τοῖς παλαιοῖς ἀνδράσιν,
Ὡς ἀστραβῆ καὶ ὄρθιον τὸν δίφρον τε τηροῦσα,
Καὶ τὸν ἡνίοχον αὐτὸν τῷ μὴ παρολισθαίνειν.
Ὅπερ οἱ βαρβαρώτεροι καὶ ἀστραπὴν καλοῦσι
Καὶ ταύτην ἔγγιστα τροχῶν λέγουσι πεφυκέναι.
Ἄλλοι δὲ βαρβαρώτερον ἐκ τῶν σοφῶν ἀνθρώπων
Εἶδος τυγχάνειν ἅρματος λέγουσι τὴν ἀστράβην.
Σὺ δὲ τοῦ δίφρου τὸ ὀρθὸν ξύλον ἀστράβην λέγε.
Ἀστράβη· καὶ ἡ σέλλα δὲ ὡς ἀστραβῆ τηροῦσα

HIST. 290.
833. Herodot. VI, 37. ibi interpr. Item Creuzer, fragm. histor. gr. antiq. p. 102. not. 12. et Vossius de histor. gr. p. 416.
851. τῷ pro τὸν e marg. cd. A. Ibidem παρολισθάνειν.

Τοῖς νώτοις ἐγκαθέζεσθαι τῶν ἵππων τὸν ἱππέα.
Ἐφ' οὗ τῇ λέξει νῦν αὐτὸς φαίνομαι κεχρημένος.
Ἡ σέλλα δὲ ἀστράβη τε καὶ σέλμα δὲ καὶ σέλλα
Καὶ ἱππικὸν ἑδώλιον καὶ ἀφεδρὼν καὶ ἕδρα
Καὶ ἐφεστρὶς καὶ ἕτερα μυρία δὲ καλεῖται·
Ἡ ἐφεστρὶς τυγχάνει δὲ καὶ κλῆσις ἱματίου.

ΠΕΡΙ ΧΡΗΣΜΟΥ, ΤΟΥ ΛΕΓΟΝΤΟΣ, ΙΠΠΟΙ ΘΕΤΤΑΛΙΚΑΙ. σϟα΄.

Περὶ τοῦ λέγοντος χρησμοῦ τὰς Θετταλὰς τὰς ἵππους
Μέμνηται μὲν καὶ Μάξιμος ἱστοριῶν τοῖς λόγοις,
Ἃς ἱστορίας ἔγραψε Γρηγόριος ὁ μέγας.
Ἔπος δ' οὐδέν, οὐδὲ βραχὺ τῶν τοῦ χρησμοῦ εἰρήκει.
Ὁ δέ γε Θεοδώρητος ἐν βίβλῳ τῇ ἰδίᾳ,
Ἣν Θεραπείαν ἔγραψεν Ἑλληνικῶν παθῶν δέ,
Δύο ἐπῶν ἐκ τοῦ χρησμοῦ δοκῶ μοι μνημονεύει.
Μνασέας δὲ ὁ Παταρεὺς ἐν τοῖς αὐτοῦ βιβλίοις
Αὐτούς φησι τοὺς Αἰγιεῖς τοὺς ἐν τῇ Ἀχαΐᾳ,
Τοὺς Αἰτωλοὺς νικήσαντας μάχῃ τῇ κατὰ στόλον,
Ναῦν τούτων πεντηκόντορον Πυθοῖ ἀναθεμένους,
Καὶ ἐπαρθέντας ἐπ' αὐτῇ πυνθάνεσθαι τῇ νίκῃ·
Τίνων Ἑλλήνων κρείττονες τελοῦσιν ἐπ' ἀνδρείᾳ;
Τὴν δὲ Πυθίαν πρὸς αὐτοὺς τάδε τὰ ἔπη φάναι,
Ἅπερ ἐν τῇ Ἰξίονος προεῖπον ἱστορίᾳ,
Οἷα κἀκεῖσε Θετταλῶν ἵππων παρεγκειμένων.
Οὐ γὰρ ἐδόκουν ἔχειν με χρείαν χρησμοῦ ἐνθάδε.
Ἐπεὶ δὲ προσφυέστατον τοῦτον πεσεῖν ἐνταῦθα,
Καὶ νῦν αὐτοῦ κατάκουε πάλιν μοι λεγομένου.
„Γαίης μὲν πάσης τὸ Πελασγικὸν Ἄργος ἄμεινον,
„Ἵπποι Θετταλικαί, Λακεδαιμόνιαι δὲ γυναῖκες,

---

859. Margo cd. A. *ἐφ' ἧς.* HIST. 291.

868. *γε* pro *τε* scripsi. Ita est vs. 925. — In Theodoreti edit. Schulzii T. IV. p. 689. sqq.

871. Erat *Πτατά.* De Mnasea Patarensi seu Patrensi v. Vossius de histor. gr. p. 134.

873. In marg. cd. A. pro *τῇ κατὰ* est *τὸν πάντα.*

„Ἄνδρες δ' οἳ πίνουσιν ὕδωρ καλῆς Ἀρεθούσης.
„Ἀλλ' ἔτι καὶ τῶν εἰσὶν ἀμείνονες, οἳ τὸ μεταξὺ
„Τίρυνθος ναίουσι καὶ Ἀρκαδίας πολυμήλου,
„Ἀργεῖοι λινοθώρηκες, κέντρα πολέμοιο.
„Ὑμεῖς δ', Αἰγιέες, οὔτε τρίτοι, οὔτε τέταρτοι,
„Οὔτε δυωδεκαταῖοι, οὔτ' ἐν λόγῳ, οὔτ' ἐν ἀριθμῷ."
Τοῦτον ὃν ἔφην τὸν χρησμὸν κατ' ἔπος οὕτω λέγει,
Μνασέας Αἰγιεῦσι μὲν αὐτοῖς χρησμῳδηθῆναι.
Ὁ δὲ Καλλίμαχος αὐτοῦ τοῖς λόγοις ἀντιπίπτων
Οὐκ Αἰγιεῦσιν εἴρηκεν, ἀλλὰ τοῖς Μεγαρεῦσιν.

ΠΕΡΙ ΤΟΥ ΚΥΡΗΝΑΙΚΟΥ ΣΙΛΦΙΟΥ, ΕΡΡΗΘΗ. σϞβ'.

Περὶ τοῦ Κυρηναίου σοι Σιλφίου ἱστορία
Τῷ πρώτῳ κεῖται πίνακι ἑκατοστῇ δεκάτῃ.
Ἐν τῷ δευτέρῳ κεῖται δὲ τεσσαρακοστογδόῃ.
Ἑκατοστῇ δὲ πάλιν δὲ καὶ ἐνναικαιδεκάτῃ.
Καὶ στρέψας ταῦτα καὶ ἰδὼν ἐκεῖθεν ἀναλέγου.

ΠΕΡΙ ΤΟΥ, ΣΥΝΤΟΜΩΤΕΡΟΣ ΚΑΙ ΤΑΧΙΝΩΤΕΡΟΣ ΚΕΛΛΕΡΟΥ. σϞγ'.

Κέλλερας ὀνομάζουσι τοὺς ταχινοὺς Ῥωμαῖοι,
Ἔκ τινος Κέλλερε Τυῤῥηνοῦ, ὃν Κέλλερα ἔφην.
Λέγουσι γάρ, ὡς, κτίζοντος τὴν Ῥώμην τοῦ Ῥωμύλου,
Ῥέμος ὁ τούτου ἀδελφὸς τὸ κτίσμα διαπαίζων
Πολλάκις ὑπερήλατο τὴν τάφρον κτιζομένην.
Πίπτει δ' ὑπεραλλόμενος καὶ θνήσκει κατ' ἐκείνην.
Οἱ δὲ Ῥωμύλον λέγουσι κτεῖναι δορὶ βαλόντα,
Ἄλλοι δὲ Κέλλερ Τυῤῥηνὸν ταχύτατον εἰσάγαν,
Ὃς κτείνας τοῦτον πέφευγεν εὐθὺς εἰς Τυῤῥηνίαν.

HIST. 293.

901. Versus videtur sic legendus: ἔκ τινος Κέλλερ Τυῤῥηνοῦ, ὃν καὶ Κέλλερον ἔφην. Ita vs. 907. pro Κέλλερα scripsi Κέλλερ, syllabarum numero postulante.

902. Vid. Liv. I, 15. Dionys. II, 13. — Vossii Etym. s. v. tribus.

Ἐξ οὗ Ῥωμαῖοι κέλλερας πάντας ταχεῖς καλοῦσιν,
Ἐγὼ δ' εἰρωνευόμενος ἀστεϊσμοῖς καὶ παίζων,
Νωθρόν, βραδυποδώτατον ἁπάντων ἀνδραπόδων
Ταχύτερον νῦν εἴρηκα Κελλέρου καὶ Ἰφίκλου.

ΠΕΡΙ ΤΟΥ ΙΦΙΚΛΟΥ. σϟδ'.
(ἐῤῥήθη δ' ἐν ταῖς πρὶν μβ'.)

Ἴφικλος ἦν Φυλάκου παῖς, πατὴρ Πρωτεσιλάου.
Ὑπερτερῶν δὲ ὁ ἀνὴρ τῶν ὁμηλίκων τάχει,
Τοῖς μύθοις παρεγγέγραπται σταχύων ἄνω τρέχειν,
Μὴ κατακλᾶν ἀθέρας δὲ κουφότητι τοῦ δρόμου.
Αὕτη τῷ πρώτῳ πίνακι τυγχάνει γεγραμμένη,
Ἐν τόπῳ τεσσαρακοστῷ σὺν τούτῳ καὶ δευτέρῳ.

ΠΕΡΙ ΤΟΥ, ΦΡΟΝΙΜΩΤΕΡΟΣ ΟΔΥΣΣΕΩΣ ΚΑΙ ΝΕΣΤΟΡΟΣ. σϟέ.

Περὶ τοῦ, ὅτι φρόνιμος ὁ Ὀδυσσεὺς καὶ Νέστωρ,
Περὶ ἀμφοῖν ὁ Ὅμηρος τάδε κατ' ἔπος λέγει.
Περὶ τοῦ Ὀδυσσέως μὲν τῇ βῆτα ῥαψῳδίᾳ·
„Ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον·
„Ὢ πόποι, ἦ δὴ μυρί' Ὀδυσσεὺς ἐσθλὰ ἔοργε,
„Βουλάς τ' ἐξάρχων ἀγαθάς, πόλεμόν τε κορύσσων.
Περὶ δέ γε τοῦ Νέστορός φησιν ὁ Ἀγαμέμνων
Ἐν διαφόροις τόποις τε καὶ οὐχ ἑνὶ δὲ μόνῳ·
„Αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
„Τοιοῦτοι δέκα μοι συμφράδμονες εἶεν Ἀχαιῶν.
„Τῷ κε τάχ' ἠμύσειε πόλις Πριάμοιο ἄνακτος
„Χερσὶν ὑφ' ἡμετέρῃσιν ἁλοῦσά τε περθομένη τε.
Ταῦτα περὶ τοῦ Νέστορος ἐν Ἰλιάδος λόγοις.
Τῇ Ὀδυσσείᾳ πάλιν δὲ περὶ αὐτοῦ που λέγει,
„Ψεῦδος δ' οὐκ ἐρέει, μάλα γὰρ πεπνυμένος ἐστίν.

HIST. 295. 921. Iliad. II, 271. sqq. 371. sqq.

ΠΕΡΙ ΤΟΥ, ΜΝΗΜΟΝΕΣΤΕΡΟΣ ΙΣΟΚΡΑΤΟΥΣ ΤΟΥ ΡΗΤΟΡΟΣ ΚΑΙ ΔΗΜΗΤΡΙΟΥ ΤΟΥ ΦΑΛΗΡΕΩΣ. σϟϛʹ.

Ὁ Ἰσοκράτης ῥήτωρ μέν, ὃ καὶ τὴν τέχνην γράψας.
Καὶ ὁ Θεόφραστος αὐτός, ὁ Τύρταμος τὸ πρώην,
Κἂν ἀντ' αὐτοῦ Δημήτριον ἔγραψα Φαληρέα,
Ἁπάντων μνημονέστεροι θρυλλοῦνται τῶν ἐν βίῳ.
Ὑπὲρ γὰρ ἔτη ἑκατὸν ἀμφότεροι ἐν βίῳ
Ζήσαντες, συνεγράφοντο συγγράμματα μυρία·
Ὁ μὲν λόγους βασιλικούς, τέχνας καὶ παραινέσεις·
Θεόφραστος συνέγραψε πάλιν τοὺς χαρακτῆρας,
Ἐτῶν ὑπάρχων ἑκατὸν πάρεξ ἑνὸς καὶ μόνου.

ΠΕΡΙ ΤΟΥ, Ο ΜΩΜΟΣ ΠΑΝΤΑ ΟΡΩΝ ΕΑΥΤΟΝ ΟΥΧ ΟΡΑι. σϟζʹ.

Τὸν Μῶμον καὶ τὴν Λάμιάν φασιν οἱ μυθογράφοι
Τὰ τῶν ἑτέρων βλέποντας, τὰ ἑαυτῶν μὴ βλέπειν.
Ὁ Μῶμος πήραν γὰρ διπλῆν κατέχων ἐν τοῖς ὤμοις
Τὰ ἑαυτοῦ κατόπιν μὲν τῆς ῥάχεως βαστάζει,
Πάντα δὲ τὰ ἀλλότρια ἔμπροσθεν φέρων βλέπει.
Οὕτω τὸν Μῶμον γράφουσι. τὴν Λάμιαν δὲ πάλιν,
Οἴκοι φασὶ τοὺς ὀφθαλμοὺς κρύπτουσαν ἐν ἀγγείῳ,
Βλέπειν μηδὲν τῶν ἑαυτῆς, ἔξω δ' ἐξερχομένην
Τοὺς ὀφθαλμοὺς τοὺς ἑαυτῆς λαμβάνουσαν, πᾶν βλέπειν.
Λουκιανός που γέγραφε τὰ περὶ τῆς Λαμίας.

ΠΕΡΙ ΤΟΥ, ΤΑΣ ΕΜΑΣ ΦΑΛΑΙΝΑΣ. ΠΟΛΛΑ ΔΕ ΣΗΜΑΙΝΕΙ Η ΦΑΛΑΙΝΑ. σϟηʹ.

Φάλαινά τις ἰχθύς ἐστι θαλάσσιος, κητώδης,
Παρὰ τὸ ἅλλεσθαι εἰς φῶς φάλαινα καλουμένη.

HIST. 297.
943. Lucian. Philosoph. §. 2. Plutarch. de curios. p. 515. sq. T. II. Philostrat. Vit. Apoll. IV, 25.

HIST. 298.
953. Erat *φάλλαινα*, et sic ubique.

Ἐκτὸς ἐξερχομένη γὰρ ὑδάτων καὶ θαλάσσης
Ἡλίου θάλπεται βολαῖς. ταῦτα μὲν περὶ ταύτης.
Ἔστι καί τι ζωΰλλιον φάλαινα καλουμένη,
Ὃ ταῖς λυχνίαις ἵπταται καὶ τῷ πυρὶ δὲ θνήσκει,
Παρὰ τὸ ἅλλεσθαι εἰς φῶς καὶ αὔτη καλουμένη.
Ἐν δὲ τοῖς εἰς Λυκόφρονα ἐμοὶ ἐξηγηθεῖσι
Καὶ περὶ τούτου ἔγραψα τότε τοῦ ζωΰλλίου.
Ἔστι καὶ ζῶον ἕτερον φάλαινα κεκλημένον,
Φάλαινα, ψύχη, ψώρα τε καὶ πυραυστούμορος δέ,
Ὅπερ φασὶ κοινότερόν τινες κανδηλοσβέστραν.
Τοῦτο δὲ βουβαλόπαπάς τις σύρειν οὐκ ἀνῆκε,
Πρὸς ὃν τὸ ἐπιστόλιον ἐγράφη μωμοσκόπον.

ΠΕΡΙ ΤΟΥ, ΣΟΥΣ ΔΕ ΣΟΦΟΥΣ ΤΗΛΕΦΟΥΣ ΝΕΝΟΜΙΚΑΣ. σϟθʹ.

Οὗτος ὁ βουβαλόπαπας μωμοσκοπῶν τοιάδε,
Ἃ ὠφελείας ἕνεκεν ἐγράφησαν τῶν νέων,
Αὐτὸς βαρβάρως ἔγραψεν ὡς δῆθεν κωμῳδίαν
Εἰς πατριάρχην τὸν Στυπῆν, ἅπερ φλυάρως εἶπε
Καὶ τήλεφον ἐγκέφαλον εἰπὼν τοῦ πατριάρχου.
Βαβαὶ τῆς βαρβαρότητος καὶ τῆς ἀναισθησίας,
Ψύχας ἐμὰς φαλαίνας τὲ καὶ τὰ τοιαῦτα σύρεις,'
Βούβαλε βουβαλόπαπα βάρβαρα λῆρα γράφων.
Ἀριστοφάνης ἔγραψεν αὐτοῦ ταῖς κωμῳδίαις,
Θένων δι' ὀργῆς ἐκχέει τὸν Τήλεφον.
Ἐκεῖ δ' ἐμφαντικώτερον καταχρηστικωτέρως
Ἐδέξατο τὸν Τήλεφον ἀντὶ τοῦ ἐγκεφάλου,

---

960. Schol. ad vs. 84. ibique not. Thryllit.

965. I. e. insulsus Papa s. Presbyter. Vid. Dufresne s. v. παπᾶς.

HIST. 299.

970. Est Leo Stypiotes, patriarcha CPol. ab anno 1134. ad a. 1143. Monuit I. A. Fabricius in indice scriptor. in Chiliadibus citatorum.

973. Erat σύρει.

975. Aristoph. Ran. 880. θένων ὑπ' ὀργῆς, ἐκχέῃ τὸν Τήλεφον.

Ὅτι δρᾶμα πεποίηκε Τήλεφον Εὐριπίδης,
Ὅπερ Αἰσχύλος ὡς σαθρὸν ἐν λόγοις ἀνατρέπει.
Ἀντὶ τοῦ ἐγκεφάλου δὲ Τήλεφον αὐτῷ λέγει,
Ὡς τοῦ Τηλέφου παρ᾽ αὐτοῦ δράματος συρομένου,
Ποῦ δὲ δρᾶμα τὸν Τήλεφον ἔγραψε πατριάρχης,
Ὡς νῦν εἰπεῖν σε, βάρβαρε, Τήλεφον, ὡς ἐκεῖνος,
Καὶ τὸν ἐγκέφαλον δοκεῖν κυρίως τοῦτο λέγειν;
Ταῦτα γελώτων ἄξια, ταῦτα περικτέα πᾶσιν,
Οὐ μὴν οἱ πυραυστρούμενοι καὶ φάλαιναι καὶ ψύχαι.

ΠΕΡΙ ΤΩΝ ΝΕΙΛΩΩΝ ΡΥΑΚΩΝ. τ'.

Νεῖλος Αἰγύπτου ποταμὸς ἑπτάστομος ἐκρέων
Καὶ γῆν τοῖς πελαγίσμασιν ἄρδων ἐκείνην πᾶσαν,
Οὕτω τιθείς τε κάρπιμον καὶ πολυφορωτάτην.
Νειλώους δ᾽ εἴποις ῥύακας ἐπιστολῶν νῦν λόγους,
Νειλώων, Νειλωΐων δὲ γράφειν ῥευμάτων δέον,
Καὶ σὺν αὐτοῖς Νειλίων δὲ διὰ γραφῆς ἰῶτα,
Ὡς ἐκβληθέντος ἐν αὐτοῖς τοῦ ω τῶν Νειλωΐων.
Νειλείων τοῦ Νηλέως δὲ καὶ διφθόγγῳ Νειλέως,
Ὡς ἐκ Νηλεὺς καὶ τοῦ Νειλεύς, διφθογγογράφει γράφειν.

ΠΕΡΙ ΤΟΥ, ΓΛΩΣΣΑΝ ΤΗΝ ΛΑΛΙΣΤΕΡΑΝ ΤΕΤΤΙΓΩΝ ΚΑΙ ΑΤΤΙΚΗΝ. τα'.

Οἱ τέττιγες ζωΰφια τυγχάνουσι τῶν λάλων.
Τῷ καύματι τοῦ θέρους δὲ μᾶλλον λαλοῦσι πλέον.
Κἄνπερ κατάσχῃ τῶν πτερῶν τούτους τις παῦσαι θέλων,
Μᾶλλόν εἰσι λαλίστεροι καὶ τῶν ὀχληροτέρων.
CHILIAS X. Ὅθεν τοῖς λάλοις λέγεται τοιαύτη παροιμία,
Τέττιγα δόξεις τῶν πτερῶν τάχα κεκρατηκέναι.
Καὶ ὅτι λάλοι τέττιγες, κατάδηλον τοῖς πᾶσιν·

---

979. Vid. Valcken. diatrib. p. 210. sq.

986. *Περικτέα* corruptum esse, ostendit versus ratio. Lacisius vertit *obvia*, quo iure, nescio. An *ῥιπτέα*, reiicienda, legendum, vel *περιττά*?

HIST. 300.

995. Sic scripsi pro *διφθογγονειλέως*.

Οἱ Ἀττικοὶ ὁμοίως δὲ πάλιν τῶν μακρηγόρων,
Λάκωνες βραχυλόγοι δὲ τούτοις ἀπεναντίως.

ΠΑΡΟΙΜΙΑ, ΥΠΕΡ ΩΚΕΑΝΟΝ ΠΕΛΑΓΙΖΩΝ. τβ'.

Τὸ σχῆμα ταῦτα νόησον ὑπερβολήν μοι λέγειν.
Πλὴν ὑπερβολὴν, ὑπερβολὴν οὐδ' ἁπλουστάτην.
Ὠκεανὸς γὰρ σύμπασαν κυκλοῖ τὴν οἰκουμένην,
Πάντα πληρῶν πελάγη τε καὶ πάσας τὰς θαλάσσας.
Καὶ τίς ἂν πελαγίσειεν ὑπὲρ αὐτὸν ἐν λόγοις;
Εἰ μή που δοίης Ὅμηρον, ἢ τὸν πολὺν Ὀρφέα,
Ἢ Φαεννώ, ἢ Σίβυλλαν, εἴτε τινὰ τοιοῦτον.

ΠΑΡΟΙΜΙΑ Η ΛΕΓΟΥΣΑ, ΤΗΝ ΑΠΟΦΡΑΔΑ, ΤΑΥΤΗΝ ΚΑΙ ΕΚΦΥΛΟΝ. τγ'.

Ἡ ἀποφρὰς ἡ μισητή, ἥνπερ μισεῖ τις φράσαι.
Ἦσαν καὶ ἀποφράδες δὲ τοῖς παλαιοῖς ἡμέραι,
Ἐν αἷς τισι συνέβησαν θλίψεις καὶ περιστάσεις.
Ὡς τοῖς Ῥωμαίοις πώποτε τοῖς ἀνωτέρω χρόνοις,
Ὁπότε ἀπερχόμενοι πρὸς πόλεμον καὶ μάχην
Ἔπεσον τριακόσιοι τοῦ γένους τῶν Φαβίων·
Ὅτε καὶ πύλην ἔκλεισαν καθ' ἣν ἐξῆλθον οὗτοι,
Καὶ τὴν ἡμέραν ταῖς λοιπαῖς ἡμέραις οὐκ ἠρίθμουν·
Ὥσπερ καὶ ἔθνη ἕτερα δι' ἄλλας περιστάσεις
Τὰς ἃς ἡμέρας ταῖς λοιπαῖς οὐκ ἔταττον ἡμέραις.
Ἔλεγον δὲ τὰς πρὸ αὐτῶν καὶ μετ' αὐτὰς ἐν κλήσει·
Ἐκείνας οὐκ ἠρίθμουν δὲ τῶν ἡμερῶν τῇ κλήσει,
Ἀλλ' οὕτως ἔλεγον τυχόν, τρίτη καὶ μετ' ἐκείνην,

HIST. 302.

7. Versus in medio foede corruptus.

9. Sic versus restitutus, e cd. A. Erat πᾶσαν τὴν θάλασσαν.

10. Cd. A. πελαγήσειεν.

HIST. 303.

In marg. cd. A. παροιμία et ἔκφυλλον.

15. Erat αἷς τι.

18. Liv. II, 48. sqq. In cd. A. φαυίων.

24. Vid. interpret. ad Ovid. fast. I, 49. sqq.

Ἡ πέμπτη, ἕκτη, καὶ λοιπαί, καὶ μέτ᾽ ἐκείνην πάλιν.
Οὕτως οὐ κατωνόμαζον τότε τὰς ἀποφράδας,
Ἀλλ᾽ ἢ πρὸ τῆςδε ἔλεγον ταύτας ἢ μετ᾽ ἐκείνην.
Οὕτω τὴν ἀποφράδα μὲν οἶδας λαβοῦσαν κλῆσιν.
Τὸ ἔκφυλον καὶ ἔκφυλλον οὕτω δ᾽ ἐλέχθη πάλιν·
Ἀλλοεθνές, ἀλλότριον, ἐχθρόν, ἐκ τῶν βαρβάρων,
Ἢ ἔκφυλον ἐξόριστον, καὶ διωκτέον οὕτω.
Οἱ πρὶν γὰρ θέλοντές τινα γῆς ὅρων ἐξορίσαι,
Εἰς φύλλα ἢ καὶ ὄστρακα ἔγραφον κλῆσιν τούτου.
Εἰς τόπον δ᾽ ἀπετίθεντό τινα κεκυρωμένον.
Ἂν οὖν εἰς χίλια ποσῷ ἐκεῖνα περιέστη,
Ἡ ἐξορία τοῦ ἀνδρὸς ἐλάμβανε τὸ πέρας.
Εἰ δ᾽ οὔ, κατελιμπάνετο διάγειν τῇ πατρίδι.
Προσηγορίαν εἶχε δὲ τοῖς παλαιοῖς ἀνδράσιν
Ὁμοῦ ἐκφυλλοφόρησις καὶ ἐξοστρακισμὸς δέ.

ΠΕΡΙ ΤΥΦΩΝΙΚΟΥ ΠΝΕΥΜΑΤΟΣ. τδ.

Τυφὼν ἑκατογκέφαλος δαίμων μυθοπλαστεῖται,
Ὃν καὶ τὸν Δία λέγουσι τοῖς κεραυνοῖς τεφρῶσαι.
Ἐξ οὗ Τυφὼν πᾶς ἄνεμος σφοδρώτερος καλεῖται.

ΛΕΞΕΙΣ, ΕΠΙΣΚΥΝΙΟΝ ΚΑΙ ΕΜΒΡΟΝΤΗΤΟΣ. τέ.

Τὸ ἐπισκύνιόν ἐστι τὸ μέρος τῶν ὀφρύων,
Ὅπερ ποτὲ χαλάσαντες τοῖς τόποις τῶν βλεφάρων
Δοκοῦμεν ἄγριοί τινες εἶναι καὶ θηριώδεις,
Ῥηθὲν ἐξ ἀγριότητος τῶν σκύμνων καὶ θηρίων,
Ἢ ἐκ τοῦ σκύζω σκύνιον καὶ ἐπισκύνιον δέ.
Ἐμβρόντητοι κυρίως δὲ οἱ νοῦς ἀποβαλόντες
Ὑπὸ τοῦ κρότου τῶν βροντῶν τῶν ἄγαν βαρυκτύπων.
Λέγεται καταχρηστικῶς καὶ πᾶς ἐκπεπληγμένος.

---

34. Innuit Petalismum Syracusanorum, de quo Diodor. Sic. XI, 87. De ostracismo v. Plut. Vit. Aristid. c. 7. *Höger.*

ΠΕΡΙ ΤΟΥ, ΔΑΜΑΛΙΣ ΕΚ ΒΑΣΑΝ. τς'.

Ὁ μελῳδὸς τοῦτό φησιν εἰς τὴν Ἡρῳδιάδα·
Ὦ νῦν τῆς παροιστρήσεως τῆς τόσης τῆς Μαινάδος,
Ὦ τῆς πικρᾶς δαμάλεως Βασὰν ἐξορμησάσης.
Ἐκ τοῦ προφήτου δὲ αὐτὸς ἐχρήσατο τῷ λόγῳ·
Ὡς που καὶ ἡ βασίλισσα ἐκείνη Εὐδοκία,
Ἡ τοῦ μεγάλου Λέοντος ἡ πάνσοφος θυγάτηρ,
Γραμματικοῖς μαθήτρια οὖσα Ὑπερεχίου,
Ποτὲ καὶ τοῦ Ὠρίωνος μικρὸν ἀκροωμένη
Ῥητορικοῖς ἑτέρων δὲ καὶ φιλοσόφοις ἄλλων,
Ταῖς μεταφράσεσιν αὐτῆς ταῖς δι' ἐπῶν εἰρήκει·
Δρύες τῆς Βασανίτιδος ἀκούσατε, ὡς γράφει·
Οὐκ ἔχω λέγειν ἀκριβῶς, εἴτε τῷ Ζαχαρίᾳ,
Εἴτε τῇ μεταφράσει δὲ τοῦ Δανιὴλ ὁμοίως·
Τὴν γὰρ ὀκτάτευχον αὐτῆς καὶ συγγραφὰς ἑτέρας
Μέχρι νῦν οὐκ εὐτύχησα ἰδεῖν καὶ ἀναγνῶναι,
Καὶ μακαρίσαι τὴν χρυσῆν ἐκείνην βασιλίδα,
Καὶ τὰς ἡμέρας τὰς χρυσᾶς οὔσας ἐκείνης χάριν,
Ὅτε τοιαύτη δέσποινα καὶ δι' ἐπῶν καὶ οὕτως
Ἔγραφε τεχνικώτατα, μηδὲ στιγμὴν ἐῶσα.

Τανῦν δὲ τρισεξάγιστα τῶν ἀμαθῶν κνωδάλων
Βίβλους βαρβάρους γράφοντα καὶ τρισεπιβαρβάρους
Ὡς τεχνικοὶ κηρύττονται τοῖς μεθυσοκοττάβοις,
Καὶ τεχνικὸν μὴ γράφοντες μηδέν, μηδὲ εἰδότες,
Τρεφόμενοι κοπρῶνι δὲ τῆς Κίρκης ἀτεχνίας,
Οὐ μόνον οὐκ ἐθέλουσιν ἐᾶν τὸ τρώγειν κόπρον,
Ἀλλὰ καὶ εἴ τις Ὀδυσσεὺς Ἑρμοῦ βαστάζων μῶλυ,
Λόγους κανόνας τε τεχνῶν, ἅπερ κοσμοῦσι βίον,
Ἐκ χοίρων τούτους βουληθῇ τέχναις ἀνθρώπους δρᾶσαι,
Ὅσος ὁ γρύλλος παρ' αὐτῶν, ἡ βόρβορος δὲ πόση,

HIST. 306.
53. Margo cd. A. τοσαύτης pro τῆς τόσης.

80. Vid. Lobeck. ad Phryn. p. 102.

ΠΕΡΙ ΤΟΥ, ΑΛΛ' ΟΥΝ ΕΓΩ ΕΠΕΥΧΟΜΑΙ ΤΟΙΣ ΑΛΑΣΤΟΡΣΙΝ. τιά.

Ἐπεύχομαι ἃς κατ' αὐτῶν ἀρὰς ἐπηρασάμην,
Τὸ λεπτυνεῖ, λικμήσει τε, ἐξάξει γῇ ἀνύδρῳ,
Ἐπάξει τούτοις τὰ κακά, κῶμαι αὐτῶν ἐπαύλεις,
Καὶ πᾶν ὁπόσον ἀγαθὸν αὐτοῖς ἐπηρασάμην.

ΠΕΡΙ ΤΟΥ, ΓΥΜΝΟΣ ΕΞΗΛΘΟΝ ΕΚ ΚΟΙΛΙΑΣ ΜΗΤΡΟΣ ΜΟΥ. τιβ'.

Ἰὼβ ἐκεῖνος ὁ πολὺς τοῖς πειρασμοῖς τοῖς τόσοις,
Διαρπαγαῖς, ἀποβολαῖς χρημάτων καὶ πραγμάτων,
Ἐπιδρομαῖς βαρβάρων τε, πυρὸς ἐξ οὐρανίου,
Γυμνὸς ἐξῆλθον, ἔλεγεν, ἀπὸ μητρὸς κοιλίας.
Καὶ πνεύματι βιαίῳ δὲ πεσούσης τῆς οἰκίας
Καὶ πάντας ἄρδην τοὺς αὐτοῦ παῖδας ἀποκτεινάσης,
Κύριος, εἶπεν, ἔδωκεν, πάλιν ἀφείλετό μου.
Ὡς τῷ κυρίῳ ἔδοξεν, οὕτως ἐγένετό μοι.

ΠΕΡΙ ΤΟΥ, ΚΡΕΙΤΤΟΝΑ ΙΩΒ ΣΟΙ ΕΠΙΣΥΜΒΗΣΕΤΑΙ. τιγ'.

Μετὰ πολλοὺς τοὺς πειρασμούς, μετὰ τὰς περιστάσεις,
Οὓς ὁ θεὸς ἐπείρασεν Ἰὼβ τὸν εἰρημένον,
Διαρπαγαῖς, ἀποβολαῖς χρημάτων καὶ πραγμάτων,
Οἰκίας καταπτώσει τε καὶ παίδων ἀναιρέσει,
Λεπρώσει ἀφορήτῳ τε, πενίας μετ' ἐσχάτης,
Ὑγείαν τούτῳ καθαρὰν τῆς πρὶν διδοῖ καλλίω,
Καὶ παῖδας διπλασίονας, οἰκίας, κτήνη, τἆλλα.

ΠΕΡΙ ΤΟΥ, ΝΕΚΡΩΝ ΚΕΥΘΜΩΝΑ ΚΑΙ ΣΚΟΤΟΥ ΠΥΛΑΣ ΛΙΠΩΝ. τιδ'.

Πολύδωρον Ἑκάβης τε καὶ τοῦ Πριάμου παῖδα
Ὁ Πολυμήστωρ ἔκτεινεν, ὁ τῶν Θρᾳκῶν κατάρχων,
Ἀφ' οὗ τὴν Τροίαν ἔμαθεν Ἕλλησι πορθηθῆναι.
Καὶ κτείνας εἰς τὴν θάλασσαν ἔῤῥιψε τὴν ἐκεῖσε,

Καίπερ λαβὼν παρὰ πατρὸς, ὅπως αὐτὸς φυλάσσοι.
Ἑκάβης αἰχμαλώτου δὲ οὔσης ἐν Χεῤῥονήσῳ,
(Ἐκεῖ γὰρ καὶ τὸ στράτευμα ὑπῆρχε τῶν Ἑλλήνων)
Ὄναρ φανεὶς Πολύδωρος τῇ σφῇ μητρὶ Ἑκάβῃ,
Ὅπως αὐτὸν ἀπέκτεινεν ὁ Πολυμήστωρ, λέγει,
Καὶ τὰ λοιπὰ δὲ σύμπαντα λεπτομερεῖ τῷ λόγῳ.
Οὕτω κατ᾽ ἔπος λέγει δὲ διὰ τοῦ Εὐριπίδου,
„Ἥκω νεκρῶν κευθμῶνα τε καὶ πύλας ἀφεὶς σκότου,
Ἐκ τότε τοῖς φυγοῦσι δὲ δεινῆς ἐξ ἀῤῥωστίας,
Ὡς ἐγερθεῖσιν ἐκ νεκρῶν, λέγομεν τὰ τοιαῦτα.
Τοῖς μὴ μαθοῦσι γράφομεν, οὐ τοῖς μαθοῦσι, ταῦτα.

ΠΕΡΙ ΤΟΥ, ΜΗ ΕΙΝΑΙ ΜΝΗΜΑΤΑ ΕΝ ΑΙΓΥΠΤΩι. τιέ.

Πολλοῦ λαοῦ κατ᾽ ἔρημον θνήσκοντος τῶν Ἑβραίων,
Οἱ ζῶντες ἔλεγον Μωσεῖ, μεγάλως δυσφοροῦντες,
Περὶ τοῦ μνήματα, Μωσῆ, μὴ εἶναι ἐν Αἰγύπτῳ,
Ὡς θανατώσων ἤγαγες ἡμᾶς ἐν τῷ ἐρήμῳ.
Ἔπεσον δὲ, ὡς γράφουσιν, ἀπὸ τῶν γογγυζόντων
Δέκα ὁμοῦ καὶ τέσσαρες ἀνθρώπων χιλιάδες.
Εἴτε δὲ ὡς γογγύζοντες ἔπεσον οἱ τοσοῦτοι,
Εἴτε καὶ τὸ ἀνάπαλιν, πεσόντων τῶν τοσούτων,
Ἐγόγγυζον οἱ ἕτεροι, θεὸς γινώσκει μόνος.

ΠΕΡΙ ΤΟΥ, ΠΑΡΑ ΤΑ ΘΕΣΣΑΛΟΝΙΚΗΣ ΚΑΙ ΤΑ ΠΑΙΟΝΩΝ ΕΞΕΔΡΑΜΕΣ ΟΡΙΑ. τις´.

Ἡ νῦν Θεσσαλονίκη μὲν πόλις ἡ λαμπροτάτη
Ὑπῆρχε κώμη, Θερμὴ δὲ τὴν κλῆσιν ἐκαλεῖτο.
Καὶ μέχρι νῦν τὸ πέλαγος τὸ τῆς Θεσσαλονίκης
Θερμαῖος κόλπος λέγεται, ἀπὸ τῆς Θέρμης κώμης.

HIST. 315.

167. Quod recepi, περὶ τοῦ, hoc in cd. A. superscriptum est pristinae lectioni παρὰ τό.

HIST. 316.

In inscriptione post παρὰ addidi τά.

174. De urbe Thessalonice

Ἣν πόλιν κτίσας Κάσσανδρος, γαμβρὸς ὢν τοῦ Φιλίππου,
Θεσσαλονίκην κέκληκεν εἰς ὄνομα συζύγου
Θεσσαλονίκης, θυγατρὸς τελούσης τοῦ Φιλίππου.
Κτίζει καὶ τὴν Κασσάνδρειαν, εἰς ὄνομα οἰκεῖον.
Ἄλλοι τὸν Φίλιππόν φασι κτίσαι Θεσσαλονίκην,
Στοργῇ παιδός, ἧς ἔφημεν ἄρτι Θεσσαλονίκης·
Ἄλλοι δ' ὅτι ἐνίκησε τοὺς Θετταλοὺς πολέμῳ.
Παίονες δὲ οἱ Βούλγαροι. μὴ πείθου τοῖς βουβάλοις,
„Ἄλλους τινὰς τοὺς Παίονας νομίζειν παρὰ τούτους,
Οἳ Ἄξιον νομίζουσιν ἕτερον τοῦ Βαρδάρη,
Καὶ Ἀξειόν, οὐκ Ἄξιόν φασι γραφῇ διφθόγγῳ,
Ὥσπερ μηδὲ ἀκούσαντες ἐπῶν τῶν Ὁμηρείων:
„Αὐτὰρ Πυραίχμης ἄγε Παίονας ἀγκυλοτόξους,
„Τηλόθεν ἔνθεν ἔλεξεν, ἀπ' Ἀξίου εὐρυρέοντος.
Ἀπὸ τοῦ Πίνδου ὄρους δὲ καὶ τῶν μερῶν Λαρίσσης
Καὶ ἐκ τοῦ Δυῤῥαχίου δὲ πάλαι κρατοῦντες ἦσαν,
Μέχρι σχεδὸν τῆς πόλεως αὐτῆς τῆς Κωνσταντίνου,
Ἄχρι τοῦ αὐτοκράτορος κρατίστου Βασιλείου,
Ὃς παντελῶς συνέτριψεν ἐκείνων τὸν αὐχένα,
Καὶ δούλους τούτους τέθεικε τῷ τῶν Ῥωμαίων κράτει.

ΠΕΡΙ ΤΟΥ ΗΡΟΔΟΤΟΥ ΤΩΝ ΕΓΚΩΜΙΩΝ ΑΚΟΥΣΑΝΤΟΣ. τιζ.

Τὸν Πίγρην ὁ Ἡρόδοτος δοκῶ καὶ τὸν Μαντύην,
Παιόνων ὄντας ἄρχοντας, ἐχθρεύσαντας ἑτέροις,
Λέγει, ποθοῦντας τὴν ἀρχὴν λαβεῖν τὴν τῶν Παιόνων,
Μετ' ἀδελφῆς τῆς ἑαυτῶν ἐλθεῖν ὡς πρὸς τὰς Σάρδεις,
Ἐκεῖσε διατρίβοντος τότε καὶ τοῦ Δαρείου,

---

cf. Cellarii Not. Orb. Ant. T. I. p. 839. et de Cassandrea p. 843. ed. Schw.

189. In cd. A. videtur esse *ἤκουσαν*. In edit. Bas. *ἄκουσαν*.

190. Iliad. II, 848. sq. *τηλόθεν ἐξ Ἀμυδῶνος, ἀπ' Ἀξιοῦ εὐρ.*

194. Erat *αὐτῆς πόλεως Κωνσταντίνου.*

195. Margo cd. A. *ἐκείνων* *Basilius* Bulgariam sibi subiecit 1018.

HIST. 317.

198. Herodot. V, 12. sqq.

Μᾶλλον πλέον νομίζω δὲ υἱοῦ τούτου, τοῦ Ξέρξου.
Πλησίον δὲ σκηνώσαντας ἐκείνην ἀποστεῖλαι,
Ἵππον ἐκείνων ἀγαγεῖν πρὸς πόσιν, πρὸς ἀρδείαν.
Ἡ δὲ ποτοῦ κεράσασα τὸν ἵππον ὅνπερ εἶπον,
Ὕδατός τε πληρώσασα τὸ ἄγγος ὃ κατεῖχεν,
Αὐτῆς τε θεῖσα κεφαλῇ, χειρὶ δ' ἐριουργοῦσα,
Τὴν δὲ σειρὰν κατέχουσα τοῦ ἵππου τῇ ἀγκάλῃ,
Πρὸς ἀδελφῶν τῶν ἑαυτῆς πάλιν σκηνὴν ἐχώρει.
Ἰδόντες πάντες Πέρσαι δὲ καὶ τούτων ὁ σατράπης
Ἐθαύμασαν τὸ γύναιον, λέγοντες πόθεν εἴη.
Καιροῦ δ' οἱ ταύτης ἀδελφοὶ δραξάμενοι εὐθέτου,
Πέρσαι, φασί, καὶ βασιλεῦ ἁπάσης τῆς Περσίδος,
Τοιαῦται σύμπασαί εἰσι Παιόνων αἱ γυναῖκες.

ΠΕΡΙ ΤΩΝ ΠΥΓΟΣΤΟΛΩΝ ΘΥΓΑΤΕΡΩΝ ΠΑΙΟΝΩΝ. τιή.

Πρὸς Πέρσην ὁ Ἡσίοδος τὸν ἀδελφὸν εἰρήκει·
„Μὴ δὲ γυνή σε νόον πυγοστόλος ἐξαπατάτω.
Λέγεται πυγοστόλος δὲ διὰ τοὺς δύο τρόπους·
Ἢ γὰρ ὡς συστολίζουσα πυγῶνας καὶ τοὺς πήχεις
Βραχιονίων ἐμβολαῖς λέγεται πυγοστόλος·
Ἢ ὡς στολίζουσα πυγάς, τὰ περὶ ἕδραν μέρη,
Ζώναις πλατείαις κροσσωτοὺς ἐχούσαις καὶ θυσσάνους.
Καὶ αἱ Παιόνων ἦσαν δὲ τοιαῦται θυγατέρες
Καὶ μέχρι νῦν τοιαῦται δὲ δουλείᾳ τῇ ἐσχάτῃ,
Τὴν ἣν ὁ κραταιότατος Βασίλειος ὁ μέγας
Πᾶσαν ἐδουλαγώγησε τὴν γενεὰν Παιόνων.
Ἔτι καὶ γὰρ περὶ πυγὰς τὰς ἑαυτῶν ἐκεῖναι

---

203. Erat *τοῦ τούτου*.
205. Margo cd. A. pro altero *πρὸς* praebet *καί*.
206. Valck. ad Herodot. V, 12. corrigit *κορέσασα*.
211. Pro *πᾶσαι*, quod etiam in cd. est, *πάντες* scripsi. Quam tamen mutationem non omnino praestiterim.
212. Margo cd. A. *ἐθαύμαζον*.

HIST. 318.

216. Op. et D. 343.

Ζώνας πλατείας φέρουσι, ῥαβδώδεις, πολυκρόσσους.
Καὶ πήχεις δὲ στολίζουσι τοὺς ἑαυτῶν ὁμοίως,
Βραχιονίοις σιδηροῖς, χαλκοῖς καὶ ὑελίνοις.
Ἐνίοτε ὀστάριά τινα ἀστραγαλώδη
Καὶ ἕτερα τοιαῦτα δὲ δίκῃ βραχιονίων,
Δεσμοῖς τισὶ συνδήσασαι βραχίοσι φοροῦσιν.

ΤΙ ΤΟ ΚΑΤΑ ΤΟΝ ΧΡΥΣΟΓΛΩΤΤΟΝ ΟΜΗΡΟΝ ΠΕΛΟΝ, ΠΥΓΟΥΣ ΑΕΘΛΟΦΟΡΟΥΣ, ΑΙ ΑΕΘΛΙΑ ΠΥΓΑΙΣ ΑΡΟΝΤΟ. τιθ΄.

Φέρει τὸν Ἀγαμέμνονα Ὅμηρος ἐν Ἰῶτα,
Τὸ νεῖκος διαλύοντα τὸ πρὸς τὸν Ἀχιλλέα,
Δῶρα πολλὰ μὲν ἕτερα λέγοντα τούτῳ δοῦναι·
„Αἴθωνας δὲ λέβητας ἐείκοσι, δώδεκα δ' ἵππους
„Πηγούς, ἀεθλοφόρους, οἳ ἀέθλια ποσσὶν ἄροντο.
Οὕτως ὁ Ὅμηρος πηγούς, τοὺς εὐτραφεῖς εἰρήκει.
Καὶ τὰ ἀέθλια ποσὶν εἶπεν ἀρέσθαι τούτους.
Ἐγὼ δ' ἀστεϊζόμενος ταύτας πυγοὺς εἰρήκειν,
Καὶ τὰ ἀέθλια πυγαῖς καὶ οὐ ποσὶν ἀρέσθαι.
Τὸ σχῆμα τοῦτο ἄκουσον ὅπως καλεῖν σε δέον.
Τὸ μὲν πυγοὺς ἀντὶ πηγοὺς παραγραμματισμόν μοι,
Ἀντὶ ποσὶ δὲ ἄροντο, πυγαῖς ἄροντο, πάλιν
Τὸ σχῆμα λέγειν τεχνικῶς νόει μοι παρῳδίαν.
Ἀστεϊσμοῖς ἀμφότερα ταῦτα δὲ χρησιμεύει,
Καὶ κωμῳδίαις προσφυᾶ γίνωσκε πεφυκέναι,
Ὥσπερ ὁ ἀμαθέστατος τοῦ Σεβαστοῦ σοι γράφω.

ΠΕΡΙ ΤΩΝ ΟΣΤΩΝ, ΩΝ ΙΕΖΕΚΙΗΛ ΕΓΕΝΕΤΟ ΘΕΑΤΗΣ. κτ΄.

Πάλαι μὲν Ἰεζεκιὴλ ἐκεῖνος ὁ προφήτης
Πεδίον ἐθεάσατο νεκρῶν ὀστέων πλῆρες,
Υἱὲ ἀνθρώπου δὲ αὐτῷ φωνὴ φρικώδης λέγει,

HIST. 319.
234. Iliad. IX, 123. sq.

HIST. 320.
250. Ezech. cap. XXXVII.

Προφήτευσον, εἰ ζήσεται ταῦτά γε τὰ ὀστέα.
Καὶ μετὰ ταῦτα ἐπ' αὐτὰ πνεῦμα θεοῦ ἐπῆλθε,
Καὶ συνεδέθησαν ὀστᾶ ὀστέοις, ἁρμονίαις.
Καὶ σάρκες δὲ καὶ δέρματα καὶ πνεῦμα ζῶν ἐδόθη
Ὀστέοις τούτοις τοῖς ξηροῖς καὶ ἔζησαν εὐθέως.
Καὶ ἀναστάντα ἔστησαν ἄνθρωποι τῶν τελείων
Σφόδρα σφόδρα γενόμενοι, παρεμβολὴ μεγάλη,
Εἰς πίστιν ἀναστάσεως ἐσχάτης ἣν δοκοῦμεν.

ΠΕΡΙ ΤΟΥ ΚΥΜΑΙΟΥ ΛΕΟΝΤΟΣ. τκά.
(προσεγράφη δέ.)

Ὄνος ἐν Κύμῃ γεγονὼς μέγας ὑπὲρ τοὺς ὄνους,
Λέων δοκῶν ἐν λεοντῇ, ἐκ τῆς φωνῆς ἐγνώσθη.
Δεκάτην ταύτην εὕρῃς δὲ πίνακι τῷ δευτέρῳ.

ΠΕΡΙ ΑΛΕΞΑΝΔΡΟΥ ΕΠΙΔΡΑΜΟΝΤΟΣ ΚΑΙΡΟΝ ΚΑΙ ΤΗΣ ΤΟΥ ΧΡΟΝΟΥ ΠΑΡΑ ΛΥΣΙΠΠΟΥ ΑΝΑΣΤΗΛΩΣΕΩΣ. τκβ΄.

Ἡ ἱστορία κεῖται μὲν ἐν τῷ ἐπιστολίῳ.
Ὅμως συντόμως λέξωμεν κἀνταῦθα περὶ ταύτης.
Ὁ Μακεδὼν Ἀλέξανδρος, ὁ βασιλεὺς ὁ μέγας,
Ἤσχαλλε χρόνον ἐκδραμὼν ποτε τῶν προσηκόντων.
Τότε τελῶν δ' ὁ Λύσιππος ἀνδριαντοεργάτης
Τὸν χρόνον ἠγαλμάτωσε σοφῇ τῇ διανοίᾳ,
Κωφόν, ὀπισθοφάλακρον, πτερόπουν ἐπὶ σφαίρας,
Πρὸς τὸ κάτοπιν μάχαιράν τινι διδόντα πλάσας,
Πάντας ἐντεῦθεν νουθετῶν, χρόνον μὴ παρατρέχειν.
Διακοσιοστή ἐστιν ἐν πίνακι δευτέρῳ,
Ὅπουπερ ταύτην ἐφευρὼν ἀκριβεστάτως μάθε.

HIST. 321.
265. Cd. A. λέξομεν pro λέξωμεν.
268. Margo cd. A. θέλων pro τελῶν.

ΠΕΡΙ ΤΩΝ ΠΑΡΑΛΗΡΟΥΝΤΩΝ, ΤΗΝ ΤΟΥ ΧΡΟΝΟΥ ΑΝΑΣΤΗΛΩΣΙΝ ΒΙΟΥ ΕΙΝΑΙ ΑΝΑΣΤΗΛΩΣΙΝ ΚΑΙ ΟΥ ΧΡΟΝΟΥ.

τκγ'.

Ἄνθρωποι δοκησίσοφοί τινες ἐκ φιλοσόφων,
Περὶ τιάρᾳ, τρίβωνι καὶ ἀρχιερωσύνῃ,
Καὶ συμμορίᾳ δόκησιν οὐχὶ μικρὰν λαβόντες
Βίου στήλην ὠνόμαζον, κατεκομπολακύθουν,
Οὐ μήν γε χρόνου ἔφασκον εἰκόνα πεφυκέναι,
Τὴν ἣν στήλην ὁ Λύσιππος εἰργάσατο, ὡς ἔφην·
Τῶν ὧν γελῶν τὸν τῦφον τε καὶ τὴν ἀνοησίαν
Ἀπέδειξα τρανότατα καθηγουμένῳ γράφων,
Πρὸς ὃν ἐκεῖνοι πρότερον ἐλήρουν τὰ τοιαῦτα.
Καὶ ὁ Αὐσίτης γὰρ Ἰὼβ τῇ ὁμωνύμῳ βίβλῳ,
Τίς κατὰ μῆνα ἡμερῶν θείη τῶν πρίν με, ἔφη.
Οὐχὶ περὶ οὐσίᾳ δὲ καὶ πλούτῳ βίου εἶπε,
Καὶ γὰρ κἀκεῖνος ὕστερον βίον καλλίω εὗρε·
Χρόνον δὲ παρῳχόμενον οὐδεὶς λαβεῖν ἰσχύει.
Καὶ Δημοσθένης δὲ κωφὸν καὶ φαλακρόν που λέγει,
Ὡς ταῦτον ὄντως ἔγραψεν ὁ Λύσιππος ἐκεῖνος.
Βίου δ' εἰκόνα μέχρι νῦν οὐδεὶς ἐφάνη πλάσας.
Βίον ἐγὼ δὲ ζωγραφεῖν οὕτω ζωγράφοις λέγω,
Ἄνθρωπον γράφειν μὲν λαμπρόν, θρόνους, ἀρχάς, ἐπάρσεις,
Καὶ θύελλαν βαθύσκοτον, κρύπτουσαν αἴφνης πάντα.

ΠΕΡΙ ΤΟΥ, ΧΡΟΝΟΝ ΔΕ ΠΑΡΟΙΧΟΜΕΝΟΝ ΚΑΙ ΘΕΩι ΜΕΤΑΠΟΙΗΣΑΙ ΑΔΥΝΑΤΟΝ.

τκδ'.

Πάντα θεὸς δυνάμενος ἓν οὐχὶ σθένει μόνον,
Χρόνον τὸν παρελθόντα τε καὶ πεπραγμένον πρᾶγμα
Ποιῆσαι μὴ γενόμενα, μὴ παρεληλυθότα.

HIST. 323. 285. Iob. XXIX, 2.

Οὐ γὰρ γένοιτο ταῦθ', ὅπως οὐχ ὧδ' ἔχειν
Ὡς Σοφοκλῆς καὶ ἕτεροι γεγράφασι μυρίοι.

ΠΕΡΙ ΤΟΥ, Ω ΧΡΥΣΟΥ ΓΕΝΟΥΣ ΑΠΟΜΟΙΡΑ. τκέ.

Ἐν ἔργοις δ' Ἡσίοδος καὶ ταῖς ἡμέραις λέγει,
„Χρύσεον μὲν πρώτιστα γένος μερόπων ἀνθρώπων
„Ἀθάνατοι ποίησαν, Ὀλύμπια δώματ' ἔχοντες.
Καὶ ἐν τοῖς Φαινομένοις δὲ Ἄρατος πάλιν λέγει,
„Τόφρ' ἦν, ὄφρ' ἔτι κεῖνο γένος χρύσειον ἔφερβεν,
„Ἀργυρέῳ δ' ὀλίγη τε, καὶ οὐκέτι πάμπαν ὁμοίη.
Χρυσοῦν δὲ γένος ἀμιγεῖς ἄνθρωποι τῆς κακίας.
Ἐκ τούτου γένους τοῦ χρυσοῦ πάντας φαμὲν ἀνθρώπους,
Ὁπόσοι τι χρηστὸν εἰσιν ἐν βίῳ εἰργασμένοι.

ΟΤΙ ΟΙ ΚΕΡΚΥΡΑΙΟΙ ΦΑΙΑΚΕΣ ΑΠΑΝΤΩΝ ΑΝΔΡΩΝ ΕΚΡΙΘΗΣΑΝ ΝΑΥΤΙΚΩΤΑΤΟΙ. τκϛ'.

Οἱ Κερκυραῖοι Φαίακες βίβλῳ τῆς Ὀδυσσείας
Τῶν πάντων ναυτικώτεροι ἐκρίθησαν Ὁμήρῳ,
Ὡς νοῦν καὶ φρένας ταῖς αὐτῶν ναυσὶν ἐντεθεικέναι,
Καὶ πόλεις, τόπους καὶ ἀγρούς, πελάγη καὶ λιμένας
Λέγων μόνας ἐπίστασθαι καὶ δίχα κυβερνήτου.

HIST. 324.

299. Aiac. vs. 376. Lob. (371. Herm.)

HIST. 325.

300. Ἔργ. v. 109. sq. Margo cd. A. οὐχὶ οὕτως δὲ ἔχειν.

303. Vers. 114. sqq.

304. In Arato pro κεῖνο est Γαῖα et pro ὁμοίη etiam ἑτοίμη. Lectionem ὁμοίη tamen praetulit et recepit *I. H. Vossius*; quem vide.

HIST. 326.

309. Odyss. VIII, 557. sqq.

ΠΕΡΙ ΦΑΙΑΚΙΔΩΝ ΙΣΤΟΥΣ ΤΕΧΝΟΥΣΩΝ, ΟΙΑ ΤΕ ΦΥΛΛΑ ΜΑΚΕΔΝΗΣ ΑΙΓΕΙΡΟΙΟ. τκζʹ.

Ἐν Ὀδυσσείᾳ Ὅμηρος, ὡς φθάσας προειρήκειν,
Ναυτικωτέρους Φαίακας δείξας ἀνθρώπων πάντων,
Καὶ γυναικῶν τῶν ἁπασῶν τὰς τούτων δὲ γυναῖκας
Εἰς ἱστουργίαν κρείττονας δεῖξαι βεβουλημένος,
Ὅσον οἱ Φαίακες, φησίν, ἄριστοι τῶν ἁπάντων,
Νῆα θοὴν ἰθύνειν τε καὶ κυβερνᾶν ἐν πόντῳ,
Τόσον καὶ αἱ γυναῖκες δὲ τούτων αἱ Φαιακίδες
Τῶν γυναικῶν τῶν ἁπασῶν ὑπέρτεροι τελοῦσιν,
Ἱστοὺς ἐπιτεχνήσασθαι τόποις τοῖς ἱστουργίας.
„Ἥμεναι, οἷά τε φύλλα μακεδνῆς αἰγείροιο·
„Καιροσέων δ' ὀθονέων ἀπολείβεται ὑγρὸν ἔλαιον.
Ταῦτα περὶ τῆς ἱστορίας μέν. δεῖ δέ με καὶ τὴν λέξιν
Τανῦν ἐπεξηγήσασθαι, μή πως ληρῇς, ὡς ἄλλοι.
Καίροσις ἡ συνάφεια τοῦ ὕφους τῆς ὀθόνης,
Ἡ πύκνωσις, ἡ σύνθεσις στημόνων καὶ τῆς κρόκης,
Ἐξ ἧς πολλῆς πυκνώσεως ἀρίστως ὑφασμένης,
Ἐξ ὑφασμάτων στίλψις τε φαίνεταί τις καὶ αἴγλη,
Οἷά ἐστιν ἡ λείωσις καὶ στίλψις τοῦ ἐλαίου.

ΚΑΕΙΡΑΣ ΜΕΝ ΚΑΙ ΤΑΣ ΕΚ ΜΗΙΟΝΩΝ ΓΥΝΑΙΚΑΣ ΧΡΩΜΑΤΟΥΡΓΕΙΝ ΕΥΦΥΩΣ ΤΑΣ ΒΑΦΑΣ. τκηʹ.

Ὅμηρος τῇ τῆς δέλτα μέν φησί που ῥαψῳδίᾳ,
Τοῦ Μενελάου τόξευμα λαβόντος ἐκ Πανδάρου
Καὶ τῶν μηρῶν βαφέντων δὲ ῥοῇ τῇ τῶν αἱμάτων
Ἐκφράζων ἐν τῷ βούλεσθαι παίζειν ὀδύναις ἄλλων,
„Ὡς δ' ὅτε τίς τ' ἐλέφαντα γυνὴ φοίνικι μιήνῃ

HIST. 327.
314. Odyss. VII, 105.
325. Versus duabus syllabis longior. Videtur praepositio περὶ eiicienda.

HIST. 328.
332. Iliad. IV, 141.

„Μηονὶς ἠὲ Κάειρα, παρήϊον ἔμμεναι ἵππων.
Καὶ ἵνα τἄλλα παρεικὼς τὸ τελευταῖον εἴπω,
Οὐ γὰρ πιστεύομαι πολλοῖς ἐκ στήθους ταῦτα γράφειν.
„Τοιοῦτοι, Μενέλαε, μιάνθην αἵματι μηροὶ
„Εὐφυέες, κνῆμαί τε ἰδὲ σφυρὰ κάλ᾽ ὑπένερθεν.
Ἐπεὶ καὶ Μηονίδας δὲ ἤκουσας καὶ Καείρας,
Μάθε καὶ μὴ ἀγνόει μοι, τίνες εἰσὶν ἐκεῖναι·
Κάειραι μὲν αἱ Κάειραι γυναῖκες τῆς Καρίας,
Αἱ Μηονίδες πάλιν δὲ αἱ κάτοικοι Λυδίας,
Ὧνπερ Λυδῶν βασίλειον ὑπῆρχον πρὶν αἱ Σάρδεις.

ΤΑΣ ΜΙΛΗΣΙΩΝ ΔΕ ΜΕ ΔΙΔΑΣΚΟΥΣΙ ΠΕΡΙ ΣΤΡΩΜΝΩΝ ΕΡΓΑΣΙΑΝ ΚΕΡΚΙΔΑ ΚΙΝΕΙΝ ΔΕΞΙΩΣ. τκθ'.

Τὸ παλαιὸν περὶ στρωμνὰς ἦν τῇ Μιλήτῳ φήμη·
Ἔρια τὰ Μιλήσια κάλλιστα γὰρ τῶν πάντων,
Κἂν ὦσι τῶν Κοραξικῶν φέροντα δευτερεῖα.
Ὅθεν φυγὼν Θεμιστοκλῆς ἐξ Ἀθηνῶν εἰς Πέρσας
(Κατηγορήθη γὰρ δεινῶς παρ᾽ Ἀθηναίοις τότε
Οἷα φρονῶν τὰ τῶν Περσῶν καὶ γνώμης ὢν τοῦ Ξέρξου)
Παρ᾽ Ἀρταξέρξου τοῦ υἱοῦ τοῦ προῤῥηθέντος Ξέρξου
Κατά τινας τρεῖς ἔλαβε πόλεις ἐκ τούτου δῶρον,
Μῦραν, Μυοῦντα, σὺν αὐταῖς καὶ Μίλητον, ἣν εἶπον,
Εἰς μὲν στρωμνὴν τὴν Μίλητον, ταύτας δ᾽ εἰς οἶνον, ὄψον.
Ἄλλοι δὲ πέντε λέγουσι τούτῳ δοθῆναι πόλεις,
Μῦραν, Μυοῦντα, Μίλητον, Λάμψακον, Μαγνησίαν,
Εἰς οἶνον, ὄψα καὶ στρωμνάς, ἄρτον, εἰς ὑποδήσεις.

HIST. 329.
348. De lana Milesia cf. Wesseling. ad Herodot. VI, 21. I. H. Vossius ad Virgil. Georg. III, 306. p. 598.
350. De dissidio scriptorum, utrum Themistocles ad Xerxem, an ad filium eius venerit, egit iam Plutarchus in Vit. Themist. c. 27. *Höger.*
356. E margine cd. A. ubi est δὲ μὲν εἰς ὄψον, recepi ὄψον ad integrandum versum.
359. Videtur legendum ὑποδήσεις. Vid. Interpr. ad Xenoph. Anabas. I, 4. 9. Diod. Sic. I, 52. *Höger.* Scripsi ὑποδήσεις pro ὑποδύσεις.

Τινὲς ἑπτὰ δὲ λέγοντες αὐτῷ δοθῆναι πόλεις,
Λέγουσι καὶ Παλαίσκηψιν, ἄλλην τινά τε πόλιν.
Συγγνωμονήσατε ἡμῖν εἰ διαπέφευγέ με.
„Ἀργαλέον μοί ἐστι θεὸν ὥς πάντ' ἀγορεύειν.
Ἴσασιν οἱ ὁρῶντές με καὶ πεῖράν μου λαβόντες,
Εἰ ἐκ βιβλίων γράφομεν, ἢ μεμελετημένως,
Καὶ εἰ οὐ πρωτοσχέδιος αὕτη ἐστὶν ἡ βίβλος,
Καὶ εἰ οὐχὶ ταχύτερον ἦν γράφειν τὰ τοιάδε,
Πλέον ἢ εἰ μετέγραφον ἀπό τινος βιβλίου.
Ὅτι δ' ἡ Μίλητος στρωμνὰς εἶχε τοπρὶν καλλίστας,
Πολλοὶ μὲν ἄλλοι μέμνηνται, καὶ ὁ Ἀριστοφάνης
Ἐν τῷ βατράχων δράματι Διόνυσον εἰσάγων,
Πρὸς τὸν Ξανθίαν τὸν αὐτοῦ λέγοντα δοῦλον τάδε.
Τοῦτο γελοῖον ἄν, εἴπερ σὺ Ξανθίας δοῦλος
Ἐπὶ στρωμνῆς κατέκεισο ἐρίων Μιλησίων,
Ἐκίνεις ὀρχηστρίδα δέ, ἐγὼ δ' οἷα σὸς δοῦλος
Ἔφερον ἂν ἀμίδα σοι, ὡς ἐνουρήσῃς ταύτῃ.
Περὶ τῶν Μιλησίων μὲν ἔφαν πολλοὶ ἐρίων,
Περὶ ἐρίων Κοραξῶν ἐν πρώτῳ δὲ ἰάμβῳ
Ἱππώναξ οὕτως εἴρηκε μέτρῳ χωλῶν ἰάμβων·
„Κοραξικὸν μὲν ἠμφιεσμένη λαῖπος.
Τοὺς Κοραξοὺς δὲ καὶ Σινδοὺς ἔθνη τυγχάνειν νόει.

ΠΕΡΙ ΤΟΥ, ΚΑΙ ΤΟΝ ΧΡΗΣΜΟΝ ΑΙΤΙΩΜΑΙ, ΟΤΙ ΜΗ ΚΑΙ ΘΗΒΑΙΔΑΣ ΤΩι ΛΟΓΩι ΠΡΟΣΕΘΕΤΟ ΠΡΩΤΕΙΑ ΦΕΡΟΥΣΑΣ. τλ'.

Προφθάσας εἶπον τὸν χρησμὸν καὶ τὴν ἀρχὴν νῦν λέξω.
„Γαίης μὲν πάσης τὸ Πελασγικὸν Ἄργος ἄμεινον,
„Ἵπποι Θρηΐκιαι, Λακεδαιμόνιαι δὲ γυναῖκες.

---

369. Erat *καλλίστους*.

371. Ran. 547. sqq.

373. Margo cd. A. *ἦν* ante *ἄν*. Videtur Tzetzes scripsisse, *ὢν δοῦλος*.

377. Inserui *μέν*, nam *ἔφαν* est tertia pluralis, ut IV, 4[illegible]5. et alibi. Quo minus *ἔφασαν* scribas, impedit versus ratio.

379. Hipponact. fragm. ed. Welck. p. 71.

„Ἄνδρες δ' οἳ πίνουσιν ὕδωρ καλῆς Ἀρεθούσης.
Ἡ ἱστορία κεῖταί μοι τοῖς ὀπισθίοις τόποις,
Διακοστενενηκοστὸς καὶ πρώτη δὲ σὺν ταύταις,
Ἣν στρέψας ἀκριβέστατα μάθε καὶ κατὰ πλάτος.

ΤΑ ΤΟΥ ΙΣΜΗΝΟΥ ΠΟΤΑΜΟΥ ΚΑΛΛΥΝΟΜΕΝΑ ΡΕΥΜΑΣΙΝ. τλά.

Ὁ Ἰσμηνὸς ὁ ποταμὸς Θηβῶν τῶν ἑπταπύλων
Καὶ ἡ πηγὴ ἡ Δίρκη δὲ φύσει τῶν σφῶν ὑδάτων
Διαύγειαν καὶ στίλψιν δὲ καί γε πολὺ τὸ λεῖον
Δωροῦνται τοῖς ὑφάσμασι τοῖς ἐν Θηβῶν τῇ χώρᾳ,
Τὸ τεχνικὸν αἱ χεῖρες δὲ τῶν εἰργασμένων ταῦτα.

ΠΕΡΙ ΤΟΥ, ΠΟΙΟΝ ΠΑΛΗΝ, ΟΥ ΧΡΥΣΟΠΗΛΗΚΑ ΣΤΑΧΥΝ ΒΛΑΣΤΗΣΑΙΕΝ, ΠΡΟΣΛΑΒΟΥΣΑΙ ΚΑΙ ΣΕ, ΤΟΝ ΔΕΥΤΕΡΩΣ ΙΣΜΗΝΟΝ. τλβ'.

Κάδμος, ὡς μῦθοι γράφουσιν, ὁ παλαιὸς ἐκεῖνος,
Χρησμὸν λαβὼν ὠνήσασθαι βοῦν ἀπὸ βουκολίου
Ἀνδρός τινος Πελάγοντος τὴν κλῆσιν καλουμένου,
Σημεῖα ἔχουσαν τὴν βοῦν τοιάδε καὶ τοιάδε,
Καὶ ἡγεμόνα τῆς ὁδοῦ ταύτην πεποιηκέναι·
Καὶ ὅπου ἂν ὀκλάσειεν ἡ βοῦς εἴτε καὶ πέσοι,
Θῦσαι μὲν σφαγιάσαντα τῇ γῇ τὴν βοῦν ἐκεῖσε,
Καὶ πόλιν κτίσαι, θεῖναί τε ἥνπερ ἐθέλει κλῆσιν.
Ποιήσας πᾶν τὸ τοῦ χρησμοῦ, τὴν βοῦν τε σφαγιάσας,
Δύο τῶν φίλων ἔστειλεν, ὧνπερ αἱ κλήσεις αἵδε,
Δηϊολέων τῷ ἑνί, Σέριφος τῷ ἑτέρῳ,
Ὕδωρ ἐκ κρήνης Ἄρεος κομίσαι τῇ θυσίᾳ.

HIST. 332.
Inscriptio est corrupta. Quo pertinet προσλαβοῦσαι? An subintelligendum χεῖρες? Βλαστήσαιεν pro βλαστήσειεν est e cd. A.

394. De Cadmo vid. Apollod. III, 4. Herodot. V, 57. ibique Wessel. Item interpr. ad init. Ovid. Metam. III. init. Fisch. ad Palaeph. VI.

Ἄμφω δ' αὐτοὺς ἀπέκτεινε δράκων τῆς κρήνης φύλαξ.
Λίθων βολαῖς ἀνεῖλε δὲ τὸν δράκοντα ὁ Κάδμος,
Καὶ τὴν Καδμείαν ἔκτισε μόνην, οὐχὶ τὰς Θήβας.
Τὰς Θήβας ἀτειχίστους γὰρ τελοῦσαν, ἐν ὑστέροις
Ἔκτισαν Ζῆθος τε αὐτός, Ἀμφίων λυρῳδῶν τε.
Ἃς Θήβας πάλιν ὕστερον Ἀλέξανδρος ὁ μέγας
Αὐλήμασι κατέσκαψεν, αὐλοῦντος Ἰσμηνίου.
Καὶ πάλιν ἀνεκτίσατο δι' ἀθλητὴν Θηβαῖον,
Οὗπερ ἡ κλῆσις τὴν ἐμὴν ἀποδεδράκει μνήμην.
Ἀλλὰ ταυτὶ μὲν ὕστερα· τῷ τότε δὲ ὁ Κάδμος
Κτίσας οὐχὶ τὰς Θήβας μέν, μόνην δὲ τὴν Καδμείαν,
Βουλαῖς σοφαῖς τῆς Ἀθηνᾶς, ἤγουν αὐτοῦ φρονήσει,
Ἔσπειρε καὶ τοῦ δράκοντος, οὗ εἶπον, τοὺς ὀδόντας,
Ἐξ ὧν οἱ χρυσοπήληκες ἐβλάστησαν ἐκεῖνοι,
Καὶ πρὸς ἀλλήλοις πόλεμον καὶ μάχας συνεκρότουν.
Τὴν ἱστορίαν εἶπον νῦν πᾶσαν στενῶς, πλατέως.
Νῦν δ' ἀλληγορητέον μοι τὸν δράκοντα, ὀδόντας.
Ἀλλ' οὐκ ὀδόντας οὐδαμῶς ἀκούσεις ἐλεφάντων,
Ἀφάντου μύλου ἀλέσματα, καὶ λόγους Παλαιφάτου
Τοῦ στωϊκοῦ, τοῦ φυσικοῦ, Τζέτζου σαφεῖς δὲ λόγους.
Ἀρχιληστὴς ὁ Δράκων ἦν, ἢ τοπαρχῶν ἐκεῖσε.
Ὡς οὖν Δηϊολέοντα καὶ Σέριφον ἀνεῖλεν,
Ὁ Κάδμος ἔκτεινεν αὐτὸν ἐπεκδικῶν τοῖς φίλοις.
Καὶ τοὺς ὀδόντας τοὺς αὐτοῦ, τοὺς συλληστὰς συντρόπους,
Τοὺς φονικὸν συνδάκνοντας, ἢ καὶ δημοεξάπτας,
Κατέσπειρεν, ἐσκόρπισεν εἰς τόπους διαφόρους,
Εἴς τε Κολχίδα καὶ λοιποὺς καὶ εἰς αὐτὰς τὰς Θήβας,
Γαμβροποιήσας ἐξ αὐτῶν τινὰς ἐμφρονεστάτους.
Ἐξ ὧν στάχυς ἐβλάστησεν γιγάντων χρυσοπήληξ,
Ἤτοι Θηβαῖοι ἐγγενεῖς χρύσοπλοι νεανίαι,
Εἴτε σειρᾶς βασιλικῆς καὶ γένους κατηγμένοι,

---

409. Non ausus sum *τελοῦσαν* mutare in *τελούσας*. In animo habuit *πόλιν*.

424. Locus corruptus. Vide Chil. VI, 799.

Ὑπὲρ πατρίδος γένους τε μαχόμενοι τοῖς ἄλλοις.
Ἐξ ὧν ὀδόντων σπέρματος ἦσαν οἱ πέντε οὗτοι,
Πέλωρ, Οὐδαῖος, Χθόνιος, Ἐχίων, Ὑπερήνωρ.
Εἶπόν τὴν ἱστορίαν σοι καὶ ἠλληγόρησά σοι.
Ἵνα δὲ μάθῃς ἀκριβῶς, ὡς γράμματα Ἑλλήνων
Οὐ Παλαμήδης εὕρηκεν, οὐ Φοίνιξ, οὐδὲ Κάδμος,
Ὥσπερ τινὲς τῶν παλαιῶν ἀσκεπτοτέρως εἶπον,
Καὶ πολλαχοῦ κατέπεισαν οὕτω καὶ Τζέτζην γράφειν,
Νομίσαντα λογίζεσθαι τούτους καὶ γράφειν πάντα,
Οὐ μὴν γράφειν τὰ δόξαντα καὶ τὰ παρατυχόντα,
Ἀρχὴν χρησμοῦ κατάκουε τοῦ Κάδμῳ δεδομένου.
Καὶ τούτῳ πεῖθε σύμπαντας τοὺς τῶν ἀσκεπτοτέρων,
Τοὺς λέγοντας τὰ γράμματα Κάδμον ἐφευρηκέναι,
Λέγων, ὦ ἀσκεπτότεροι, Τζέτζης ταδὶ νῦν λέγει·
Εἰ Κάδμος εὗρε γράμματα καὶ ἤγαγεν Ἑλλάδι,
Εἴπατε, πρὶν ἐλθεῖν αὐτὸν σχεδὸν εἰς τὴν Ἑλλάδα,
Πῶς τούτῳ εἴρητο χρησμὸς λέγων κατ' ἔπος οὕτω·
„Φράζεο δὴ τὸν μῦθον Ἀγήνορος, ἔκγονε Κάδμε,
„Ἠοῦς ἐγρόμενος προλιπὼν, ἴθι Πυθὼ δῖαν,
„Ἠθάδ' ἔχων ἐσθῆτα καὶ ἀγανέην μετὰ χερσί.
Καὶ πᾶν τὸ λοιπὸν τοῦ χρησμοῦ, ὅπερ ταῖς μνήμης δέλτοις
Ἐν τηλαυγέσι γράμμασιν ἐγγεγραμμένον φέρων
Ὁ Τζέτζης οὐχὶ βούλεται καὶ τῇδε παρεγγράφειν,
Μή πως καταναλώσειε τοῖς πλατυσμοῖς τοὺς χάρτας.
Πολλαὶ δὲ δεκάδες δευοίατο οἰνοχόοιο,
Πολλαὶ ὑπεσχημέναι δὲ γραφῆναι ἱστορίαι,
Τῇ θέσει τῇ τοῦ πίνακος ἐκλείψωσι γραφῆναι,
Οἷα τῆς βίβλου τῶν χαρτῶν τῆσδε προπληρωθέντων.
Τέως ἐπέγνως μοι δοκῶ σύ τε καὶ πάντες ἄλλοι,

---

453. Vid. Schol. Euripid. Phoen. 641. Aristoph. Ran. 1256. Osanni auctar. lexic. graec. p. 127.

456. Erat ἔνθα δ'. Versu prox. dedi λοιπὸν e marg. cd. A. pro λεῖπον.

Καὶ ἀπὸ μέρους τοῦ χρησμοῦ, ὡς ὅτι καὶ πρὸ Κάδμου
Ἦσαν ἐπὶ τοῖς Ἕλλησι καὶ γράμματα καὶ ἄλλα.
Εἰ δὲ πρὸ Κάδμου, πρὸ ἑπτὰ γενῶν ὄντος Ἑλλήνων,
Πολὺ πάντως πρεσβύτερα ἦν πρὸ τοῦ Παλαμήδους
Καὶ πρὸ τοῦ Φοίνικος αὐτοῦ καὶ ὧν ἀσκέπτως λέγω·
Κἂν τοῖς πολλοῖς ἠπάτησαν καὶ Τζέτζην οὕτω γράφειν
Τὰ ἄσκεπτα ἐκτρώματα τῶν τρισαλιτηρίων,
Ἄνθρωπον λογιζόμενον ἴσα θανάτῳ ψεῦδος.

ΠΕΡΙ ΤΟΥ ΠΥΡΡΟΥ ΥΦΟΥΣ ΤΟΥ ΥΠΟ ΣΥΛΟΣΩΝΤΟΣ ΑΔΕΛΦΟΥ ΠΟΛΥΚΡΑΤΟΥΣ ΔΟΘΕΝΤΟΣ ΔΑΡΕΙΩι. τλγ'.

Δαρεῖος ὢν ὑπασπιστής, οὐ βασιλεὺς εἰσέτι,
Ἐκ Συλοσῶντος ἔλαβε δῶρον, πυῤῥὰν χλανίδα.
Εἶτα δ' ὑστέρως βασιλεὺς γενόμενος Περσίδος
Τὸν Συλοσῶντα τέθεικε τῆς Σάμου βασιλέα.
Τὴν ἱστορίαν εὕρῃς μοι ταῖς πρώταις ἱστορίαις,
Ἐνενηκοστοτέταρτον εἰς τόπον γεγραμμένην.

ΠΕΡΙ ΤΟΥ, ΠΟΛΛΑΙΣ ΜΕΝ ΔΕΚΑΔΕΣΣΙΝ ΕΛΙΣΣΟΜΕΝΩΝ ΕΝΙΑΥΤΩΝ. τλδ'.

Ὀππιανὸς ἐν τῇ αὐτοῦ ἁλιευούσῃ βίβλῳ
Ἐν τοῖς ἰχθύσιν οὔ φησι σέβας τὴν δίκην ἔχειν,
Τὸν κρείσσω κατεσθίειν δὲ γονὰς ἀσθενεστέρους.
Εἶτά φησιν, οὐ πρὸ πολλοῦ καὶ ἐν τῇ γῇ δ' ἦν τοῦτο,
Δίκη τὸ σύνολον οὐκ ἦν, πόλεμοι δὲ καὶ μάχαι.
Καὶ ὅσα γράφει δυσχερῆ τῷ βίῳ πεφυκότα,
Ἕως τὸ σκῆπτρον ἔσχηκε τὸ γένος τῶν Ῥωμαίων,
Ἐκ τῶν Ῥωμαίων μᾶλλον δὲ Σεβῆρος Ἀντωνῖνος.

---

469. πάντως pro πάντες e cd. A.

HIST. 333.

In inscriptione pro ἐπὶ dedi ὑπό.

474. Herodot. III, 139. sqq.

478. Etiam in cd. A. est εὕρῃ pro εὕρῃς.

HIST. 334.

480. Oppian. Halieut. II, 43.

481. Erat σεβατήν.

487. In cd. A. videtur esse Σευῆρος.

Εἶτά φησι πρὸς τοὺς θεοὺς περὶ αὐτῶν τῶν δύο,
„Τούς μοι καὶ ῥύεσθε καὶ ἔμπεδον ἰθύνοιτε,
„Πολλαῖς ἐν δεκάδεσσιν ἑλισσομένων ἐνιαυτῶν.

ΠΑΡΟΙΜΙΑ, ΠΥΡΚΑΙΑΝ ΑΝΗΦΑΙΣΤΟΝ ΤΕ ΚΑΙ ΑΞΥΛΟΝ ΕΔΕΞΑΜΗΝ. τλε.

Ἥφαιστός τις Αἰγύπτιος ἐν χρόνοις τοῖς τοῦ Νῶε,
Ὃς Νῶε καὶ Διόνυσσος καὶ Ὄσιρις καλεῖται,
Ἐφεῦρε πῦρ καὶ τέχνας δὲ τῶν ἐκ πυρὸς ὁπόσας.
Ἕλληνες σφετερίζονται τὸν Ἥφαιστον ἐκεῖνον
Σὺν ἄλλαις πόσαις κλήσεσιν ἀνθρώπων Αἰγυπτίων,
Θεοὺς αὐτῶν τε ἔφασκον ἐκείνους πεφυκέναι,
Ὡς τῶν Ἑλλήνων ποιητῶν Αἰγύπτῳ παιδευθέντων,
Καὶ διδαξάντων οὕτω δὲ γοναῖς ταῖς τῆς Ἑλλάδος.
Ἐκ τοῦ Ἡφαίστου τοιγαροῦν τοῦ πῦρ ἐφευρηκότος
Ἥφαιστον καὶ τὸ πῦρ φαμὲν τῷ εὑρετῇ ἐπίσης,
Ἐπεὶ πυραὶ δὲ ἔνυλοι ἀνάπτονται ἐκ ξύλων,
Ἃς ἐνηφαίστους τε ὁμοῦ καλοῦμεν καὶ ἐγξύλους,
Ἄλλαι δὲ ἄϋλοι πυραί εἰσι τῶν ἐνηφαίστων,
Ἄξυλοι δὲ τυγχάνουσιν, ὡς κεραυνῶν, πρηστήρων·
Τὴν πενθικὴν πυρκαϊάν, τῶν ὀδυνῶν τὴν ζέσιν,
Πυρκαϊὰν ἀνήφαιστον καὶ ἄξυλον εἰρήκειν.

ΠΕΡΙ ΤΟΥ, Η ΜΗ ΩΦΕΛΛΕ ΓΕΝΕΣΘΑΙ. τλϛ'.

Πατρόκλου ὑπὸ Ἕκτορος πεσόντος ἐν πολέμῳ,
Ἀντίλοχος ὁ Νέστορος ἐκρίθη παρ' Ἑλλήνων
Ὡς παιδικὰ τῷ Ἀχιλλεῖ τὴν συμφορὰν ἀγγεῖλαι.
Ὃς ἀφιγμένος πρὸς αὐτόν, οὕτω κατ' ἔπος λέγει·
„Ὤ μοι, Πηλέος υἱὲ δαΐφρονος, ἱπποδάμοιο,
„Πεύσεαι ἀγγελίης, ἣ μὴ ὤφελλε γενέσθαι.
„Κεῖται Πάτροκλος· νέκυος δὲ δὴ ἀμφιμάχονται
„Γυμνοῦ· αὐτὰρ τάγε τεύχε' ἔχει κορυθαίολος Ἕκτωρ.

---

489. Vs. 685. sq. HIST. 336. — Cf. Iliad. XVII, 686. XVIII, 18. sqq.
509. Ita cd. A. pro παιδὶ καί.

ΠΕΡΙ ΤΟΥ, ΧΑΡΙΤΕΣ ΔΕ ΠΑΝΤΟΙΩΝ ΚΑΛΩΝ. τλζ'.

Ἡσίοδος τρεῖς Χάριτας Θεογονίᾳ λέγει,
Τὴν Ἀγλαΐαν, Θάλειαν μετὰ τῆς Εὐφροσύνης.
Ἐγὼ δὲ πᾶν ἐπιτερπὲς Χάριτας ὀνομάζω.
Τοῖς καθ' Ἡρὼ καὶ Λέανδρόν φησι δὲ καὶ Μουσαῖος
Περὶ τοῦ κάλλους τῆς Ἡροῦς τάδε κατ' ἔπος λέγων.
„Πολλαὶ δ' ἐκ μελέων Χάριτες ῥέον· οἱ δὲ παλαιοὶ
„Τρεῖς Χάριτας ψεύσαντο πεφυκέναι· εἷς δέ τις Ἡροῦς
„Ὀφθαλμὸς γελόων ἑκατὸν Χαρίτεσσι τεθήλει.

ΠΕΡΙ ΣΙΔΗΡΟΥ ΤΟΥ ΧΑΛΥΒΟΣ. τλή.

Χάλυβες ἔθνος ἔγγιστα τελοῦν τῆς Τραπεζοῦντος.
Οὗτοι λέγονται σίδηρον ἐφευρηκέναι πρῶτοι.
Καὶ τὸν χαλκὸν δὲ χάλυβον χαλκόν τε λέγουσί μοι,
Οἷα καὶ τούτου εὕρεμα τελοῦντα τῶν Χαλύβων.

ΠΕΡΙ ΤΟΥ, ΚΑΙ ΑΝ ΓΕΝΗΤΟΝ ΤΙ ΔΙΙΣΧΥΡΙΖΟΝΤΑΙ, ΠΡΟΣ ΑΦΘΑΡΣΙΑΝ ΕΛΗΛΑΚΕΝΑΙ. τλθ'.

Περὶ τοῦ κόσμου τέσσαρες δόξαι τῶν φιλοσόφων·
Ἡ μὲν αὐτὸν ἀγένητον, ἄφθορον δογματίζει·
Ἄλλη δὲ λέγει, γενητὸν φθαρτόν τε πεφυκέναι·
Ἡ δὲ πάλιν ἀγένητον πλὴν τῶν φθαρησομένων·
Ἄλλη δὲ πάλιν γενητόν, ἀλλὰ θεοῦ προνοίᾳ
Ἄφθαρτον γενησόμενον, ὡς πᾶν τῶν ἀϊδίων·
Αὕτη τοῦ Πλάτωνός ἐστι δοκεῖ καὶ Πυθαγόρου.
Ὁ Παυσανίου δὲ υἱός, ὁ Μέτων ἀστρολόγος,
Καὶ γενητόν τε καὶ φθαρτὸν εἶναί μοι λέγει τοῦτον.
Τότε δὲ λέγει τὴν φθορὰν τοῦ κόσμου γεγονέναι,
Ὅταν ἀστέρων ἡ ἑπτὰς πλανήτων ὁμοδρόμως

HIST. 337.
515. Theogon. 909.

518. Musaei carm. v. 63. ibique Heinrich.

Εἰς ὑδροχόον ἔλθωσιν, ὄντα τοῦ Κρόνου οἶκον,
Βραχὺν παντὸς ἀνθρώπου δὲ τοῦ μακροχρόνου χρόνον
Λέγει πρὸς ἀπαρίθμησιν ὑπάρχειν τὴν τῶν χρόνων,
Ἐν ὅσοις ἂν συμβήσεται τὸ συνδραμεῖν τοιῶςδε,
Καὶ τὴν φθορὰν τὴν κοσμικὴν τῷ τότε γεγονέναι.

ΠΕΡΙ ΤΟΥ ΑΓΧΙΝΟΥΣΤΑΤΟΣ. ΔΙΑΦΕΡΕΙ ΓΑΡ ΝΟΥΣ ΚΑΙ ΛΟΓΙΣΜΟΣ. τμ'.

Νόες καὶ νοῦς ἐπὶ θεοῦ κυρίως καὶ ἀγγέλων,
Ἐπὶ δ' ἀνθρώπων οὐδαμῶς κυρίως νοῦν τις λέγει.
Ἐχέφρων καὶ ἀγχίνους δέ φαμεν ἐπὶ ἀνθρώπων.
Τὸ νουνεχὴς δὲ λέγομεν καταχρηστικωτέρως.
Νοῦς γὰρ ἀνθρώποις οὐδαμῶς, κἂν ἑτέρως καὶ Πλάτων.
Νοῦς δὲ ὀλίγοις μέτεστι, λέγω σοι, τῶν ἀνθρώπων.
Ἀπέδειξα γὰρ ὄπισθεν καὶ τοῦτο σαφεστάτως.
„Ἀντὶ τοῦ λέγειν λογισμόν, νοῦν δέ φαμεν πολλάκις.
„Λογισμός ἐστιν ἡ παλαίστρα τοῦ λόγου.
„Ὁ νοῦς δὲ λεπτὸς καὶ νοεῖ πρὸ τοῦ λόγου.
Ἑκατοστὴν καὶ τεσσαρακοστὴν ἀλλὰ καὶ τρίτην
Ταῖς ἱστορίαις εὕρῃς μοι κειμένην ταῖς δευτέραις.
Καὶ στρέψας ταύτην βλέπε μοι καὶ μάνθανε πλατέως.

ΧΡΕΙΑ ΤΖΕΤΖΟΥ, ΤΟΝ ΤΗΙΔΕ ΒΙΟΝ ΚΛΑΥΘΜΩΝΟΣ ΠΕΔΟΝ ΚΑΛΟΥΣΑ ΚΑΙ ΚΥΒΕΩΝΑ ΚΑΙ ΣΦΑΙΡΙΚΗΝ ΦΟΡΑΝ, ΑΣΤΑΤΟΥΣΑΝ, ΠΟΛΥΣΤΡΟΦΟΝ ΚΑΙ ΟΥΔΕΝ ΤΥΦΟΥ ΠΛΕΟΝ. τμά.

Χρείαν τοῦ Τζέτζου λογικήν, τόδε μοι τέκνον νόει.
Καλῶ τὸν τῇδε βίον γὰρ πέδον ἐγὼ κλαυθμῶνος

HIST. 339.

538. Cd. A. *ὑδριχόουν.*

541. Cd. A. in marg. *ἐκείνους* pro *τοιῶσδε.*

HIST. 340.

543. *Νόες* appellantur *angeli.* Vid. Dufresn.

547. Etiam cd. A. habet *ἑτέρα*, sed *ἃ* est in rasura; et in margine a manu recentiori *ἑτέρως*. Superscriptum deleto vocabulo *ἕτερος*.

548. Sic margo cd. pro *λέγωσι.*

551. Chil. VII, 494. *ὁ λογισμὸς παλαίστρα δὲ καὶ γνῶσις διὰ λόγου.*

Καὶ κυβεῶνα καὶ φορὰν σφαίρας ἀστατουμένην,
Πλὴν πολυστρόφοις συστροφαῖς παντοίως στροβουμένην.
Καὶ δὴ σὺν τούτοις καὶ οὐδὲν καλῶ τετυφωμένον,
Καὶ πέδον τοῦ κλαυθμῶνος μὲν αὐτὸν κατονομάζω,
Ὡς πλήρη πόνων, συμφορῶν, ἐπηρειῶν, δακρύων.
Ἀνισοστρόφου χάριν δὲ καὶ τοῦ ἀλλοπροσάλλου
Καλῶ καὶ κυβεῶνα δέ. ὥσπερ γὰρ ἐν τοῖς κύβοις
Ἄλλοτε ἄλλα βάλλονται, οὕτω καὶ ἐν τῷ βίῳ
Ἄλλοτε ἄλλα γίνονται μεταβολαῖς ποικίλαις.
Καὶ σφαῖραν δὲ πολύστροφον ἐκ τῶν ἀστάτων λέγω,
Τοῦ ἀνισοτρόφου ἕνεκα καὶ τοῦ μὴ τεταγμένου.
Οὐδὲν δὲ τύφου ἔμπλεων πάλιν κατονομάζω,
Ὅτι σκιᾶς τε καὶ καπνοῦ τοῦ βίου πεφυκότος
Κενοδοξία πανταχοῦ καὶ τύφωσις ὁπόση,
Ἡμῶν ἑκάστου μηδαμῶς τοῦτο λογιζομένου,
Ὡς αἱ τιμαὶ καὶ δόξαι δὲ καὶ πᾶν λαμπρὸν τοῦ βίου
Καπνός εἰσι λύονταί τε συντόμως εἰς ἀέρα.
Χρυσός, ὠχρὸς πηλός ἐστιν, ὑφάσματα δέ, κόνις,
Ἡμῶν δὲ πάλιν ὁ καθεὶς τέφρα τις κοτυλαία.

ΠΑΡΟΙΜΙΑ, Η ΛΕΓΟΥΣΑ; ΟΥ ΓΑΡ ΜΟΝΟΣ Η ΠΡΩΤΟΣ ΑΥΤΟΣ ΕΠΕΠΟΝΘΕΙΣ, Ο ΠΕΠΟΝΘΑΣ. τμβ'.

Τῶν ἀνιώντων τι παθεῖν τινὰ μόνον ἢ πρῶτον,
Ὀδύνην ἄγει περιττήν, τὸ δὲ σὺν ἄλλοις, πρᾶον.
Μόνου παθόντος τὸ δεινόν, ὡσαύτως δὲ καὶ πρώτου,
Ὁ Σοφοκλῆς μοι μαρτυρεῖ πικρίαν, λέγων οὕτω·
„Τὸ γὰρ ἐσλεύσσειν οἰκεῖα πάθη, μηδενὸς ἄλλου
„Παραπράξαντος, μεγάλας ὀδύνας ὑποτείνει.

HIST. 341.

564. Terent. Adelph. IV, 7. 21.

569. Ita cd. A. pro *ἔκπλεων*. In marg. *ἔκπλεον*.

574. Inserui *τε*.

HIST. 342.

„Similiter apud Herodot. VI, 68. ad matrem suam dicit Demaratus: *οὔτε γάρ, εἴπερ πεποίηκάς τι τῶν λεγομένων, μούνη δὲ πεποίηκας, μετὰ πολλέων δέ*. Ibique Valck." *Höger*.

580. Soph. Ai. 258. Lob. (253. Herm.)

Ὁ Σοφοκλῆς μὲν τοῦ ἑνὸς παθόντος τὴν πικρίαν
Ὅση ἐστὶν ὑπέδειξε· Δημόκριτος δὲ πάλιν
Τοῦ μεθ' ἑτέρων συμπαθεῖν τὸ μέτριον δεικνύει.
Ἀμέτρως τοῦ Δαρείου γὰρ τὴν σύζυγον θρηνοῦντος,
Μάγον αὐτὸν πλασάμενος εἶπεν ἐγεῖραι ταύτην,
Ἂν τρεῖς Δαρεῖος ἀπενθῶν κλήσεις ἀνθρώπων εὕροι,
Καὶ ταύτας παρεγγράψειε τῆς γυναικὸς τῷ τάφῳ.
Εἰπόντος τοῦ Δαρείου δὲ εὑρίσκειν μηδεμίαν,
Δημόκριτος ἀντείρηκεν· ὦ βασιλεῦ Δαρεῖε,
Τῷ ἀπ' αἰῶνος βίῳ μὲν οὐδεὶς ἦν τῶν ἀλύπων·
Καὶ πῶς σὺ μόνος ἄλυπος θέλεις ἐν βίῳ εἶναι;
Μετὰ τῶν ἄλλων καὶ αὐτὰς φέρε μετριωτέρως.
Ὅπερ δὴ καὶ πεποίηκεν εὐθέως ὁ Δαρεῖος,
Ἐκ τῶν ἀμέτρων ὀδυρμῶν τραπεὶς εἰς συμμετρίαν.

ΕΙΣ ΤΟΥΣ ΤΗΝ ΟΝΤΩΣ ΦΙΛΟΣΟΦΙΑΝ ΑΣΚΟΥΝΤΑΣ. τμγ'.

Φιλοσοφία μὲν ψευδὴς ἡ λόγοις ὀγκουμένη,
Ὄντως φιλοσοφία δὲ τῶν μοναστῶν τῶν ὄντως.
Αὕτη θανάτου μάθησις καὶ νέκρωσις σαρκίου
Καὶ γνῶσις δὲ τῶν ἀληθῶς καὶ τῶν ὄντως δὲ ὄντων,
Καὶ τοῦ θεοῦ ὁμοίωσις, ὡς δυνατὸν ἀνθρώποις,
Καὶ τῆς σοφίας καὶ θεοῦ καθέστηκε φιλία,
Τέχνη τεχνῶν καὶ ἐπιστήμη τῶν ἐπιστημῶν τε,
Καὶ δὴ μεγίστη μουσική, ἰατρικὴ ψυχῶν τε,
Ὅσοι τε ἄλλοι ὁρισμοί εἰσι φιλοσοφίας.
Τῇ ἄλλῃ γὰρ ἁρμόδιος οὐδείς ἐστι τῶν ὅρων.

---

584. De Demonacte et Herode narrat Lucian. de Demon. 25.
587. αὐτὸν pro αὐτὸν cd. A. Tum scripsi πλασάμενος simplici σ.

HIST. 343.

600. Erat ὄντων ὄντων. Höger coniicit ὄντων ὄντως ὄντων.

ΠΕΡΙ ΒΑΣΑΝΟΥ ΛΙΘΟΥ, ΤΗΣ ΛΥΔΙΚΗΣ. τμδ.
(προσγράφη δέ).

Βάσανος λίθος Λυδικὴ κρίνουσα τὸ χρυσίον,
Ἂν καθαρὸν ἂν κίβδηλον ἅπερ ἐστὶ τῶν μέσων.
Ἑκατοστὴν καὶ εἰκοστὴν ἑβδόμην τε σὺν ταύταις
Ταῖς ἱστορίαις ἔχεις μοι ταῖς νῦν αὐτὴν κειμένην.

ΚΑΝ ΟΜΗΡΟΣ ΤΑ ΕΠΗ ΠΤΕΡΟΕΝΤΑ ΛΕΓΗ, ΟΜΩΣ ΟΥ ΜΟΝΟΝ ΣΑΙΣ ΧΕΡΣΙΝ ΕΜΠΕΣΕΙΤΑΙ. τμέ.

Ὁ Ὅμηρος πτερόεντα τὰ ἔπη ὀνομάζει,
Ἢ ὅτι ἡ φωνή ἐστί τις πλῆξις τοῦ ἀέρος,
Τὰ πτερωτά τε πέτονται ὁμοίως ἐν ἀέρι·
Εἴτε μὴν ὡς ταχύτατα πτερόεντα εἰρήκει.
Οὐ γάρ ἐστι ταχύτερον οὐδὲ πτερὸν τοῦ λόγου.
Εἰς Γάδειρα πορεύσομαι, καὶ γὰρ καὶ πορρωτέρω,
Ἐν βραχυτάτῃ τῇ ῥοπῇ λέγων εἰμὶ τοῖς λόγοις.
Πόσαις δ' ἡμέραις πτερωτὸν ἀφίκηται Γαδείροις;

ΠΕΡΙ ΕΠΑΜΕΙΝΩΝΔΑ ΤΟΥ ΘΗΒΑΙΩΝ ΣΤΡΑΤΗΓΟΥ. τμϛ'.

Ἐπαμεινώνδας στρατηγὸς Θηβαίων ὑπηργμένος,
Ἦν πάνυ ἀδωρότατος, τῶν ἐλευθεροψύχων.
Ποτὲ δὲ χρήματά τινος προσενεγκόντος τούτῳ,
Οὐ μόνον οὐκ ἐδέξατο, ἀλλὰ καὶ τάδε εἶπε·

HIST. 345.

In Inscriptione e *μόνη* feci *μόνον*.

HIST. 346.

621. De Pelopida Plutarchus in Eius Vita c. 3. *τῶν δὲ φίλων νουθετούντων καὶ λεγόντων, ὡς ἀναγκαίου πράγματος ὀλιγωρεῖ, τοῦ χρήματα ἔχειν. Ἀναγκαίου, νὴ Δία, Νικοδήμῳ, ἔφη, τούτῳ, δείξας τινὰ χωλὸν καὶ τυφλόν.* Ex quo loco apud nostrum corruptum *παρυιὸν* (pro quo in marg. cd. A. *παρόντα*) in *πηροῦντα* videtur mutandum esse. Manus docta in margine editionis qua utor, posuit *παράγυιον*. At sic versus efficitur syllaba longior. In Apophth. Reg. et Imp. T. VIII. p. 136. Hutt. est *χωλὸν καὶ ἀνάπηρον*. Add. Aelian. Var. Hist. XI, 9.

Δείξας τινὰ στρεβλόποδα καὶ παρυιὸν ἐκ νόσου,
Τούτῳ, εἶπεν, ἁρμόδιός ἡ κτῆσις τῶν χρημάτων,
Ἐπαμεινώνδα δ᾽ οὐδαμῶς, στρατηγοῦ τῶν Θηβαίων.
Οὗτός ποτε ὁ στρατηγὸς ὑπασπιστὴν οἰκεῖον
Ἀπ᾽ αἰχμαλώτου κατιδὼν χρυσίον ἐξαιτοῦντα,
Τῶν ἑαυτοῦ ὑπασπιστῶν ἐξέωσεν εὐθέως,
Εἰπὼν ἐμοὶ ἀπόδος μὲν τὴν ἐμαυτοῦ ἀσπίδα,
Αὐτὸς σαυτῷ ἐντεῦθεν δὲ ὤνησαι καπηλεῖον.

ΠΕΡΙ ΚΑΤΩΝΟΣ ΤΟΥ ΡΩΜΑΙΟΥ. τμζ΄.
(κεῖται δ᾽ ἐν ταῖς πρὶν σή.)

Οὗτος ὁ Κάτων στρατηγὸς ὑπάρχων τῶν Ῥωμαίων
Ἦν Ἀντιόχῳ σύγχρονος, μετ᾽ Ἀλεξάνδρου κράτος,
Τοσοῦτον ἀτυφώτατος καὶ τῶν ἀδωροτάτων,
Ὡς σὺν οἰκέταις γεωργεῖν ἐκ τοῦ ἀτύφου τρόπου
Καὶ ὁμοτράπεζον αὐτοῖς δεικνύεσθαι πολλάκις,
Ἄρτον τυχόντα καὶ τυρὸν καὶ οἶνον ἐκτροπίαν
Συντρώγοντα καὶ πίνοντα καὶ ἕτερα τοιαῦτα,
Ὡς καί ποτε νοσήσαντα παρ᾽ ἰατρῶν ἀκοῦσαι,
Ὡς εἰ μὴ κίχλας γεύσαιτο, οὐχὶ ῥαΐσοι νόσου.
Ὡς ἀνηρώτησεν εὐθὺς καὶ ποῦ ἐν θέρει κίχλας;
Εἶπόν τινες, Λευκόλλου δὲ κήποις σιτεῖσθαι κίχλας.
Ἦν γὰρ ἐκεῖνος τρυφηλὸς ὑπὲρ Ῥωμαίους πάντας.
Ὁ Κάτων οὐκ ἠθέλησε τὴν κίχλαν βεβρωκέναι,
Εἰπὼν τὸν περιθρύλλητον, ὅνπερ ἐρῶ νῦν, λόγον·
Εἰ μὴ τρυφῶν ἦν Λεύκουλλος, ὁ Κάτων οὐκ ἂν ἔζη;
Τὸ Κάτωνος μὲν ἄτυφον, ἐξ ὧν εἰρήκειν, ἔγνως.
Ὅτι καὶ ἀδωρότατος, νῦν ἐξ ἑνός μοι μάθε.
Φήμη τούτου διέτρεχε καὶ μέχρι Βρεττανίας.

HIST. 347.

641. *Λευκόλλου* et vs. 645. *Λευκολλος* cd. A.

643. Apud Plutarch. Vit. Luculli c. 40. et Apophth. Tom. VIII. p. 161. hoc dictum Pompeio tribuitur. *Höger.*

646. Cd. A. *εἰρήκον.* Verum *εἰρήκειν* Tzetzae usui loquendi convenit.

Οἱ [illegible] δὲ Βρεττανῶν [illegible] φίλα,
[illegible] πρὸς τοῦτον ἔστειλαν [illegible]
Οἱ [illegible] ἀγνοοῦντες δὲ ποῖος [illegible]
[illegible] τινα ζητοῦντες [illegible]
[illegible] αὐτόχειρα ἕψοντα [illegible]
[illegible] δὲ νομίσαντες ἐκεῖνον [illegible]
[illegible] πρός τινα εἰπεῖν, Κάτων[illegible]
[illegible] ἐκ Βρεττανῶν, [illegible]
[illegible] δὲ Κάτωνα, ἐγώ εἰμι, [illegible]
[illegible] παίζοντα τοῦτο [illegible]
[illegible] δ' [illegible] Κάτωνα, τιμήσαντες [illegible]
[illegible] Κάτων στρατηγὸς Ῥωμαίων [illegible]
[illegible] οἱ [illegible] τὰ φίλα [illegible]
[illegible]
[illegible] φίλον με, φησί, [illegible];
[illegible] δὲ [illegible], φίλον· ὁ Κάτων [illegible]
[illegible] ἐκείνους τὸ χρυσίον.
[illegible] χρημάτων, οὐ φίλα.
[illegible] τούτοις καὶ δίχα [illegible]
[illegible] Βρεττανῶν, εἰ στρατηγὸς τελῶν τις
[illegible] πρὸς τροφήν, ἀρκεῖται δὲ γογγύλαις
[illegible] χρημάτων καὶ πραγμάτων;
[illegible] Κάτωνος, οἷα τὰ νῦν εἰρήκειν.
[illegible] δὲ τοῦ Κάτωνος τὴν μίαν ἱστορίαν
[illegible] μου τοὺς χάρτας ὀπισθίως
[illegible] ἱστοριῶν εὑρήσεις
[illegible] τόπον,
[illegible] τοῦ Κάτωνος καὶ πάλιν ἱστορίαν.
[illegible] ἀλλ' [illegible] ἑτέρως μέν, ἄλλως δ' ἐνθάδε πάλιν.
Καὶ ἄλλας εἰ θελήσεις γὰρ ὡς δέκα ἱστορίας
[illegible] περὶ τοῦ Κάτωνος καὶ τῶν λοιπῶν ὁμοίως.

[illegible] Videtur Tzetzes confudisse [illegible] cum Curio. Cf. [illegible] (55). Plut. [illegible] et Apophth. p.

137. Höger. Simile est factum Fabricii Luscini. Vid. A. Gell. I, 14.

Ὁλόκληρον βιβλίον γὰρ ἑκάστην ἱστορίαν
Ὁ Τζέτζης οἶδεν ἀκριβῶς, οὐ στίχον, εἴτε δύο.

ΠΕΡΙ ΜΕΓΙΣΤΙΟΥ ΤΟΥ ΑΚΑΡΝΑΝΟΣ, ΜΑΝΤΕΩΣ ΔΕ ΛΑΚΩΝΩΝ. τμη'.

Ὁ Μεγιστίας γένους μὲν ὑπῆρχεν Ἀκαρνάνων,
Συνῆν δὲ μαντευόμενος τῷ γένει τῶν Λακώνων.
Καὶ πρῶτα περὶ νύκτα μέν τινας ἐκ τῶν Λακώνων
Ἄνδρας ἐνόπλους, μάχεσθαι καλῶς δεδυνημένους,
Τὰς πανοπλίας τὰς αὐτῶν γύψῳ καταλευκάνας,
Σὺν τούτοις εἰς στρατόπεδον παρεμπεσὼν τὸ Ξέρξου,
Φόβον πολὺν ἐποίησε καὶ φόνον δὲ μυρίον.
Οἱ Πέρσαι γὰρ ἐνόμισαν τούτους στρατὸν δαιμόνων.
Τοῦτο πρῶτον ἐποίησεν εἰς στράτευμα τὸ Περσῶν.
Δεύτερον Λεωνίδου δὲ σὺν Λάκωσι χιλίοις
Μέλλοντος ἀντιτάττεσθαι σύμπασι τοῖς βαρβάροις,
Περὶ τὸ Ἀρτεμίσιον δοκῶ δὲ τῆς Εὐβοίας,
Εἶρξεν αὐτοὺς μαντεύμασιν, ὡς μὴ θανεῖν τοὺς πάντας,
Εἰπὼν ὁπόσοι ἔλθητε μάχῃ Ἀρτεμισίῳ,
Ἅπαντες ἀποθνήσκετε χερσὶ ταῖς τῶν βαρβάρων.
Ὁ Λεωνίδης τοιγαροῦν ἀκηκοὼς τοῦ λόγου,
Τοῖς ἄλλοις εἶπεν· ἄπιτε, μὴ μεθ' ἡμῶν ὁρμᾶσθε,
Ὡς ἂν ὑμεῖς κἂν λείψανον ἦτε λοιπὸν Ἑλλάδι.
Αὐτὸς μόνος συνάψας δὲ μετὰ τριακοσίων
Πολὺν φόνον εἰργάσατο τῇ μάχῃ τῶν βαρβάρων.
Τέλος δὲ πίπτει καὶ αὐτὸς σὺν τοῖς τριακοσίοις
Συμπατηθέντες τῷ στρατῷ τῷ τόσῳ τῶν βαρβάρων.
Καὶ Μεγιστίας ὁ κλεινὸς σὺν τούτοις ἀναιρεῖται,
Αὐτῶν εἰδότες ἀκριβῶς τῆς τελευτῆς τὸν μόρον.
Ἀπερχομένοις γὰρ αὐτοῖς πρὸς συμβολὴν τῆς μάχης,
Ἀνερωτήσαντός τινος, ποῦ ἡ πορεία τούτοις;

HIST. 348.

682. Cf. Wessel. et Valck. ad Herodot. VII, 221.

693. Hunc errorem iam supra notavimus.

Ὁ Λεωνίδης ἔλεξε, λόγῳ μὲν ὡς πρὸς μάχην,
Ἔργῳ πρὸς τὸ θανεῖσθαι δὲ ὑπὲρ Ἑλλάδος πάσης.

ΠΕΡΙ ΑΣΚΛΗΠΙΑΔΩΝ ΤΕΧΝΗΣ. τμθ΄.

Ἀσκληπιός, Ἀπόλλωνος παῖς, ἰατρὸς τὴν τέχνην,
Ἰατρικὴν ἐκδιδαχθεὶς ἐκ Χείρωνος Κενταύρου,
Ἤπιος δὲ καλούμενος Ἀσκληπιὸς ἐκλήθη,
Ὡς Ἄσκλην ἰασάμενος, τύραννον Ἐπιδαύρου,
Ὀφθαλμιῶντα χαλεπῶς, μάλιστα δ᾽ ἀνιάτως.
Ἄλλοι δ᾽ αὐτὸν Ἀσκληπιὸν οὕτω φασὶ κληθῆναι,
Ὅτι οὐκ εἴα σκέλλεσθαι, νεκροῦσθαι τοὺς ἀνθρώπους.
Ἅπας καλεῖ γὰρ σκελετὸν νεκρῶν ὀστοδερμίας.
Ὡς ἰατρὸν οὖν ἄριστον ἰῶντα δεινὰς νόσους
Νεκροὺς ἀνέπλασαν αὐτόν τινας ἀναζωῶσαι,
Τυνδάρεων, Ἱππόλυτον, σὺν οὐκ ὀλίγοις ἄλλοις.
Ἀσκληπιάδαι τοιγαροῦν καλοῦνται μὲν κυρίως
Ὅσοι κατάγουσι σειρὰν ἀπὸ τοῦ γένους τούτου
Κἂν ἰατροὶ κἂν ἕτερον ὦσιν ἀσκοῦντες βίον,
Ὥσπερ ὁ Ἱπποκράτης τε καὶ ἕτεροι μυρίοι.
Οἱ ἰατροὶ δὲ λέγονται καταχρηστικωτέρως
Ἀσκληπιάδαι σύμπαντες ἀπὸ τῆς τέχνης τοίας,
Καθὼς καὶ ὁ Νικόμαχος, πατὴρ Ἀριστοτέλους.

ΠΕΡΙ ΤΟΥ ΟΦΘΑΛΜΟΥ ΓΕΡΟΥΣΙΑΣ. τν΄.

Οἱ παλαιοὶ μὲν ὀφθαλμοὺς ἐκάλουν βασιλέων
Τοὺς περιβλέπτους τῶν ἀνδρῶν, τοὺς πρώτους τῆς συγκλήτου,
Ὥσπερ Αἰσχύλος ὀφθαλμὸν εἶπε τοῦ Ξέρξου εἶναι
Τὸν Βατανόχου Ἄλπιστον. ὁ Πίνδαρος δὲ πάλιν,

HIST. 349.

710. Cf. Paus. II, 10. 11. 26. sqq. Apollod. III, 10, 3. 4. p. 317. ibique Heyn.

727. Τοίας est lectio marginis. In ipso contextu videtur esse aut τούτου, aut τούτων.

HIST. 350.

730. Aeschyli Pers. 975. ibique Stanl. et Blomf. Pindar. Ol. VI, 20. sqq. Plut. V. Artax. 12. De Curios. §. 16. T. X. p. 147.

Τὸν Ἄδραστον εἰσφέρει μὲν ἐν Θήβαις γεγονότα,
Ἑπτὰ σορείας τῶν νεκρῶν ὡς εἶδε συνηγμένας,
Τοὺς στρατηγοὺς ἐπάνω δὲ τῶν σορειῶν κειμένους,
Τὸν δ' Ἀμφιάραον εἰδεῖν οὐκ εἶχε ταῖς σορείαις·
Ἡ γῆ γὰρ σὺν τῷ ἅρματι ἐδέξατο ἐκεῖνον·
„Ποθῶ τὸν Ἀμφιάραον, ποθῶ τὸν Οἰκλείδην,
„Τὸν ὀφθαλμὸν τῆς στρατιᾶς, ἥσπερ ἐγὼ κατάρχω“.
Ὡς μάντιν ὄντα ὀφθαλμὸν καὶ μαχητὴν γενναῖον.
Οὕτως ἐκάλουν ὀφθαλμοὺς τοὺς περιβλέπτους ἄνδρας;
Καὶ εὐεργέτας ἅπαντες οἱ Πέρσαι βασιλέων
Μάντεις ὁμοῦ καὶ ἰατροὺς καὶ τέρποντας θυμέλαις.
Πολλῷ δὲ μᾶλλον ἀναγκῶν ἐκείνους ῥυσαμένους
Ἦσαν κατονομάζοντες, πλὴν Περσικῇ τῇ γλώττῃ.
Τοὺς εὐεργέτας Πέρσαι γὰρ καλοῦσιν ὀροσάγγας.
Ἡμεῖς δ' ἀπό τε τῶν Περσῶν καὶ παλαιῶν Ἑλλήνων
Πάντας καλοῦμεν ὀφθαλμοὺς τοὺς ἐμφανεῖς κατά τι.

ΠΕΡΙ ΤΟΥ ΝΕΚΤΑΡΟΣ. τνά.

Ἡ ἀμβροσία βρῶσίς τις θεῶν μυθογραφεῖται,
Ὡς ἀβροσία οὖσά τις, οὐχὶ βροτῶν δὲ βρῶσις,
Τοῦ μ' μεσολαβήσαντος Αἰολικῷ τῷ τρόπῳ.
Νέκταρ δὲ πόσιν τῶν θεῶν πάλιν φασὶν οἱ μῦθοι,
Παρὰ τὸ νη στερητικὸν καὶ κτῶ δὲ τὸ φονεύω,
Νέκταρ ὀνομαζόμενον, πόσις μὴ κτεινομένων.
Οὕτω τὸ νέκταρ λέγεται κυριωτέρῳ λόγῳ.
Ἡμεῖς δὲ νέκταρ πᾶν γλυκὺ φαμεν, ἐν παραχρήσει.

---

745. De Orosangis conf. Herodot. VIII, 85. ibique Wessel. et Valck. Hunc item ad Herodot. VI, 30. *Höger.* In cd. A. δὲ γαρ.

HIST. 351.

752. In marg. cd. A. ἐπὶ pro περί, quod est in textu. Scripsi παρά.

ΠΕΡΙ ΤΗΣ ΑΛΩΠΕΚΟΣ ΤΗΣ ΤΟΝ ΤΥΡΟΝ ΕΚ ΤΟΥ ΚΟΡΑΚΟΣ ΑΠΑΤΗ͂Ι ΛΑΒΟΥΣΗΣ.
τνβ΄.

Μύθοις Αἰσώπου φέρεται τρώγων τυρόν τις κόραξ·
Λαβεῖν ποθοῦσα τὸν τυρὸν ἐκ τούτου δὲ ἀλώπηξ
Φέρεται τούτῳ λέγουσα, ὡς φρόνιμος εἶ κόραξ,
Καὶ εὐμεγέθης καὶ καλὸς καὶ πάντα τἄλλα φέρων
Ὅσα ὀρνέων ἔπρεπε κεκτῆσθαι βασιλέα,
Φωνῆς μόνης στερίσκῃ δὲ καὶ λείπῃ βασιλείας.
Ἀπατηθεὶς ὁ κόραξ δὲ τοῖς τῆς κερδοῦς ἐπαίνοις
Βοᾶν τορὸν ἀπήρξατο, τὸν δὲ τυρὸν ἀφῆκεν.
Ἡ δὲ λαβοῦσα τὸν τυρὸν μεθόδοις εὐμηχάνοις
Ἀφῆκε τοῦτον ἄπρακτα λαβράζειν τε καὶ κρώζειν.

ΤΙΣ ΕΓΓΛΩΤΤΟΓΑΣΤΩΡ, ΝΟΟΓΑΣΤΩΡ, ΧΕΙΡΟΓΑΣΤΩΡ, Ο ΚΑΙ ΧΕΙΡΩΝΑΞ.
τνγ΄.

Ἐγγλωττογάστωρ λέγεται πᾶς ὁ λαλῶν ἐν γλώσσῃ,
Κἂν τῷ λαλεῖν ἐκτρέφων δὲ τὴν ἑαυτοῦ γαστέρα,
Ὡς πάντες οἱ διδάσκοντες, ὡς ψάλτριαι καὶ ψάλται,
Θυμελικοὶ καὶ κόλακες καὶ λέγοντες ἀστεῖα
Καὶ ῥήτορες συνήγοροι καὶ ὅσοι δὲ τοιοῦτοι,
Κἂν οἱ πολλοὶ μόνους φασὶν οὕτω τοὺς συνηγόρους.
Τίνες ἐγγλωττογάστορες, οὕτω μαθὼν ἐγνώκεις.
Καὶ οἱ ἑφερμηνεύσαντες τῶν ἐγγλωττογαστόρων.
Ὁ νοογάστωρ δέ ἐστι (κατάχρησις δὲ τοῦτο)
Ὃς λογισμῷ συγγράμματα συντάττων, ἐξηγήσεις
Καὶ στίχους καὶ ποιήματα, τρέφει αὐτὸν ἐκ τούτων.
Ὁ χειρογάστωρ πάλιν δὲ καλεῖται καὶ χειρῶναξ.

HIST. 352.

756. Fab. 123. pag. 64. ed. I. G. Schneid. Ibi autem κόραξ non τυρόν, sed κρέας in ore habet.

765. Margo ed. A. ἄπρακτον.

HIST. 353.

771. Margo ed. A. δικηγόρους.

Ἔστι δ' ὁ ἐργαζόμενος καὶ τῶν χειρῶν τοῖς ἔργοις
Τρέφειν αὐτὸν δυνάμενος, ὡς πᾶς τις χειρεργάτης.
Καὶ βιβλογράφον ἅπαντα τούτοις μοι συναρίθμει,
Καὶ χειρογάστορά φαμεν σύμπαντα τὸν τοιοῦτον,
Ὡς ταῖς χερσὶ τρεφόμενον. χειρώνακτα δὲ πάλιν,
Ὡς τῶν χειρῶν δεσπόζοντα τῶν ἑαυτοῦ καὶ μόνων.
Τὸ ἄναξ τρία γὰρ δηλοῖ. κατάκουε δὲ τίνα,
Θεόν, τὸν βασιλέα τε καὶ τρίτον τὸν δεσπότην.

ΠΕΡΙ ΤΗΣ ΑΡΓΥΡΕΑΣ ΜΟΥΣΗΣ. τνδ'.
(πολλάκις ἐῤῥήθη.)

Οἱ ποιηταὶ πάντες το πρὶν ἔγραφον ἀναργύρως,
Μισθοῦ δὲ πρῶτος ἤρξατο γράφειν ὁ Σιμωνίδης.
Διακοστὴν καὶ εἰκοστὴν ὀγδόην εὕρῃς ταύτην
Ἐν τῷ παρόντι πίνακι καλῶς τὴν ἱστορίαν.

ΠΕΡΙ ΤΟΥ ΤΟΝ ΠΛΑΤΩΝΑ ΤΟΥΣ ΔΙΑΛΟΓΟΥΣ ΕΙΣ ΣΙΚΕΛΙΑΝ ΠΙΠΡΑΣΚΕΙΝ. τνέ.

Ὁ Πλάτων ὁ φιλόσοφος αὐτοῦ τοὺς διαλόγους,
Τουτέστι τὰ συγγράμματα, ἅπερ αὐτὸς ἐποίει,
Ἔχοντα ἐρωτήσεις τε ὁμοῦ καὶ ἀποκρίσεις
Ἐπίπρασκε τῷ Δίωνι καὶ τῷ Διονυσίῳ
Καὶ τοῖς λοιποῖς τοῖς θέλουσιν ἐκ Σικελῶν ὠνεῖσθαι.
Προῖκα καὶ ἀναργύρως δὲ οὐδὲν αὐτῶν ἐδίδου,
Οὐδὲ τῷ Δίωνι αὐτῷ, ὃς εὐηργέτει τοῦτον.
Καὶ τὸ τοῦ Φιλολάου δὲ τὸ τοῦ Πυθαγορείου
Ἀπὸ χηρῶν ὠνήσατο βιβλίον πενομένων.
Ὅρκια γὰρ ἦν δίδοσθαι ταῦτα Πυθαγορείοις,
Ἑτέροις μὴ πωλεῖσθαι δὲ Πυθαγορείων βίβλους.

HIST. 355.

797. Cf. Philolaus des Pythagoreers Lehren — von A. Böckh. 1819. p. 20. — Diog. Laert. Vit. Pythag. VIII. §. 15.

799. Ita margo ed. A. pro ὅρκοι, quod est in textu.

Ὅμως ὡς χαριζόμενος τῷ Πλάτωνι ἐκεῖνος
Ὠνεῖται τὸ βιβλίδιον ἐκ γυναικῶν ὧν ἔφην
Εἰς μνᾶς τελούσας ἑκατόν, οὐχ ἥττονας εἰς μέτρον.
Καὶ τοῦτο δὲ χαρίζεται Πλάτωνι ὡς ποθοῦντι.
Ἀφ᾽ οὗ γράφει τὸν Τίμαιον καὶ τὰ λοιπὰ ὁ Πλάτων.
Ὠνεῖται καὶ τοὺς μίμους δέ, τὸ Σώφρονος βιβλίον,
Ἀνδρὸς σοφοῦ τοῦ Σώφρονος, ὄντος Συρακουσίου.
Καὶ τοῦτο δὲ τῷ Πλάτωνι δίδωσιν ὡς ποθοῦντι.
Ἀφ᾽ οὗπερ ἐμιμήσατο γράφειν τοὺς διαλόγους,
Ὡς ἐν τοῖς Σίλλοις φαίνεται ὁ Τίμων διαγράφων.
Ὅμως καὶ οὕτω παρ᾽ αὐτοῦ κατευηργετημένος
Τοῦ Δίωνος οὗ ἔφημεν ὁ πάνσοφος ὁ Πλάτων
Οὐκ ἀναργύρως οὐδ᾽ αὐτῷ ἐδίδου τοὺς σοφοὺς λόγους.

ΟΤΙ ΚΑΙ ΟΨΑΡΤΥΤΙΚΗΝ Ο ΠΛΑΤΩΝ ΕΞΗΣΚΗΣΕΝ. τνϛ΄.

Ὁ Πλάτων ὁ φιλόσοφος ὢν τῶν περιδεξίων
Ἐκ τραπεζῶν Σικελικῶν οὐσῶν παναβροτάτων,
Ἐκ τῶν συγγραψαμένων δὲ τούτων ὀψοποιΐας,
Ἦσαν δοκῶ δ᾽ ὁ Σάραβος ὁμοῦ καὶ Θεαρίων
Καί τινες ἄλλοι σὺν αὐτοῖς, ἐξ ὧν μαθὼν ὁ Πλάτων
Καὶ τὴν ὀψοαρτύουσαν ἐξηκριβώκει τέχνην.
Οὐ δὲ γὰρ οὐδὲ ἄπειρος ἦν ὁ σοφὸς ἐν πᾶσι,
Καὶ θεραπείας τραπεζῶν πλουσίων καὶ τυράννων.

ΟΤΙ ΤΥΡΑΝΝΟΥΣ Ο ΠΛΑΤΩΝ ΕΘΩΠΕΥΕΝ. τνζ΄.

Ὅτι Πλάτων ἐθώπευε πλουσίους καὶ τυράννους,
Φθάσαντες προειρήκειμεν. καὶ γὰρ εἰς Σικελίαν

---

806. De Sophronis mimis item Diog. Laert. III, 18.

HIST. 356.

815. De mensis Siculis vid. not. ad collect. epist. graec. T. I. p. 176. ed. Orell.

817. In marg. edit. Bas. quatuor, manus docta posuit Σάραμβος. De quo conf. Suidas ibique Kust. et Reines.

HIST. 357.

823. Hoc faciebat Aristippus. Vid. Diog. Laert. II, 66. sqq.

Ἀπέπλει παρὰ Δίωνα καὶ Διονύσιον δέ.
Καὶ τούτοις συνδιέτριβεν, ὡς εἷς ἐκ τῶν μισθίων,
Λέγων πολλὰ ἐνίοτε ἀρέσκοντα ἐκείνοις,
Παρ' ὅπερ δεῖ φιλόσοφον ἄνδρα τῶν ἐλευθέρων.

ΠΕΡΙ ΦΙΛΙΣΤΟΥ ΤΟΥ ΙΣΤΟΡΙΚΟΥ, ΚΑΙ ΦΙΛΟΞΕΝΟΥ ΤΟΥ ΚΥΘΗΡΙΟΥ ΔΙΘΥΡΑΜΒΙΚΟΥ, ΥΦ' ΩΝ Ο ΠΛΑΤΩΝ ΠΑΡΕΥΔΟΚΙΜΗΤΟ.

τνή.

Φίλιστος οὗτος ὃν φαμεν ὁ ἱστοριογράφος
Μεγάλως ἦν τιμώμενος ἐπὶ Διονυσίῳ,
Ἐλέγετο συνεῖναι γὰρ μητρὶ Διονυσίου.
Ὑπῆρχε δ' οὗτος καὶ χωλός, καὶ στάσει δὲ τοῦ δήμου
Ἀναιρεθεὶς ἐσύρετο παρὰ τῶν παιδαρίων
Ἐκ τοῦ χωλεύοντος ποδὸς ἐν μέσαις λεωφόροις.
Τοῦτο δοκῶ δ' ὁ Τίμαιος ὁ Σικελός που γράφει,
Τοῦ Ἀνδρομάχου ὁ υἱὸς φθόνον δεινὸν ἐντρέφων,
Ὡς Σικελὸς τῷ Σικελῷ, ὡς ἄδοξος ἐνδόξῳ·
Ἀλλὰ ταυτὶ μὲν ὕστερα τὰ περὶ τοῦ Φιλίστου.
Ζῶν δ' ὁ ἀνὴρ ἦν τίμιος παρὰ Διονυσίῳ.
Ὁ δὲ σοφὸς Φιλόξενος, ὁ διθυραμβογράφος,
Ἦν γένει μὲν Κυθήριος, ἐλεύθερος δὲ φύσιν.
Ἐστέργετο δὲ μάλιστα καὶ τῷ Διονυσίῳ.
Οὗτος ὁ Διονύσιος δοὺς τραγῳδίαν τούτῳ
Οἰκείαν, πόνημα αὐτοῦ οὖσαν Διονυσίου,
Ἀναγνωσθῆναι μέλλουσαν λαμπρῶς ἐν ταῖς Ἀθήναις,
Εἶπεν αὐτῷ· Φιλόξενε, ἴδε τὴν τραγῳδίαν,
Καὶ εἴ τι φαῦλον, χίασον. ὁ δ' ἀπ' ἀρχῆς εἰς τέλος
Τὴν πᾶσαν κατεχίασεν ἐκείνην τραγῳδίαν.

HIST. 358.

835. Ita pro *ἀνθροφόνου* Göller de situ et orig. Syracus. p. 123.

839. Vid. Mülleri Indic. scriptor. in Tzetzae Schol. ad Lycophr. Item Aelian. XII, 44. ibique interpr. et ad eundem X, 9. Perizon. Plut. de Alexandr. fortit. Or. II. §. 1. T. IX. p. 52.

Τοῦτον δ' ὁ Διονύσιος πέμψας εἰς λατομίας,
Εὐθέως μετεπέμπετο πάλιν γραφαῖς ἐκεῖνον.
Φιλόξενος τοιοῦτον δέ τι γράφει πρὸς ἐκεῖνον,
Περιγραφῆς ἐν σχήματι ταυτοπολυλογήσας,
Δεκάκις καὶ πλειόνως δὲ γράψας τοιουτοτρόπως,
Οὐχὶ φροντὶς, οὐ μέλει μοι, καὶ τὰ λοιπὰ ὡσαύτως.
Μόλις ὡς ἤχθη πώποτε παρὰ Διονυσίῳ,
Ἀκούσας πάλιν λέγοντός τι τοῦ Διονυσίου,
Θωπεῦσαι ἀνεχόμενος οὐδόλως τε ἐκεῖνον,
Πάλιν με ἀπαγάγετε, εἶπεν, εἰς λατομίας·
Ἐγὼ καὶ Τζέτζης οὐδαμῶς ἠσκήσαμεν θωπείαν.
Ὁ Πλάτων δὲ καὶ σύμπαντες ἔρχονται πλοιαρίῳ.
Ὑπὸ Φιλίστου Πλάτων τε καὶ Φιλοξένου τοῦδε
Ἡττᾶτο, δεύτερα πολὺ φέρων Διονυσίῳ.

ΠΩΣ Ο ΠΛΑΤΩΝ ΦΩΡΑΘΕΙΣ ΠΕΡΙ ΤΥΡΑΝΝΙΔΟΣ ΚΟΙΝΟΛΟΓΟΥΜΕΝΟΣ ΔΙΩΝΙ ΔΟΘΕΙΣ ΠΩΛΙΔΙ ΕΠΙΠΡΑΣΚΕΤΟ. τνθ'.

Λέγουσιν οἱ φιλόσοφοι, παρὰ Διονυσίου
Τὸν Πλάτωνα πιπράσκεσθαι τῷ Πώλιδι δοθέντα.
Οἱ μὲν, ὅτι ἠρώτησέ ποτε, φασὶν, ἐκεῖνος,
Ποῖος ἁπάντων τῶν χαλκῶν ἄριστός ἐστι, Πλάτων.
Ὁ δ' εἶπε, Διονύσιε, κρείττων χαλκῶν ἁπάντων
Στήλας Ἀριστογείτωνος πλάσας καὶ Ἁρμοδίου.
Ἓν τοῦτο ψευδολήρημα τυγχάνει φιλοσόφων.

---

854. Herodot. VI, 129. ubi οὐ φροντὶς Ἱπποκλείδῃ. Lucian. Hercul. 8. ibique Schol. Apolog. pro merc. conduct. 15. Philopatr. 29. ibique interpr. *Höger.*

858. Egregie vero Tzetzes Philoxenum facit velut de ipso vaticinantem.

HIST. 359.

867. De Harmodio et Aristogitone, Hipparchi interfectoribus, vid. Herodot. V, 55. sqq. VI, 109. 123. Thucyd. VI, 54. sqq. I, 20. Aelian. Var. Hist. XI, 8. Lucian. Paras. §. 48. ibique interpr. De leaena autem conscia coniurationis ab Harmodio et Aristogit. contra tyrannos factae cf. Paus. I, 23. Plut. de garrul. c. 8. quibus adde quae laudat Iacobs in libro inscripto: *Socrates* ad hunc locum. *Höger.*

Οἱ δέ φασι, συγγράμμασι τοῖς Πλάτωνος ἡττᾶτο·
Καὶ διὰ τοῦτο δουλικῶς ἐκ Πόλιδος ἐπράθη.
Ταῦτα δ' εἰσὶ ληρήματα μισαληθῶν ἀνθρώπων.
Ὁ Πλάτων ἐπωλήθη γὰρ ἐκ Πόλιδος ναυάρχου,
Τούτῳ δοθεὶς εἴτε πραθεὶς παρὰ Διονυσίου,
Ὡς συμβουλεύων φωραθεὶς Δίωνι τυραννίδα.
Ὁ Δίων δ' ἦν ἀνεψιὸς ἅμα Διονυσίου
Καὶ ἀδελφὸς τῆς γυναικός. ἀνεψιοὺς δὲ νόει
Τοὺς ἐξαδέλφους λέγειν μοι, ἅπερ κοινῶς οὐ γράφῃς.
Οὕτως ὁ Πλάτων πέπρατο μελέτῃ τυραννίδος.
Εἰ δ' ἦν τις νέος Σικελὸς τῷ τότε βασιλεύων,
Οὐκ ἂν ὡς πανιώτης μὲν ὁ Πλάτων διεπράθη,
Ἀλλ' ἐφονεύθη πάντως ἂν δοκῶ μοι μυριάκις,
Ὡς ἔθος ἐστὶ Σικελοῖς τοῖς νεωστὶ κρατοῦσιν.
Εἴτ' οὖν ὑπέστη σκάφευσιν Περσῶν καὶ τῶν Ἀρταίων
Εἴτέ τι δυσχερέστερον ἄλλο παθὼν τι πάθος
Ἔγνωκεν ἂν βαρύτατον μελέτην τυραννίδος.

ΠΩΣ ΟΙ ΑΙΓΙΝΗΤΑΙ ΚΑΤΑ ΤΟΥΣ ΛΑΙΣΤΡΥΓΟΝΑΣ, ΠΡΟΣ ΤΟΝ ΛΙΜΕΝΑ ΠΑΡΕΙΣΦΡΗΚΟΤΕΣ, ΤΩι ΠΡΟΣ ΑΘΗΝΑΙΟΥΣ ΜΙΣΕΙ ΜΙΚΡΟΥ ΛΙΘΟΙΣ ΑΝ ΤΟΝ ΠΛΑΤΩΝΑ ΔΙΕΧΡΗΣΑΝΤΟ. τξ'.

Ἐν Ὀδυσσείᾳ Ὅμηρος τὸν Ὀδυσσέα λέγει,
Μετὰ τὴν παρὰ Κύκλωπος κατάβρωσιν ἓξ φίλων,
Ἀντίφου, Εὐρυλέοντος, Ἀφείδαντος, Μενέτου,
Κηφέως καὶ Στρατίου τε, σὺν ἓξ λειφθεῖσιν ἄλλοις,
Ὧν κλήσεις Ἀμφιδάμας τε, Ἀμφιάλος, Λυκάων,

---

880. Etiam hic cd. A. nos destituit. In marg. est σκανιώτης. Lacisius vertit *velut rarus*, absurde. An scribendum ἰδιώτης?

881. Pro corrupto ἐφυτεύθη, quod Lacisius reddit *defossus fuisset*, scripsi ἐφονεύθη.

883. Etiam Plut. Vit. Artax. 16. hoc supplicii genus commemoratur. In marg. cd. A. est ἀρταίρων.

HIST. 360.

887. Odyss. II, 19. sqq.

Ἀντίλοχος καὶ Ἄλκιμος μετὰ καὶ Εὐρυλόχου,
Τὸν Κύκλωπα μεθύοντα κοιμώμενον τυφλῶσαι,
Πολλὰ προβάτων τε λαβεῖν τούτου καὶ ἀποπλεῦσαι.
Ἐλθεῖν πρὸς Λαιστρυγόνας δέ, τὰ πλοῖα δὲ κατᾶραι
Εἰς τὸν λιμένα τὸν αὐτῶν ὄντων ἀνθρωποφάγων.
Καὶ Ὀδυσσέα τὴν αὐτοῦ προμηθεστέρως νῆα
Ἔξω τοῦ στόματός φησι κρατῆσαι τοῦ λιμένος.
Τοὺς δὲ λοιποὺς τὰς ἕνδεκα εἴσω λιμένος κέλσαι.
Ἀπεσταλκέναι δέ τινας τρεῖς, γνῶναι τὰ τῆς χώρας,
Τίνες αὐτῆς οἱ κάτοικοι καὶ ποδαποὶ τοῖς τρόποις.
Οὗτοι δ' ἐλθόντες, ἔτυχον ὑδρευομένῃ κόρῃ·
Παῖς ἦν τοῦ Ἀντιφάτου δέ, κρατοῦντος Λαιστρυγόνων,
Ἥπερ αὐτοῖς κατέλεξε τὴν χώραν, τὸν κρατοῦντα.
Ταύτῃ δ' ἀκολουθήσαντες, εἶδον αὐτῆς μητέρα,
Ἴσην ὡς ὄρους κορυφῇ. κατέστυγον δ' ἰδόντες.
Ἡ δὲ τὸν Ἀντιφατέα ἐξ ἀγορᾶς ἐκάλει.
Πάντες οἱ Λαιστρυγόνες δὲ οὐχ ὅμοιοι ἀνθρώποις,
Γίγασι δὲ ἀνθόμοιοι ἐδίωκον ἐκείνους.
Οἱ δὲ ὡς εἶχον, ἔφευγον πρὸς ἑαυτῶν τὰς νῆας.
Οἱ Λαιστρυγόνες δ' ἔβαλλον χερμάσιν ἀνδραχθέσιν.
Ἄφαρ δὲ κόναβος κακὸς ἠγέρθη κατὰ νῆας·
„Ἀνδρῶν τ' ὀλλυμένων, νηῶν θ' ἅμα ἀγνυμενάων.“
Οὕτως αὐτοῖς ἐπέκειντο οἱ Λαιστρυγόνες τότε,
Ἕως πάντας ἀπέκτειναν τῶν ἕνδεκα ὁλκάδων.
Τούτων φονευομένων δὲ πρὸς τῷ λιμένι τότε,
Κἂν λέγωσι τὴν φόνευσιν βρῶσιν ἐκ Λαιστρυγόνων,
Ἀποτεμὼν τὰ πείσματα τῆς ἑαυτοῦ ὁλκάδος
Ὁ Ὀδυσσεὺς καὶ πεφευγὼς εἰς πέλαγος ἐσώθη.
Ἀλλ' ἡ καταβρωσίς ἐστιν ἐκ Κύκλωπος ἀνθρώπων
Ὁ φόνος, ἡ ἀναίρεσις, ἥνπερ ἀνῄρουν τούτους.
Οἱ Σικελοὶ γὰρ Κύκλωπες πρὶν ὀλιγανθρωποῦντες,
Ἔτι ὄντες καὶ ἄπειροι τοῦ ναυπηγεῖν ὁλκάδας,

---

894. Odyss. X, 87. sqq. 912. Odyss. X, 122.
898. Τὰς pro τοὺς e marg. cd. A.

Ξένους τοὺς καταπλέοντας ἀπέκτεινον ἐκ φόβου,
Μή πως αὐτῶν κρατήσωσι τῇ χώρᾳ ἐπελθόντες.
Οὕτω καὶ Ὀδυσσέα δὲ τούτοις προσπεπλευκότα
Καθεῖρξαν καὶ ἀνῄρουν δὲ τούτους καὶ τοὺς ἑταίρους.
Ὃ ἔφασαν κατάβρωσιν οἱ πάλαι μυθογράφοι.

Ἡ ἐν δαλῷ δὲ τύφλωσις τοῦ Κύκλωπος τοιάδε:
Οἱ Ὀδυσσέως ἔμελλον θνήσκειν ἐγκατειργμένοι.
Χρήματα δοὺς δὲ Ὀδυσσεὺς τὸν Κύκλωπα μεθύει,
Ἤγουν χαῦνον ἐποίησεν εἰς τὸ φονεῦσαι τούτους.
Οὕτω τῇ τῶν χρημάτων δὲ μέθῃ συγχαυνωθέντος,
Δαλῷ τοῦτον φονεύσαντες φεύγουσιν ἐκ τῆς νήσου·
Ἤτοι πυρὶ ἐρωτικῷ Ἔλπην τὴν θυγατέρα,
Ἣν εἶχε τρόπον ὀφθαλμοῦ, ἁρπάσαντες ἐκεῖνοι,
(Ἣν ἐρασθεῖσα γάρ τινος αὕτη τῶν Ὀδυσσέως)
Φεύγουσιν ἅπαντες, αὐτῆς φρουρὰν ἐξανοιξάσης.
Κατάδηλον δὲ γέγονε πᾶσι τοῖς πέριξ τοῦτο,
Ὡς Κύκλωπος ἀφήρπαξαν τὴν Ἔλπην θυγατέρα.
Ὡς δ' εἰς τοὺς γείτονας αὐτοὶ Κυκλώπων Λαιστρυγόνας,
Τούτους πάντας ἀπέκτειναν, ὡς ἔφην, Λαιστρυγόνες,
Πλὴν τῆς ὁλκάδος τῆς μιᾶς, ἧς εἶπον, Ὀδυσσέως·
Ἀφεῖλον καὶ τὴν Ἔλπην δὲ τοῦ Κύκλωπος τὴν παῖδα,
Καὶ Κύκλωπι δεδώκασι· κἂν Ὅμηρος οὐ λέγῃ,
Ὅπως ἂν μὴ τὰ ἔλυτρα τοῦ μύθου ἀναπτύξῃ.

Κατὰ τοὺς Λαιστρυγόνας δ' οὖν τότε καὶ Αἰγινῆται,
Πρὸς τοὺς λιμένας τρέχοντες μίσει τῷ Ἀθηναίων,
Μικροῦ ἂν διεχρήσαντο τὸν Πλάτωνα τοῖς λίθοις.
Ἦσαν οἱ Αἰγινῆται γὰρ φίλοι τῶν Μεγαρέων.
Οὓς Μεγαρεῖς ὁ Περικλῆς ἀπεῖρξε τὴν τελείαν
Ἐξ ἀγορᾶς, λιμένων τε πάντων τῶν ἐν Ἀθήναις,
Ψήφισμα ἐπὶ πίνακος θεὶς ἀγορᾶς ἐν μέσῳ,
Ἀνθ' ὧν, ὡς ἔλεγεν αὐτὸς ὁ Περικλῆς ὁ γράψας,

923. Cd. A. ἀπέκτενον.
950. Aelian. V. H. XII, 53. ibique Periz. — Etiam cd. A. ἀπῆρξε, ut edit. Bas.

Οἱ Μεγαρεῖς ἐξέτεμον τὴν τοῦ θεοῦ ὀργάδα.
Ὀργὰς δὲ κῆπος ἱερὸς ἦν τῶν μὴ τεμνομένων.
Ταύτην αἰτίαν Περικλῆς ἔλεγε Μεγαρέων.
Τζέτζης ἐγὼ δὲ λέγω σοι, καὶ ἀκριβῶς μοι σκόπει.
Ὁ Περικλῆς ψευδόμενος, ἄκων νῦν ἀληθεύει.
Τὴν Ἀσπασίαν οὖσαν γὰρ Μεγαρικὴν ἑταίραν
Ὁ Περικλῆς ὡς νόμιμον ἔσχηκε συνευνέτιν.
Ποτὲ τοῖς προαστείοις δὲ ταύτης παρεξελθούσης
Μετὰ τιμῆς καὶ προπομπῆς καὶ θεραπείας πόσης,
Οἱ Μεγαρεῖς γινώσκοντες, ὡς πρίν, θεοῦ ὀργάδα,
Τῆς Ἀφροδίτης δὲ θεοῦ, τῆς Ἀθηνᾶς οὐ λέγω,
Ἀστείως διετέθησαν οἷα τὸ πρὶν γνωρίμη.
Ἂν τὴν ὀργάδα δ' ἔτεμον, οἶδεν ὁ Περικλέης,
Καὶ τούτου χάριν ἔγραψε τὸ ψήφισμα ἐκεῖνο,
Οὗ ἕνεκα εἰς Αἴγιναν ἔμελλε θνήσκειν Πλάτων.

ΟΤΙ ΤΡΙΣΣΑΚΙΣ Ο ΠΛΑΤΩΝ ΤΗΝ ΣΙΚΕΛΙΚΗΝ ΕΞΕΜΕΤΡΗΣΕ ΧΑΡΥΒΔΙΝ. τξά.

Ἡ Σκύλλα καὶ ἡ Χάρυβδίς εἰσι τῆς Σικελίας.
Ἀλλ' ἡ μὲν Σκύλλα πέφυκέ τι τῶν ἀκρωτηρίων
Πάνυ δεινὸν καὶ δυσπόρθμον ἕρμασί τε καὶ πέτραις
Καὶ θαλασσίοις δὲ θηρσὶ βλάπτουσιν οὐ μετρίως.
Ἡ Χάρυβδις δὲ ῥεῦμά τι δεινόν ἐστιν ἐκεῖσε,
Λέβητος δίκην συστροφαῖς δεινῶς ἀνακαχλάζον.
Δεινὴν δ' αὐτὴν ἐργάζονται τὴν Χάρυβδιν τὸ ῥεῦμα
Οἱ ποταμοί, ὁ Σένων τε, ὁμοῦ καὶ ὁ Ἀδρίας,
Εἰς πέλαγος Ἰόνιον εἰσβάλλοντες καὶ ἄμφω.
Ἄλλοι τὰ τρία λέγουσιν, ἅ σοι πελάγη φράσω,
Ποιεῖν δεινὴν τὴν Χάρυβδιν, ἐπαύξοντα τὸ ῥεῦμα.
Ἐκ μὲν δυσμῶν τὸ Τυρσηνὸν στενώτατον ὑπάρχον,
Ἐκ νότου δὲ τὸ Σικελόν, ὁμοῦ καὶ τὸ τῆς Κρήτης.

---

954. Simile est factum Corcyraeorum Thuc. III, 70.
958. Aspasia fuit Milesia. Plut. V. Pericl. 24.
960. Cd. A. *συνευνέτην.*
981. De mari Cretico vid. Sophocl. Trach. 118. ibique Schol. et interpr.

Τὸ Κρητικὸν ὑπάρχει δὲ καὶ μέρος τοῦ ἑῴου.
Ἐκ τοῦ βορρᾶ, ἑῴας τε πάλιν τὸ τοῦ Ἀδρίου,
Ὁ πέλαγος Ἰόνιον καλεῖται τοῦ Ἀδρίου,
Ἀπ' Ἰονοῦ Ἰλλυρικοῦ τὴν κλῆσιν δεδεγμένον,
Τοῦ τόπου βασιλεύοντος καὶ τῶν ἐκεῖ χωρίων,
Οὐκ ἀπ' Ἰοῦς, ὥς λέγουσί τινες, τῆς τοῦ Ἰνάχου.
Εἰς γὰρ στενὸν τὸ Τυρσηνὸν πέλαγος κεκλεισμένον,
Τὸ πνεῦμα καὶ ὠθούμενον ἐκ πελαγῶν τῶν ἄλλων,
Μὴ ἔχον δὲ διέκπνευσιν, δεινῶς στροφοδινεῖται,
Μορμύρων δίκην λέβητος πυρὶ τεθερμασμένου.
Τοῦτο τρισσάκις ἔπλευσεν ὁ πάνσοφος ὁ Πλάτων.
Τρὶς γὰρ ἐλθὼν εἰς Σικελοὺς τρισσάκις ἀπηλάθη.
Ἔδρα γὰρ ἔχθρας Δίωνι καὶ τῷ Διονυσίῳ.

ΩΣ ΠΛΑΤΩΝ ΠΡΑΘΕΙΣ ΕΠΙ ΠΩΛΙΔΟΣ ΤΩι ΠΥΘΑΓΟΡΕΙΩι ΑΡΧΥΤΑι ΤΩι ΤΑΡΑΝΤΙΝΩι, ΔΕΣΠΟΤΗι ΤΕ ΑΥΤΩι ΚΑΙ ΔΙΔΑΣΚΑΛΩι ΤΩΝ ΠΥΘΑΓΟΡΕΙΩΝ ΕΧΡΗΣΑΤΟ. τξβ'.

Ἐκ Πώλιδος ναυάρχου μὲν τῷ γένει Σπαρτιάτου
Πλάτωνα τὸν φιλόσοφον ὠνήσατο Ἀρχύτας·
Φιλόσοφος καὶ οὗτος μέν, ἀλλ' ἐκ Πυθαγορείων.
Δοῦλον δὲ σχὼν ἐδίδαξε καὶ τὴν φιλοσοφίαν
Αὐτῷ τὴν Πυθαγόρειον. εἶχε καὶ γὰρ ὁ Πλάτων
Καὶ τὴν τοῦ Φιλολάου δὲ βίβλον Πυθαγορείου,
Ὁμοίως καὶ τοὺς Σώφρονος μίμους Συρακουσίου,
Ἐωνημένας πρὶν αὐτῷ ἐκ Δίωνος τὰς βίβλους.
Τὴν Φιλολάου μὲν εἰς μνᾶς ἑκατὸν τάδε πλήρη,
Τὴν Σώφρονος οὐκ οἶδα δέ, οὐ γὰρ ἐκεῖ παρήμην.
Καὶ ἐκ τῆς Φιλολάου μὲν κλέπτει τὸ πᾶν ὁ Πλάτων,
Ὅσον ἐστὶ περὶ ψυχῆς, καὶ ἕτερα μυρία,
Καὶ Τίμαιον γεγράφηκε καὶ ἄλλους διαλόγους.
Ἐκ μίμων δὲ τοῦ Σώφρονος μιμεῖται διαλόγους.
Ὁ Σώφρων ὅσα γράφει γάρ, εἰσὶ τῶν ἀμοιβαίων,
Ἐρώτησιν, ἀπόκρισιν, σύμπαντα κεκτημένα.

ΠΑΡΟΙΜΙΑ, ΕΠΙ ΜΟΝΗΣ ΤΑΥΤΗΣΙ ΤΗΣ ΑΓΚΥΡΑΣ ΣΑΛΕΥΟΜΕΝ, ΗΝ ΦΘΑΣΑΝΤΕΣ ΕΦΗΜΕΝ. τξγ'.

Τὰ πλοῖα τοῖς πελάγεσι καὶ μᾶλλον τῷ χειμῶνι
Πολλαῖς ἐπιστηρίζεται ἀγκύραις καὶ σιδήροις,
Καὶ μόλις σάλον δύνανται φυγεῖν τὸν τοῦ χειμῶνος.
Ὅπερ δὲ πλοῖον ἐκ μιᾶς ὁρμίζεται ἀγκύρας,
Πολλὴν ἔχει δυσχέρειαν σωθῆναι τῷ χειμῶνι,
Ἐπὶ μιᾶς τῆς ἱερᾶς ταύτης θαῤῥοῦν ἀγκύρας.
Τὴν ἱερὰν ἀγκύραν δὲ εἶναι αὐτός μοι νόει
Τῶν ἀγκυρῶν τὴν μείζονα, τὴν ἐν ἀπελπιστίαις,
Εἰς σωτηρίαν τῆς νεὼς ὑστέραν χαλωμένην.

ΟΥΔΕ ΠΡΟΙΚΑ ΠΑΡ' ΟΥΔΕΝΟΣ ΤΙ ΛΑΜΒΑΝΟΜΕΝ. ΑΔΙΚΕΙΝ ΓΑΡ ΟΥΤΩΣ ΟΙΟΜΕΘΑ ΤΟΥΣ ΟΣΟΥΣ Η ΦΥΣΙΣ ΕΞΗΜΒΛΩΣΕ, ΤΗΣ ΑΚΡΙΒΟΥΣ ΔΙΑΡΤΙΑΣ ΑΠΟΣΤΑΛΗΣΑΣΑ. τξδ'.

Ὁ Τζέτζης ἀδωρότατος ἦν, παλαιῶν τῷ ζήλῳ,
Ἐπαμεινώνδου, Κάτωνος, καὶ ἄλλων τῶν τοιούτων,
Καὶ παρ' ἀρχόντων καὶ κοινῶν καὶ μέσων καὶ τῶν κάτω,
Προῖκα μὴ θέλων τι λαβεῖν, καί τοι διδάντων πόσων,
Ὡς καὶ μεγίστῃ τῇ λιμῷ, ἄρχοντος τῶν ἐνδόξων
Θέλοντος σιτηρέσιον τούτῳ καὶ δούλοις φέρειν,
Εἰπεῖν αὐτὸν ὡς πρὸς αὐτόν· εὕρῃς γηρωκομίτας,
Τὸν Τζέτζην δ' οὐχ ἁρμόδιον ζῆν ὡς γηρωκομίτην.
Ὤιετο γὰρ ὡς ἀδικεῖ οὓς ἤμβλωσεν ἡ φύσις,
Χωλούς, τυφλοὺς ποιήσασα, κυλλοὺς καὶ ἀναπήρους,

HIST. 363.

15. Unde dictum: *Οὔτε ναῦν ἐξ ἑνὸς ἀγκυρίου, οὔτε βίον ἐκ μιᾶς ἐλπίδος ὁρμιστέον*, relatum inter fragm. Plutarchi T. XIV. p. 368. ed. Hutt. Exstat inter Epicteti fragm. n. 89. T. III. p. 95. ed. Schweigh. *Höger.*

HIST. 364.

21. Inserui *ἄλλων*. Potuit item *πάντων* excidere.

Τούτοις γὰρ προῖκα ᾤετο πρέπειν χρημάτων δόσεις.
Αὐτὸς δ' οὐδ' ἑρμηνεύμασιν ἐλάμβανε χρυσίον,
Μόλις δὲ βρώματα, ποτούς, ὀπώρας καὶ τοιαῦτα.
Αὐτοῦ δὲ τὰ συγγράμματα θέλουσι μεταγράφειν
Καὶ μόλις καὶ ὀλίγοις δὲ καὶ δεδοκιμασμένοις
Διὰ χρυσίου ἱκανοῦ ἐδίδου μεταγράφειν,
Ὡς καὶ ὁ Πλάτων πρότερον αὐτοῦ τοὺς διαλόγους.

Ἀλλ' ὁ μὲν Πλάτων καὶ αὐτοῦ πωλῶν τοὺς διαλόγους
Καὶ κόλαξ ἦν καὶ μάγειρος, καὶ πάντας δὲ συνώθει
Αὐτῷ διδόναι χρήματα, ὠνεῖσθαί τε βιβλία
Μνῶν ἑκατὸν πλειόνων τε· ὥσπερ τὸ Φιλολάου
Ὁ Δίων ἐξωνήσατο καὶ τὸ τοῦ Σώφρονός δε.
Ὁ Τζέτζης καὶ Αὐγούστης δὲ τούτῳ στειλάσης δῶρα
Καὶ ἄκων μὲν ἐδέξατο. ἔδοξε δὲ φορτίον.
Πονῶν καὶ γράφων δ' ἔχαιρεν, ἄνπερ μισθοὺς λαμβάνοι,
Τῆς σεβαστοκρατούσης δὲ μόνης. καὶ ἀμισθίως
Δόσεις λαμβάνων ἔχαιρεν ἐκ πάντων τῶν ἀνθρώπων.

ΛΕΞΙΣ ΙΣΤΟΡΙΩΔΗΣ Η ΤΙ ΕΣΤΙΝ ΕΚΕΧΕΙΡΙΑ ΚΑΙ ΠΟΘΕΝ. τξέ.

Ἐκεχειρίαν νόει μοι ἄνεσιν καὶ ἀργίαν,
Ἀπὸ τοῦ ἔχειν καὶ κρατεῖν καὶ παύειν δὲ τὰς χεῖρας
Εἰς ἐργασίας κίνησιν. ἔσχε τὴν κλῆσιν ταύτην
Ἑχεχειρία οὖσά τις, καίγε ἐκεχειρία,
Κατ' Αἰολεῖς καὶ Ἴωνας τοῦ χι μετατραπέντος
Πρὸς γράμμα κάππα τῶν ψιλῶν. τῶν ψιλωτῶν γὰρ οὗτοι
Καὶ σπανιάκις Ἀττικοὶ ψιλοῦσι καὶ δασέα,
Ὡς τοῦτό τε καὶ ἕτερα. πάνυ δ' εἰσὶ βραχέα,
Ὡς πανδοκεῖον, ἄλλα τέ τινα καὶ τῶν εὐρύθμων.
Μᾶλλον αὐτοὶ γὰρ τὰ ψιλὰ τρέπουσιν εἰς δασέα·
Ἐφίσης, οὐκ ἐπίσης γάρ. καὶ λίσφοι καὶ οὐ λίσποι.
Οὕτω δασέως λέγουσιν, οὐχὶ ψιλοῖς συμφώνοις.

HIST. 365. 55. Inserui καί.

Καὶ πάντα δὲ δασεύουσιν. τί δὲ μακρηγοροῦμεν;
Λίσποι δ' εἰσὶν οἱ τὰς πυγὰς ἔχοντες λειποκρέους.
Οὕτω πάντα δασεύουσιν ὡς Ἀττικοί, ὡς ἔφην,
Τὸ πανδοκεῖον ἅμα δὲ καὶ τὴν ἐκεχειρίαν
Καὶ ἕτερα βραχύτατα καίγε τῶν εὐρυθμήτων
Κατ' Αἰολεῖς καὶ Ἴωνας ψιλῶς φασὶ καὶ οὗτοι.

ΠΕΡΙ ΤΗΣ ΕΝ ΚΡΟΤΩΝΙ ΠΥΡΠΟΛΗΣΕΩΣ, ΗΝ ΦΥΓΩΝ ΠΥΘΑΓΟΡΑΣ ΕΙΣ ΜΕΤΑΠΟΝΤΟΝ, ΤΕΣΣΑΡΑΚΟΝΘΗΜΕΡΟΝ ΦΥΓΩΝ ΝΗΣΤΙΣ, ΕΝ ΤΩι ΤΩΝ ΜΟΥΣΩΝ ΤΕΜΕΝΕΙ ΤΕΛΕΥΤΑι. τξϛ'.

Ὁ Πυθαγόρας ὁ σοφὸς Σάμιος ἦν τῷ γένει,
Σαμείας Πυθαΐδος μέν, ὡραίας ὑπὲρ φύσιν,
Καὶ τοῦ Μνησάρχου δὲ υἱός. ὃς Μνήσαρχος ὑπῆρχε
Τὴν τέχνην μετερχόμενος τὴν δακτυλιογλύφων.
Οὗτος ὁ Πυθαγόρας μὲν ὡραῖος ἦν τῇ θέᾳ.
Σύγχρονος Πολυκράτει δὲ τῷ βασιλεῖ τῆς Σάμου,
Τῷ βασιλεῖ Αἰγύπτου τε Ἀμάσιδι τὴν κλῆσιν
Καὶ τῷ Περσῶν τῷ βασιλεῖ Κύρῳ τῷ παγκαλλίστῳ,
Ὃς μάχῃ Κροῖσον ἥττησεν, ἐπόρθησε τὰς Σάρδεις.
Τούτοις οἷς ἔφην συγχρονῶν οὗτος ὁ Πυθαγόρας,
Σὺν τῷ Θαλῇ κατήκουσε τοῦ Σύρου Φερεκύδους,
Καὶ πρῶτος πάντων εὕρηκε καλεῖσθαι φιλοσόφους.
Διδάσκειν δὲ πτοούμενος ἐν Σάμῳ Πολυκράτη,
Δι' ἃς αἰτίας δὲ σιγῶ, δυστρόπους ὑπηργμένας,
Εἰς Ἰταλίαν ἀπελθὼν ἐδίδασκεν ἐκεῖσε.
Εἶτα κἀκείνοις μισηθεὶς φρυγάνοις πυρπολεῖται,
Ἐν πόλει μὲν τῇ Κρότωνι, Μίλωνος δὲ οἰκίᾳ,
Τοῦ παλαιστοῦ τοῦ Μίλωνος, τοῦ πᾶσι θρυλλουμένου.
Σὺν μαθηταῖς δὲ τοῖς αὐτοῦ πολλοῖς συμπυρπολεῖται.
Οὕτω τινὲς μὲν λέγουσιν αὐτὸν πυρποληθῆναι.

---

63. Addidi γε.

Ἄλλοι τινὲς δὲ λέγουσιν, ὡς ἐκ πυρὸς ἡρπάγη,
Τῶν θερμοτέρων μαθητῶν αὐτὸν ἀφαρπαξάντων,
Ἢ καὶ στρωσάντων ἑαυτοὺς εἰς πῦρ γεφύρας δίκην,
Καὶ δι' αὐτῶν ἐκείνου δὲ τὸ πῦρ ἐκπεφευγότος.
Οὕτω τὸ πῦρ ὡς λέγουσιν ἐκπεφευγὼς τῷ τότε,
Φυγών τε πρὸς Μετάποντον, Μουσῶν ἐν τῷ τεμένει,
Ἐκεῖ τε συγκρυπτόμενος, ἄρτον φαγεῖν οὐκ ἔχων,
Ἐφ' ὅλαις τεσσαράκοντα ἡμέραις, λιμῷ θνήσκει,
Ἐτῶν ὑπάρχων ἑκατόν, πλὴν ἔτους ἑνὸς μόνου.

ΠΕΡΙ ΠΑΣΙΚΡΑΤΟΥΣ, Η ΣΤΑΣΙΚΡΑΤΟΥΣ, ΤΟΥ ΒΙΘΥΝΟΥ ΠΛΑΣΤΟΥ, ΟΙΑΣ ΕΠΟΙΕΙ ΤΑΣ ΑΛΕΞΑΝΔΡΟΥ ΕΙΚΟΝΑΣ. τξζ.

(ἐγράφη δέ.)

Ὁ Στασικράτης χαλκουργὸς ἦν Βιθυνὸς τῷ γένει.
Ἔχεις τὴν ἱστορίαν δὲ πίνακι τῷ παρόντι,
Ἑκατοστὴν ἐννάτην τε σὺν ἐνενηκοντάδι.

ΟΤΙ ΕΤΕΡΟΦΘΑΛΜΟΣ ΚΑΙ ΕΤΕΡΟΤΡΑΧΗΛΟΣ ΗΝ ΑΛΕΞΑΝΔΡΟΣ Ο ΜΕΓΑΣ. τξή.

Ὁ βασιλεὺς ὁ μέγιστος Ἀλέξανδρος Φιλίππου,
Γλαυκὸν τὸν ἕνα ὀφθαλμὸν ἔχειν θρυλλεῖται πᾶσι,
Μέλανα δὲ τὸν ἕτερον. τοῖς ὀφθαλμοῖς τοιοῦτος.
Ἦν δὲ καὶ σιμοτράχηλος καὶ παρατραχηλῶν δέ,
Ὥστε δοκεῖν πρὸς οὐρανὸν ἐνατενίζειν τοῦτον.
Τοιοῦτον καὶ ὁ Λύσιππος ἐκεῖνον ἐχαλκούργει.
Καὶ τούτου δὲ Ἀλέξανδρος ἐπέχαιρεν εἰκόσιν,
Ἢ Στασικράτους πλάσμασι ψευδέσι, τυφουμένοις.
Ὅτι δ' ἦν ὁ Ἀλέξανδρος τοιοῦτος τὴν ἰδέαν,
Δηλοῖ καὶ τὸ ἐπίγραμμα, ὅπερ τυγχάνει τόδε,

HIST. 366.

88. Videntur Tzetzae hic in mentem venisse quae de Sesostride in Aegyptum redeunte et per fratris dolos in insidias incidente narrat Herodot. II, 107. *Höger.*

„Αὐδάσοντι δ' ἔοικεν ὁ χάλκεος, ἐς Δία λεύσσων,
„Γᾶν ὑπ' ἐμὲ τίθεμαι, Ζεῦ, σὺ δ' Ὄλυμπον ἔχε.

ΙΣΤΟΡΙΑ, Η ΛΕΓΟΥΣΑ, ΚΑΝ ΑΙ ΤΩΝ ΕΝΘΥΜΗΜΑΤΩΝ ΕΥΡΕΣΕΙΣ ΗΤΟΙ ΡΗΤΟΡΙΚΗΣ ΔΙΔΑΣΚΑΛΙΑΣ. τξθ'.

Ἡ βίβλος ἡ ῥητορικὴ, πλὴν τῶν σοφιστευόντων
Ῥητόρων (συνηγόρων γὰρ ἑξήκοντα βιβλία)
Πεντάβιβλος ὑπάρχει μὲν, εἰς πέντε διαιρεῖται,
Εἴς τε τὰ προγυμνάσματα, τὰς στάσεις, τὰς εὑρέσεις,
Εἰς τὰς ἰδέας τε αὐτὰς τὸ τέταρτον βιβλίον,
Εἰς τὸ περὶ μεθόδου τε δεινότητος τὸ πέμπτον.
Καὶ τὰ μὲν προγυμνάσματα κατὰ τὸν Ἑρμογένην
Εἰς ἀριθμὸν εἰς δώδεκα ποσότητι προβαίνει,
Ἀνασκευὴν, κατασκευὴν, μιᾷ διδασκαλίᾳ,
Ἐγκώμιον καὶ ψόγον τε κατασκευῇ ὁμοίως.
Διδάσκει Ἑρμογένης γάρ. Ἀφθόνιος δ' ὑστέρως,
Τὰ δώδεκα ἐποίησε τέσσαρά τε καὶ δέκα,
Ἀνασκευὴν ἰδίως μὲν, κατασκευὴν δ' ἰδίως·
Ὁμοίως καὶ ἐγκώμιον ἰδίως καὶ τὸν ψόγον,
Οὐ συνηγμένως δὲ αὐτὰ εἰπών, ὡς Ἑρμογένης·
Ὅθεν ἐκ δώδεκα ποιεῖ τέσσαρά τε καὶ δέκα.
Τῶν ὧν καὶ τὰ ὀνόματα πρῶτα μοι φράζειν δέον·
Μῦθός τε καὶ διήγημα καὶ χρεία δὲ καὶ γνώμη,
Ἀνασκευή, κατασκευή, ἡ ὁ κοινὸς δὲ τόπος,
Ἐγκώμιον, καὶ ψόγος δέ, καὶ σύγκρισις σὺν τούτοις.
Ἠθοποιΐα, ἔκφρασις, θέσεις, νομεισφορά τε.
Τὸ τῶν προγυμνασμάτων μὲν ταῦτα βιβλίον γράφει.
Τὸν μῦθον Ἑρμογένης μὲν διδάσκει πεφυκέναι
Γλυκὺν, σαφῆ καὶ σύντομον καὶ πιθανὸν σὺν τούτοις.

HIST. 369.

109. De Hermogenis opere cf. Ernesti Lex. technol. Graecor. rhetor. praef. p. XV. sq.

110. In marg. cd. A. δικηγόρων.

116. Προβαίνει pro προσβαίνει cd. A.

Ἀφθόνιος οὐ μόνον δὲ οὐ γράφει περὶ μύθου,
Οἵοις αὐτὸν ἁρμόδιον γίγνεσθαι κεφαλαίοις,
Ἀλλὰ καὶ ὃν παρέδωκε μυρμηκοτεττίγων μῦθον,
Οὐκ ἔστι μῦθος οὐδαμῶς, ἀλλ' ἐπιχείρημά τι,
Ἀπό γε τῆς παραβολῆς τεττίγων καὶ μυρμήκων.
Ἃ δὲ οἱ ἐξηγούμενοι φάσκουσι περὶ τούτου,
Λῆρος τυγχάνει προφανὴς ἀνδρῶν ἀῤῥητορεύτων.
Περὶ τοῦ μύθου ἤκουσας, πῶς δέον τοῦτον γράφειν,
Κἂν ὁ Ἀφθόνιος αὐτὸν παρῆκε καὶ κατ' ἄμφω.

Τῷ δέγε διηγήματι παρέπονται ἓξ ταῦτα·
Πρόσωπον, πρᾶγμα, χρόνος τε, τόπος, τρόπος, αἰτία.
Αἱ ἀρεταὶ δὲ τέσσαρές εἰσι διηγημάτων,
Σαφές, μεγαλοπρέπεια, σύντομον, πιθανόν τε.
Ἑλληνισμὸν οἱ νέοι δὲ φάσκουσι τῶν ῥητόρων.
Οὐχὶ μεγαλοπρέπειαν, κατὰ τοὺς πρὶν ῥητόρων.
Κἂν ἀκριβῶς δεικνύωσιν ὃ λέγω, αἱ ἰδέαι.
Ἑπτὰ γὰρ οὖσαι εἰς αὐτὰ τὰ τέσσαρα ἑνοῦνται.
Σαφήνεια καὶ μέγεθος καὶ κάλλος καὶ γοργότης
Καὶ ἦθος καὶ ἀλήθεια σὺν τούτοις καὶ δεινότης,
Τὰς ἀρετὰς τὰς τέσσαρας τυποῦσι τὰς τοῦ λόγου.
Τὸ μὲν σαφὲς σαφήνεια, τὸ μεγαλοπρεπές δε
Αὐτὸ δηλοῖ τὸ μέγεθος, γοργότης συντομίαν,
Τὸ ἦθος καὶ ἀλήθεια τὸ πιθανὸν δὲ πάλιν.

Ἰδοὺ τὰς λόγου ἀρετὰς τὰς τέσσαρας εἰρήκειν
Γίνεσθαι, ὥσπερ ἔδειξα, δι' ἰδεῶν τῶν πέντε.
Τὸ κάλλος, ἡ ἰδέα δὲ δεινότητι σύναμα
Οὐδὲν ἄλλο σημαίνουσιν ἢ ἀρετὰς τοῦ λόγου,
Σαφές, μεγαλοπρέπειαν, σύντομον, πιθανόν τε,
Ὅτι καὶ κάλλος ἔχειν δεῖ δεινότητά τε λόγου,
Τουτέστι καλλιέπειαν, ῥητορικῇ τῇ φράσει,
Καὶ σὺν αὐτῇ δεινότητα ἤτοι οἰκονομίαν,
Ὡς πάντα λέγειν προσφυῶς, μηδὲν δ' εἰκῇ καὶ μάτην.

---

137. *γε* pro *δὲ* e marg. ed. A.

Ἡ χρεία καὶ ἡ γνώμη δὲ ὀκτὼ τοῖς κεφαλαίοις
Τοῖςδε κατασκευάζονται, ὧν ἄκουε τὰς κλήσεις.
Πρῶτον ἐγκωμιαστικῷ καὶ παραφραστικῷ δέ,
Τῷ τῆς αἰτίας εἶτα δὲ καὶ ἐκ τοῦ ἐναντίου,
Παραβολῇ μετέπειτα καὶ παραδείγματί δε,
Καὶ μαρτυρίᾳ παλαιῶν, βραχεῖ τε ἐπιλόγῳ.
Τὴν μαρτυρίαν παλαιῶν παλαιοτέραν φέρε
Τοῦ γε τὴν χρείαν λέξαντος, εἴτε μὴν καὶ τὴν γνώμην,
Ἢ τοῦδε νεωτέρου μέν, σοῦ δὲ προπαλαιτέρου.
Ἢ μαρτυρίαν παλαιῶν ἂν ἐνεγκεῖν οὐκ ἔχῃς,
Χρῶ τῷ κατὰ παράληψιν σχήματι καλουμένῳ.
Περὶ μὲν χρείας σοι ταυτὶ καὶ περὶ γνώμης εἶπον.
Ἀνασκευῆς, κατασκευῆς, κεφάλαια ὀκτώ τε.
Ἀνασκευῆς διαβολὴ τοῦ λέξαντος προσώπου,
Ἔκθεσίς τε τοῦ πράγματος, ὅπερ ἀνασκευάζεις.
Τὸ ἀσαφές, ἀπίθανον, ἀδύνατον σὺν τούτοις.
Αὐτὸ τὸ ἀνακόλουθον, τὸ ἀπρεπὲς ὡσαύτως,
Καὶ τέλος τὸ ἀσύμφορον. καὶ τῆς κατασκευῆς δὲ
Ἐξ ἐναντίου τὰ αὐτὰ κεφάλαια ὑπάρχει·
Ἔπαινος μὲν τοῦ λέξαντος καὶ ἔκθεσις πραγμάτων,
Σαφὲς ὁμοῦ καὶ πιθανὸν καὶ δυνατὸν σὺν τούτοις,
Ἀκόλουθον καὶ πρέπον τε σύναμα τῷ συμφόρῳ.
Καὶ τί πλατύνω τὰ σαφῆ; καταναλῶ μου χάρτας;
Τὰ καίρια λεκτέον μοι νῦν ἐπιδρόμῳ λόγῳ.
Ἡ βίβλος, ὥσπερ ἔφημεν, τῶν σοφιστορητόρων
Πεντάβιβλος ὑπάρχουσα, εἰς πέντε διαιρεῖται,
Εἴς τε τὰ προγυμνάσματα, τὰς στάσεις, τὰς εὑρέσεις,
Ἰδέας, εἴς τε μέθοδον δεινότητος σὺν ταύταις.
Ἡ τῶν προγυμνασμάτων μὲν βίβλος διδάσκει τάδε,
Ὡς ἔστι προγυμνάσματα τέσσαρά τε καὶ δέκα,
Καὶ ὅπως τούτων ἕκαστον ἐντέχνως γράφειν δέον.
Αἱ στάσεις δὲ διδάσκουσι τρισκαίδεκα τὰς στάσεις,
Τὸν στοχασμὸν τοπρῶτον μέν, τὸν ὅρον δὲ δευτέρως,

---

172. μὴν accessit e cod. A.

Τρίτην δὲ τὴν πραγματικήν, ἀντίληψιν τετάρτως,
Ἀντίστασιν, ἀντέγκλημα, μετάστασιν, συγγνώμην,
Ῥητόν τε καὶ διάνοιαν καὶ τὸν συλλογισμὸν δέ,
Ἀντινομίαν, εἶτα δὲ καὶ τὴν ἀμφιβολίαν.
Τὴν δὲ μετάληψιν αὐταῖς τάττει τρισκαιδεκάτην.
Εἶτα καὶ τὰ κεφάλαια ἑκάστης ἀριθμεῖται.
Ἔχεις καὶ τοῦ τῶν στάσεων βιβλίου τὰς δυνάμεις.
Τὸ δὲ περὶ εὑρέσεων μάνθανε νῦν βιβλίον.
Τέμνεται μὲν εἰς τέσσαρα τμήματα τὸ βιβλίον·
Καὶ περὶ προοιμίων μὲν τὸ πρῶτον ἐκδιδάσκει,
Ὧν προοιμίων τέσσαρα καθέστηκε τὰ εἴδη·
Τὸ ἐκ τῆς ὑπολήψεως προσώπων καὶ πραγμάτων,
Ἐξ ὑποδιαιρέσεως καὶ ἐκ περιουσίας,
Ἀπὸ καιροῦ τὸ τέταρτον. ταῦτα τοῦ πρώτου τόμου.
Ὁ δεύτερος ὁ τόμος δὲ διδάσκει τοῦ βιβλίου,
Μὴ μετὰ τὸ προοίμιον εὐθέως διηγεῖσθαι,
(Ἄτεχνον εἶναι τοῦτο γὰρ καὶ οἴεται καὶ λέγει)
Χρῆσθαι προκαταστάσει δέ, τῇ καὶ προδιηγήσει,
Καὶ τότε πρὸς διήγησίν φησι κεχωρηκέναι.
Τζέτζης δ' ὁ ἀῤῥητόρευτος, ὁ ἀμαθὴς ἐπάρχῳ
Τῷ πανσεβάστῳ Καματηρῶν ἐκ γένους,
„Ῥήτορα ὡς κήρυξεν ἀνακτορίοις ἐνὶ οἴκοις
„Δαιδάλου αἰθερίοιο συνημοσύναισιν ἀρίσταις
„Πετρομαχασκοπάπουτζον, τζαγγάριον, ξυλοσούβλων,
„Βούβαλον, ὀρχίπαπαν, παγχώρικον, ἐμβασίμαλον,
„Ὕρχαν, ἠδέ γε λάρκος ἀμόργινον, ἕρμεον εἶδος,
„Νυκτερίου εἴδωλον δαίμονος ἑσπερόμορφον.
„Οὐρανὸς οὐ στενάχει δὲ καὶ αὐτὴ γαῖα πελώρη;
„Ὄστλιγγες δὲ πυρὸς οὐκ ἔφλεγον αἰθερίοιο;

---

217. Cd. A. ἀρητόρευτος.
218. Desunt tres syllabae, si locus est versus.
219. Pro ὡς potius scribendum ὅς, scil. ἔπαρχος.
223. Aut legendum λάρκον, aut Tzetzae λάρκος est generis neutrius. Lacisius habet *gelarchus*.
226. Vid. Apollon. Rh. I, 1297. — In marg. cd. A. λαμπηδρύες. Voluit scriba λαμπη-

„Οὐ πόντος ῥοίβδησε, καὶ ἔκλυσεν οἴδμασι γαῖαν,
„Βούβαλον εἰσορόων βασιληΐδος ἔνδοθεν αὐλῆς,
„Ἄστεος αἰσχροσύνην πωλεύμενον ἡμετέροιο.
Οὗτος ὁ ἀῤῥητόρευτος ὁ Τζέτζης, τοῦ ὑπάρχου
Τοῦ ῥήτορα κηρύξαντος τὸν βούβαλον τὸν οἷον,
Εἰς τὸ περὶ εὑρέσεων ἐν τόμῳ τῷ δευτέρῳ
Τοῦ Ἑρμογένους λέγοντος οἵσπερ διδάσκει λόγοις,
Μὴ μετὰ τὸ προοίμιον εὐθέως διηγεῖσθαι,
Ἄτεχνον τοῦτο γάρ φησι καὶ τῶν ἀῤῥητορεύτων,
Χρῆσθαι προκαταστάσει δέ, τῇ καὶ προδιηγήσει,
Καὶ τότε πρὸς διήγησιν χωρεῖν, ὥσπερ διδάσκει·
Οὗτος ὁ Τζέτζης ὁ ῥηθεὶς διττῶς ἐναντιοῦται,
Λέγων, ἡ προκατάστασις καὶ προδιήγησίς δε
Οὐ λέγουσιν, ὡς λέγεις νῦν σύ, προπεπραγμένα,
Συνοπτικῶς δὲ λέγουσι τα μέλλοντα λεχθῆναι,
Οἵαν τὴν προκατασκευὴν ἔμπροσθεν μέλλεις λέγειν.
Οὐδ᾽ εἰσαεὶ ἁρμόδιον καὶ τεχνικὸν δὲ λέγει,
Ὡς λέγεις, ὦ Ἑρμόγενες, χρῆσθαι προκαταστάσει.
Ἔστι γὰρ ὅπου τεχνικὸν τὸ χρῆσθαι προοιμίοις,
Ἑνὶ δυσί τε καὶ τρισὶ καὶ τέταρσι πολλάκις·
Ὅπου δὲ πάλιν μηδαμῇ χρήσασθαι προοιμίῳ·
Καὶ ἀλλαχοῦ δὲ τεχνικόν σοι λέγει πεφυκέναι,
Οὐ μόνον τὸ μὴ χρήσασθαι, ᾗ φής, προδιηγήσει,
Ἀλλὰ μηδὲ διήγησιν τὸ σύνολον τιθέναι·
Ὡς ἀλλαχοῦ ἁρμόδιον μὴ χρήσασθαι ἀγῶσιν,
Ἐν ἄλλοις πάλιν τεχνικὸν ἐπίλογον μὴ λέγειν.
Ἀλλ᾽ ἤδη σε συνέχεεν ὁ ἀμαθὴς ἐπάρχῳ,
Ὁ λογιστὴς τῶν παλαιῶν, οὗ δι᾽ ἰάμβων βίβλος,
Τῶν λογισμῶν, γραμματικῶν, ῥητόρων, φιλοσόφων,
Τῶν μετρικῶν, ἱστορικῶν, μηχανικῶν, τῶν ἄλλων.
Ἀλλ᾽ ὥσπερ ἄλλος Ἀχιλλεὺς Τηλέφου τρώσας δίκην

δόνες, quae est explicatio verbi ὄστλιγγες. Vid. Schaefer. ad schol. Apollon. l. c.

230. Margo cd. A. τῷ ὑπάρχῳ. Videtur hic quoque ἐπάρχου scribendum.

Αὐτὸς πάλιν ἰάσεται τὴν σύγχυσιν καθάρας.
Πεντάβιβλος, ὡς ἔφημεν, ἡ βίβλος τῶν ῥητόρων,
Καὶ ἃ προγυμνασμάτων μὲν διδάσκει τὸ βιβλίον,
Καὶ ἅπερ δὲ τὸ στάσεων, προέφθημεν διδάξαι.
Τὸ δὲ περὶ εὑρέσεων τέσσαρας τόμους ἔχει·
Ὧν περὶ προοιμίων μὲν ὁ πρῶτος ἐκδιδάσκει.
Τῶν προοιμίων τέσσαρα τυγχάνει δὲ τὰ εἴδη,
Τὸ ἐκ τῆς ὑπολήψεως προσώπων καὶ πραγμάτων,
Τὸ ἐκ τῆς διαιρέσεως καὶ ἐκ περιουσίας,
Ἀπὸ καιροῦ τὸ τέταρτον. ταῦτα τοῦ πρώτου τόμου,
Καὶ ἔτι τὸ προοίμιον, οὗ μέχρι δεῖ πλατύνειν.
Ὁ δεύτερος ὁ τόμος δὲ διδάσκει τοῦ βιβλίου,
Μὴ μετὰ τὸ προοίμιον εὐθέως διηγεῖσθαι,
Ἄτεχνον εἶναι τοῦτο γὰρ καὶ οἴεται καὶ λέγει·
Χρῆσθαι προκαταστάσει δὲ τῇ καὶ προδιηγήσει,
Καὶ τότε πρὸς διήγησίν φησι κεχωρηκέναι.
Ἅπερ ἡμεῖς ἐλέγχοντες ἐξήλθομεν εἰς πλάτος.
Λέγει καὶ τὴν διήγησιν οἷς χρὴ πλατύνειν τρόποις.
Καὶ τρεῖς δὲ διηγήσεων διδάσκει σοι τοὺς τρόπους,
Ἁπλοῦν καὶ ἐγκατάσκευον σὺν τῷ ἐνδιασκεύῳ,
Καὶ ποῦ ἑκάστῳ τῶν τριῶν ἁρμόδιον κεχρῆσθαι.
Ταῦτά σοι καὶ ὁ δεύτερος τούτου διδάσκει τόμος.
Ὁ τοῦ περὶ εὑρέσεων τούτου δὲ τρίτος τόμος
Εἰσαγωγὰς διδάσκει σοι καὶ λύσεις κεφαλαίων,
Ὅτι τὰ σὰ κεφάλαια δεῖ θετικῶς εἰσάγειν,
Οἷον, καλὸν τὸ πράττεσθαι ὃ θέλεις λέγειν πρᾶγμα.
Κἂν θετικῶς εἰσάγῃς δέ, οὕτως εἰσάγειν δέον.
Πρῶτον ἐπιχειρήματι, εἶτα δὲ ἐργασίᾳ,
Καὶ τρίτως ἐνθυμήματι. συμπέρασμα δὲ τοῦτο.
Ἢ καὶ ἐπενθυμήματι, ποτὲ καὶ τῷ πλαστῷ δε.
Οὕτως εἰσάγειν μὲν τὰ σὰ κεφάλαια διδάσκει.
Πάλιν δὲ τὰ κεφάλαια λύειν τοῦ ἀντιδίκου,
Πρῶτα, τούτοις τοῖς τέτρασιν οἷςπερ σοι καταλέξω,
Προτάσει καὶ ὑποφορᾷ, ἀντιπροτάσει, λύσει.
Μετὰ δ' αὐτὰ τὰ τέσσαρα, θέσει κεχρῆσθαι λέγει,

Ἣν ἄρσιν, οὐχὶ θέσιν δὲ ὁ ἀμαθὴς σοι λέγει·
Οἷον, οὐ χρὴ τόδε ποιεῖν, οὐ γὰρ καλὸν διά τι.
Καὶ τῷ ἐπιχειρήματι, εἶτα τῇ ἐργασίᾳ,
Εἶτα τῷ ἐνθυμήματι, ὃ συμπεραίνει ταῦτα.
Καί γε ἐπενθυμήματι εἰ θέλεις καὶ πλαστῷ δε,
Ὁ τρίτος τῶν εὑρέσεων οὕτω διδάσκει τόμος.
Ὁ τοῦ περὶ εὑρεσέων τέταρτος πάλιν τόμος,
Σχήματα δεκατέσσαρα διδάσκει τῶν ἀγώνων,
Ὃ καθ' ὑπόθεσιν αὐτὸς ὁ Τζέτζης εἶναι λέγει,
Ἀντίθετον ψευδόμενος ἐκεῖνος ὀνομάζων.
Εἰς τὸ περὶ μεθόδου γὰρ δεινότητος δεικνύει,
Ἄλλο λαλῶν ἀντίθετον, ὡς ἐνθαδὶ ψευστάζει.
Καὶ Τζέτζης οἷος πέφυκε, δεικνύει τοῖς φρονοῦσι.
Ἀλλὰ τὰ δεκατέσσαρα σχήματα τούτου μάθε.
Ἀντίθετον, περίοδος, πνεῦμα καὶ ἡ ἀκμή δε,
Τάσις τε, τὸ διλήμματον, παρήχησις καὶ κύκλος,
Τὸ ἐπιφώνημα, τροπὴ καὶ λέξεως σεμνότης,
Εἶτα καὶ τὸ κακόζηλον καὶ ἐσχηματισμένον,
Καὶ προβλημάτων σύγκρισιν εἰσφέρει τελευταίαν.
Ἔχεις καὶ τῶν εὑρέσεων τοὺς τέσσαρας τοὺς τόμους.
Τῶν ἰδεῶν ἡ βίβλος δὲ εἰς δύο διαιρεῖται.
Ἑπτὰ ἰδέας λόγου δὲ ταύτῃ σοι πρῶτον λέγει,
Σαφήνειαν καὶ μέγεθος, κάλλος, γοργότητά τε,
Καὶ ἦθος καὶ ἀλήθειαν, δεινότητα σὺν ταύταις,
Ὥνπερ τὰς τρεῖς μὲν γενικὰς διδάσκει πεφυκέναι,
Σαφήνειαν καὶ μέγεθος καὶ σὺν αὐταῖς τὸ ἦθος,
Ἐξ ἰδεῶν ἑτέρων σοι λέγων συνεστηκέναι·
Τὰς δὲ λοιπὰς τὰς τέσσαρας καθ' ἑαυτὰς ὑπάρχειν,
Τὸ κάλλος, τὴν γοργότητα καὶ τὴν ἀλήθειάν δε,
Καὶ τὴν δεινότητα αὐτήν, ἣν καὶ τρίτην σοι λέγει.
Οὕτως αὐτὰς τοπρότερον ἑπτὰ τυγχάνειν λέγει,
Εἶθ' ὥσπερ ἐκλαθόμενος ἑπτὰ εἰπεῖν ἐκείνας,

---

305. οἷον cd. A. in margine.

Ἐξ ταύτας παραδίδωσι τοιουτοτρόπῳ·
Ποιητικὰς γὰρ λέγει σοι ἰδέας σαφηνείας,
Αὐτὴν τὴν καθαρότητα, μετὰ τῆς εὐκρινείας.
Ἐξ πάλιν τοῦ μεγέθους δέ, ὧνπερ αἱ κλήσεις αἵδε·
Σεμνότης καὶ περιβολή, τραχύτης καὶ λαμπρότης,
Πέμπτη σὺν ταύταις ἡ ἀκμὴ καὶ ἕκτη δὲ σφοδρότης.
Ποιητικὰς τοῦ ἤθους δὲ τέσσαρας, ὧν αἱ κλήσεις,
Ἐπιεικές, ἀφέλεια, ἀλήθεια, βαρύτης.
Ὧν ἡ βαρύτης καθ' αὐτὴν οὐ δύναται συστῆναι.
Ἐκ τῆς ἐπιεικείας δὲ αὐτῆς καὶ ἀφελείας
Βλέπης νῦν τὴν ἀλήθειαν, πῶς ἐν τῷ ἤθει τάττει,
Καὶ ἃς ἑπτὰ πρὶν ἔλεξε, πῶς ἓξ νῦν εἰσὶ μόναι.
Εἶτα καὶ μόρια ὀκτὼ τῶν ἰδεῶν ἑκάστης,
Τῶν εἰδικῶν, οὐ γενικῶν, ταῦτά φησιν ἃ μάθε.
Ἔννοιαν, λέξιν, μέθοδον, σχήματά τε καὶ κῶλα,
Συνθήκην καὶ ἀνάπαυσιν καὶ τὸν ῥυθμὸν σὺν τούτοις.
Καὶ ἐν τῷ πρώτῳ τόμῳ μὲν τῶν ἰδεῶν διδάσκει,
Ἐκ τῶν ἑπτάεξ ἰδεῶν, περὶ τριῶν καὶ μόνων,
Περὶ τῆς σαφηνείας τε, μεγέθους καὶ τοῦ κάλλους.
Ἐν τῷ δευτέρῳ τόμῳ δὲ τὰς τεσσαρότρεις λέγει,
Γοργόν, ἦθος, ἀλήθειαν, δεινότητα σὺν ταύταις.
Οὗ ἤθους σοὶ ἐδίδαξε τέσσαρας τὰς ἰδέας.
Μίαν δὲ τὴν ἀλήθειαν εἶπεν ἐκ τούτων εἶναι.
Ἐν τῷ δευτέρῳ τόμῳ μὲν διδάσκει περὶ τούτων,
Καὶ ποῖον τὸν δικανικὸν χρὴ λόγον πεφυκέναι,
Ποῖον τὸν πανηγυρικόν, ποῖον τῆς συμβουλῆς τε.
Καὶ χαρακτῆρας εἶτα δὲ σοφῶν διδάσκει λόγων,
Καὶ συμπεραίνει τολοιπὸν τῶν ἰδεῶν τὴν βίβλον.
Ἐν τῷ περὶ μεθόδου δὲ δεινότητος βιβλίῳ,
Μηδὲν μεθόδου ἄξιον δεινότητος συγγράψας,
Πέντε δὲ καὶ τριάκοντα τρόπους διδάξας μόνους,
Καὶ τούτων ἄλλους ἀσαφῶς, ὥσπερ ὁ πρῶτος ἔχει,

---

325. Versus corruptus, cui sanando remedium e cd. A. non est allatum. An τοιουτοτρόπους οὔσας?

Ἄλλους ψευδῶς, ἀτέχνως δέ, οὓς ἤλεγξεν ὁ Τζέτζης,
Ὡς ἄλλους πάλιν ἀλλαχοῦ ῥήτορας, φιλοσόφους,
Καὶ πᾶσαν τέχνην λογικὴν ἁπλῶς μετερχομένους.
Ὧν βίβλος ὅλη γέγραπται τῶν λογισμῶν τῷ Τζέτζῃ,
Ὃς ἀμαθὴς κηρύττεται τῷ σεβαστῷ ἐπάρχῳ.
Τίς δὲ παπᾶς ὡς ἀληθῶς πάνσοφος τῶν πανσόφων,
Ταῦτα διδάξας, ἔληξεν ὁ Ἑρμογένης γράφων,
Καὶ συμπεραίνει δὲ τὴν τέχνην τῶν ῥητόρων,
Ἐν τῷ περὶ μεθόδου σοι δεινότητος βιβλίῳ.

ΠΕΡΙ ΙΛΙΣΣΟΥ ΠΟΤΑΜΟΥ ΑΤΤΙΚΟΥ ΚΑΙ ΜΕΛΙΤΟΣ ΥΜΗΤΤΙΟΥ. τό.

(ἐγράφη δέ.)

Ὁ Ἰλισσὸς προέφημεν ὡς ποταμὸς ὑπάρχει,
Ῥέων ἐν τῇ τῶν Ἀθηνῶν. ὁ Ὑμηττὸς δὲ ὄρος,
Ἐν ᾧ μέλι τὸ κάλλιστον ἁπάντων τῶν μελίτων.
Γνώρισμα δὲ τοῦ μέλιτος τούτου τοῦ Ὑμηττίου,
Τὸ μὴ ἐφάπτεσθαι αὐτοῦ, μηδ' ἐνιζάνειν μυίας.
Αἴτιον τούτου νόει δὲ τὸν θύμον πεφυκέναι.
Ὁ Ὑμηττὸς βοτάνας γὰρ ἐκφύει, θύμους κλῆσιν,
Ἐξ ὧν τὸ μέλι γίνεται μελίσσαις ταῖς ἐκεῖσε,
Ὅπερ αἱ μυῖαι φεύγουσι, τῷ δριμυγμῷ τοῦ θύμου.

ΠΕΡΙ ΤΩΝ ΔΩΡΕΩΝ, ΑΣ ΑΝΤΩΝΙΟΣ ΤΗι ΚΛΕΟΠΑΤΡΑι ΧΑΡΙΖΕΤΑΙ. τοά.

Ἔχεις καλλίστως ἅπασαν ταύτην τὴν ἱστορίαν,
Διακοστὴν πεντηκοστὴν καὶ τρίτην μοι γραφεῖσαν.

---

363. Margo cd. A. γράφειν. Vers. proximo desunt duae syllabae post δέ. Etiam alia sub finem huius historiae non sunt omni ex parte sana.

ΠΕΡΙ ΤΟΥ, ΑΡΗΙ ΘΟΩι ΚΑΙ ΑΘΗΝΗι ΚΑΙ ΕΜΟΙ ΜΕΛΗΣΕΙ ΚΑΙ ΛΕΥΚΑΙΣ ΚΟΡΑΙΣ.

τοβʹ.

Δύο αἱ ἱστορίαι μέν, ἐγράφησαν δ' ὡς μία,
Καὶ ἄλλαι πάλιν ἀλλαχοῦ. λεκτέον δέ μοι ταύτας.
Ἐν Ἰλιάδι φέρεται Ὁμήρῳ Ἀφροδίτη
Ἐκ Διομήδους τῇ χειρὶ δόρατι τετρωμένη,
Καὶ τῷ Διῒ δὲ λέγουσα τὴν ἐν τῇ μάχῃ τρῶσιν.
Ὁ Ζεὺς αὐτῇ, ἀπέχου δέ, φησίν, ἐκ τῶν τῆς μάχης,
„Ταῦτα δ' Ἄρηϊ θοῷ καὶ Ἀθήνῃ πάντα μελήσει.
Ἔχεις τὴν μίαν ἐνθαδὶ λήξασαν ἱστορίαν.
Ἄκουε καὶ τὴν ἄλλην δὲ νῦν λέγοντί σοι ταύτην.
Γαλάται οἱ ἑσπέριοι, οὔπω δὲ καὶ ἑῷοι,
Τοῦ Βρέννου βασιλεύοντος τούτων τοῖς τότε χρόνοις,
Ἀνασκιρτήσασαι πολλαὶ τοῦ Ῥήνου μυριάδες,
Λεηλατοῦντες ἔδραμον πᾶσαν σχεδὸν Ἑλλάδα.
Ὡς δ' ἤδη παρενέβαλλον καὶ περὶ γῆν Δελφίδα,
Τὸ ἱερὸν Ἀπόλλωνος ἐθέλοντες συλῆσαι,
Μαντευομένοις τοῖς Δελφοῖς ἐκ φόβου περὶ τούτων
Χρησμὸς ἐκπίπτει μαντικὸς ἐν ἰαμβείῳ μέτρῳ.
„Ἐμοὶ μελήσει ταῦτα καὶ λευκαῖς κόραις.“
Τὴν Ἀθηνᾶν καὶ Ἄρτεμιν λευκὰς δ' εἰρήκει κόρας.
Λοιπὸν ἐκ τόπων δεξιῶν καὶ τόπων δυσεισβόλων
Ὁ ἱερὸς μόνος λαὸς σύμπασιν ἀντιστάντες,
Πολλοὺς κτανόντες ἀπ' αὐτῶν, πολλοὺς καὶ τραυματίαις
Δεινῶς κατετραυμάτισαν καὶ Βρέννον δὲ σὺν τούτοις.
Τραυματιῶν δὲ ἀριθμὸς τὸ ἀκριβὲς οὐκ οἶδα
Ἢ τεσσαράκοντα ποσῷ ὑπῆρχε μυριάδων,
Εἴτ' οὖν γε τεσσαράκοντα ὁμοίως χιλιάδων.
Οὓς κατακόψαι σύμπαντας ὁ Βρέννος εἰπὼν τότε
Καὶ σὺν τοῖς ἄλλοις καὶ αὐτὸν μὴ ἐμποδίζειν τούτοις,

HIST. 372.

383. Iliad. V, 430.

386. De expeditione Gallorum in Graeciam Brenno duce vid. Paus. I, 4. VII, 6. X, 16 — 23.

Ἄλλους ψευδῶς, ἀτέ
Ὡς ἄλλους πάλιν ἀ
Καὶ πᾶσαν τέχνην λ
Ὧν βίβλος ὅλη γέγ
Ὅς ἀμαθὴς κηρύττε
Τίς δὲ παπᾶς ὡς ἀ
Ταῦτα διδάξας, ἐλ
Καὶ συμπεραίνει δὲ
Ἐν τῷ περὶ μεθόδ

ΠΕΡΙ ΙΛΙΣΣΟ
ΜΕΛΙ

Ὁ Ἰλισσὸς προέ
Ῥέων ἐν τῇ τῶν
Ἐν ᾧ μέλι τὸ
Γνώρισμα δὲ τ
Τὸ μὴ ἐφάπτ
Αἴτιον τούτο
Ὁ Ὑμηττὸς
Ἐξ ὧν τὸ μ
Ὅπερ αἱ μι

ΠΕΡΙ Τ
Κ

Ἔχεις κι
Διακοσι

---

363. Mai
Vers. proxi
labae post

ἐστιν, εἴτε καὶ γῆς ὁποίας.
τηρ δὲ τὴν ἑαυτοῦ μητέρα
λκε τὸν Εὔμαιον ἱκέσθαι,
δυσσεὺς αὐτὸν τῷ Τηλεμάχῳ,
λθὼν ἐκδύεται τὰ ῥάκη,
εται τὸ τούτῳ πεπλασμένον.
θηνᾶς καὶ νέωσις ἐκείνου.
Τηλέμαχος ἐκεῖνον ἠλλαγμένον
ἀπέστρεψε πρῶτον ἐκπεπληγμένος,
θέστηκεν, ἤγουν σοφὸς καὶ μάγος.
ανῶς ὡς πρὸς ἐκεῖνον λέγων,
εῖνε, φάνῃς νέον ἠὲ πάροιθεν.
γέροντι, πένητι, ῥακενδύτῃ,
οἳ Ὄλυμπον οἰκοῦσιν, ἤγουν ἄστροις.
καθέστηκας, ἤγουν σοφὸς καὶ μάγος;
ρὸς ταῦτα δέ φησι τῷ Τηλεμάχῳ.
εός εἰμι, τί μ' ἀθανάτοισιν ἐΐσκεις;

Υ, ΟΥΔΕ ΔΩΔΕΚΑΚΡΟΥΝΟΝ ΕΧΟ- ΓΟΜΑ, ΚΑΘΑ ΦΗΣΙΝ Ο ΚΡΑΤΙΝΟΣ. τοδ'.

ρουνος πηγὴ Ἀθήναις Καλλιῤῥόη,
ι Κρατῖνος δὲ περὶ αὐτοῦ που λέγει·
πολλον τῶν ἐπῶν τῶν ῥευμάτων·
οι πηγαί· δωδεκάκρουνον στόμα·
; ἐν φάρυγγι· τί ἂν εἴποιμι;

Ι ΛΟΓΙΚΩΝ ΟΣΤΡΕΩΝ ΚΑΙ ΜΑΡΓΑΡΩΝ. τοέ.

ῃ θαλάσσῃ τῇ Ἰνδῶν, ἐν νήσῳ Περιμούδῃ,
νήσῳ τῇ Ἐλύρᾳ δέ, καὶ τισιν ἄλλαις νήσοις,

HIST. 374.
Vid. ad Chil. VIII. hist.

HIST. 375.
457. An περιμούλῃ?

Ἐν ἀβαθεῖ θαλάσσῃ δέ, καίγε καθαρωτάτῃ,
Ὄστρεα λόγος φύεσθαι, ἃ κύει τοὺς μαργάρους.
Διττοὺς δὲ λόγους λέγουσι τῆς μαργαρογονίας.
Οὓς μὲν γὰρ τούτων λέγουσιν ἐξ ἀστραπῆς γεννᾶσθαι,
Οὓς δέ μοι πάλιν λέγουσιν εἶναι χειροποιήτους.

Καὶ πρῶτόν μοι κατάκουε τοὺς ἀστραπῆς μαργάρους.
Φασί τινες, τὰ ὄστρεα ταῦτα τὰ τῶν μαργάρων,
Τὰς πτύχας ἀναπτύξαντα, μένειν ἠνεῳγμένα.
Τῆς ἀστραπῆς σκηψάσης δὲ μέσῳ πτυχῶν ἐκείνων,
(Εἶναι γὰρ ἔφην ἀβαθῆ τὴν θάλασσαν ἐκείνην)
Εὐθὺς σφαιροῦσθαι κατ᾽ αὐτὰ τὰ ὄστρεα μαργάρους.
Εἶναι ὀστρέων τούτων δέ φασι καὶ βασιλέα,
Ὅσπερ καὶ μείζω μάργαρον καὶ κάλλιστον ἐκφύει.
Καὶ καθεξῆς δὲ οἱ λοιποί. ταῦτά μοι περὶ τούτων.
Τοὺς τυπωτοὺς δὲ μάνθανε νῦν καὶ χειροποιήτους.
Τὶ σιδηροῦν τυπάριον εἰς σφαίρωσιν μαργάρων
Κρατῶν καὶ ὀβελίσκον δέ, ὅστις θηρᾷ μαργάρους,
Εἰσέρχεται καὶ τίθησιν ἔγγιστα τοῦ ὀστρέου
Τὸ σιδηροῦν τυπάριον, τῷ δ᾽ ὀβελίσκῳ νύττει
Τὸ ὄστρεον, ἐκρέει δέ τι ὡς ἰχὼρ ἐκ τούτου.
Ὅπερ χεθὲν καὶ τυπωθὲν μαργάρου πῆξιν φέρει.
Ταῦτα περὶ μαργάρων μέν φασιν οἱ γεγραφότες.
Ἐγὼ δὲ τὸ φυσίκευμα τῆς ἀστραπῆς οὐ στέγω,
Ἔγγιστα μύθων δὲ δοκῶ τοὺς ἐξ ἰχώρων πάλιν.
Λέγω δ᾽ ἐκεῖ τὴν θάλασσαν εἶναι καθαρωτάτην
Καὶ τὰς ἐκεῖσε λάϊγγας ποιεῖν ἀργυροχρόους.
Καὶ λέπη τῶν ὀστρέων δὲ τούτων τῶν μαργαρίδων
Τυγχάνειν ἀργυρόχροα, καὶ χρόας τῆς μαργάρων.
Ὅσαι δὲ λάϊγγες ἐντὸς πέσωσι τῶν ὀστρέων,
Γίνονται διαυγέστεροι τῷ λείῳ τῶν ὀστράκων,
Καὶ στίλψιν δὲ λαμβάνουσι, καὶ μάργαροι καλοῦνται.
Ἁπάντων τῶν μαργάρων δὲ κρείττους οἱ ἐξ Ἰνδίας,

---

459. Cd. A. in textu *ὀστρεους*, vitio scribae; in margine *ὄστρεα.*

Ὑπέρλευκοι καὶ στίλβοντες καὶ τῶν εὐσφαίρων ὄντες.
Ἐν Βρεττανοῖς δὲ γίνονται καὶ χώραις ταῖς ἑτέραις
Πῇ μὲν ὠχροί, πῇ δὲ κιῤῥοὶ καὶ πῇ τῶν κακοσφαίρων.
Καὶ τεχνικοὺς ἐπίσταμαι μαργάρους ἐκ μαργάρων.
Μικροὺς μαργάρους θραύοντες καὶ λύοντες ἐν τέχνῃ
Ἄλλους σφαιροῦσι μείζονας. ταῦτα περὶ μαργάρων.
Ὄστρεα νῦν δὲ λογικὰ τὰς βίβλους ὀνομάζω.
Μαργάρους πάντως ἐξ αὐτῶν, δοκῶ, νοεῖς τοὺς λόγους.

ΠΑΡΟΙΜΙΑ Η ΛΕΓΟΥΣΑ, ΚΑΙ ΛΙΘΟΝ ΟΙΟΝ ΠΕΤΡΑΙ ΡΑΓΑΔΕΣ ΑΝΑΥΡΩΝ ΚΑΙ ΦΛΕΒΕΣ ΤΟΥΤΩΝ ΩΔΙΝΕΙΝ ΕΠΙΣΤΑΝΤΑΙ. τοϛʹ.

Εὐφράτης καὶ ὁ Τίγρις καὶ ὁ Ἰνδὸς καὶ ὁ Σοῦσος,
Οἱ μὲν Χαλδαίων ποταμοί, οἱ δέ γε τῆς Ἰνδίας,
Ἄλλοι τινές τε ποταμοὶ χωρῶν τῶν διαφόρων,
Καὶ μᾶλλον δὲ οἱ ἄναυροι καὶ ῥέοντες χειμῶνι,
Ἐν ταῖς ῥάγασι τῶν πετρῶν τῶν παρ' αὐτοῖς κειμένων,
Γεννῶσι λίθους διαυγεῖς, λίθους τῶν πολυτίμων,
Λυχνίτας, ἀμεθύσους τε, σαπφείρους, ὑακίνθους,
Καὶ πᾶσαν ἄλλην φύσιν δὲ λίθων τῶν πολυτίμων.
Οὕτως ἐν πέτραις φύονται τῶν ποταμῶν οἱ λίθοι.
Ἄλλοι δὲ λίθοι φάραγγι γίνονται βαθυτάτῃ,
Εἰς βάθος βαθυτάτῃ μέν, ἀλλὰ καὶ τῶν ἀβάτων.
Κεῖνται δ' ἐν ταύτῃ περιττοὶ τῶν πολυτίμων λίθων.
Ἐπεὶ δ' ἀδύνατόν ἐστιν ἐκεῖσε καταβῆναι,
Νεοσφαγῆ, νεόδαρτα καὶ ζῶντα σχεδὸν κρέα
Ἐκεῖσε καταῤῥίπτουσιν εἰς φάραγγα τῶν λίθων.
Θερμοῖς δ' οὖσι τοῖς κρέασι κολλῶνταί τινες λίθοι.
Οἱ δ' ἐν τοῖς τόποις ἀετοί, τὰ κρέα κατιδόντες,
Αὐτοῖς ἐπιπετάσαντες, ἀνάγουσιν ἐκεῖνα.
Οἱ λίθοι καταπίπτουσιν λοιπὸν ἐκ τῶν κρεάτων,
Ἐν κορυφαῖς ταῖς τῶν πετρῶν καὶ τόποις τοῖς ἐκεῖσε.
Οἱ λιθοθῆραι δὲ λοιπὸν τοὺς ἀετοὺς ὁρῶντες
Ἄγραν καλλίστην φέρουσιν, ἐκεῖσε συνδραμόντες.

ΠΕΡΙ ΤΗΣ ΕΓΚΥΚΛΙΟΥ ΠΑΙΔΕΙΑΣ. τοζ'.

Ἐγκύκλια μαθήματα, τὰ λυρικὰ κυρίως,
Κυρίως τε καὶ πρώτιστα ταύτην τὴν κλῆσιν σχόντα,
Ἀπὸ τοῦ κύκλῳ τὸν χορὸν τὸν λυρικὸν ἑστῶτα,
Ἀνδρῶν ὄντα πεντήκοντα, λέγειν τὰς μελῳδίας.
Ἐγκύκλια μαθήματα, τὰ λυρικὰ κυρίως.
Δευτέρως δὲ ἐγκύκλια μαθήματα καλοῦνται
Ὁ κύκλος, τὸ συμπέρασμα πάντων τῶν μαθημάτων,
Γραμματικῆς, ῥητορικῆς, αὐτῆς φιλοσοφίας,
Καὶ τῶν τεσσάρων δὲ τεχνῶν τῶν ὑπ' αὐτὴν κειμένων,
Τῆς ἀριθμούσης, μουσικῆς καὶ τῆς γεωμετρίας,
Καὶ τῆς οὐρανοβάμονος αὐτῆς ἀστρονομίας.
Ἐγκύκλια μαθήματα δευτέρως ταῦτα πάντα,
Ὡς ἔγραψε Πορφύριος ἐν βίοις φιλοσόφων,
Καὶ ἕτεροι μυρίοι δὲ τῶν ἐλλογίμων ἄνδρες.
Νῦν δέ γε τὴν γραμματικὴν ἐγκύκλιον παιδείαν
Εἶπον, κατὰ κατάχρησιν, οὐ λόγῳ δὲ κυρίῳ.

ΠΑΡΟΙΜΙΑ, Η ΛΕΓΟΥΣΑ, ΚΑΙ ΓΑΡ ΕΙ ΚΟΛΟΚΥΝΤΑΙΣ ΚΑΤΑ ΤΟΝ ΚΩΜΙΚΟΝ ΕΛΗΜΩΝ. τοη'.

Τὴν παροιμίαν λέγουσι, λημᾷς ἐν κολοκύνταις,
Οἷς καὶ τὰ πάνυ φανερὰ ἐστιν ἠγνοημένα.
Ἀπὸ τῶν τυφλωττόντων δὲ ταῖς λήμαις ταῖς μεγίσταις
Ἡ παροιμία εἴρηται, κατὰ ὑπερβολὴν δέ.
Ποῦ γάρ τις λήμη πέφυκεν ἴση ταῖς κολοκύνταις;
Ἀριστοφάνης μέμνηται ταύτης ἐν ταῖς νεφέλαις·
Φέρει πρὸς Στρεψιάδη γὰρ λέγοντα τὸν Σωκράτη,
Ὁρᾷς ἐν εἴδει γυναικῶν χωρούσας τὰς νεφέλας.
Ὁ δὲ τὰ πρῶτα μὴ ὁρᾶν φησὶ πρὸς τὸν Σωκράτην.
Εἶτά φησιν, ὡς μόλις μέν, ὅμως ὁρᾷ ἐκείνας.

HIST. 377.
532. An voluit Tzetzes Φιλόστρατος?

HIST. 378.
536. Aristoph. Nub. 327.

Εἶτα δὲ καὶ ἐγγύτερον ἐκείνων φαινομένων
Πάλιν Σωκράτης πρὸς αὐτόν φησι τὸν Στρεψιάδην,
Εἰ κολοκύνταις μὴ λημᾷς, ἤδη μοι ταύτας βλέπεις.

ΠΑΡΟΙΜΙΑ, Η ΛΕΓΟΥΣΑ, ΣΧΕΔΟΥΡΓΙΚΩΝ ΛΑΒΥΡΙΝΘΩΝ ΠΛΟΚΑΙ. τοθ'.

Ὁ Ἀθηναῖος Δαίδαλος τῷ Μίνωϊ ἐν Κρήτῃ
Φρούριον πολυέλικτον, κοχλοειδὲς τὴν θέσιν,
Δυσέκβατον εἰργάσατο, Λαβύρινθον τῇ κλήσει.
Εἰς ὃν ἦν ὁ Μινώταυρος, βοάνθρωπον θηρίον.
Πολλοὶ δὲ ἐγκλειόμενοι ἐκεῖσε ἀνῃροῦντο
Ὑπὸ τοῦ Μινωταύρου μέν, ὥσπερ τισὶν ἀρέσκει,
Καὶ Εὐριπίδῃ δὲ αὐτῷ ἐν δράματι Θησεῖ.
Κατά τινας ἑτέρους δὲ καμπαῖς δυσεξελεύτοις.
Ὡς δ' ὁ Θησεὺς σὺν ἥλιξιν ἓξ νεανίαις ἄλλοις
Καὶ σὺν παρθένοις δὲ ἑπτὰ πρὸς Κρήτην ἀπεστάλη
(Διὰ λιμὸν γὰρ καὶ λοιμὸν γενόμενον Ἀθήναις,
Ἀνθ' οὗπερ τὸν Ἀνδρόγεων τὸν στρατηγὸν τοῦ Μίνω
Οἱ Ἀθηναῖοι ἔκτειναν ἐν τοῖς ἐκεῖσε τόποις,
Κατ' ἔτος ἀπεστέλλοντο ἐξ Ἀθηνῶν εἰς Κρήτην
Ἑπτὰ παρθένοι καὶ ἑπτὰ σὺν ταύταις νεανίαι,
Ὅπως βρωθῶσι τῷ θηρὶ καὶ τὸ δεινὸν παυθείη)
Ὡς οὖν ἐστάλη καὶ Θησεὺς σὺν νέοις καὶ παρθένοις,
Ἡ Ἀριάδνη, Μίνωος θυγάτηρ ὑπηργμένη,
Θησέως σχοῦσα ἔρωτα δίδωσι μίτον τούτῳ.
Ὃν μίτον δήσας ὁ Θησεὺς ἀρχῇ δεσμωτηρίου,
Τὸ δ' ἄλλο μέρος ταῖς χερσὶ κατέχων ταῖς οἰκείαις,
Ἐλθὼν εἰς τὸν Λαβύρινθον, Μινώταυρον μὲν κτείνει,
Τὰς συστροφὰς δ' ἐξέδραμε τῷ μίτῳ σὺν τοῖς νέοις.
Τοιοῦτος ὁ Λαβύρινθος ἦν ὁ ἐπὶ τὴν Κρήτην,
Φρούριον πολυέλικτον, κοχλοειδὲς τὴν θέσιν.

HIST. 379.
555. Euripidis Theseum memorat Pollux, lib. III. 80. Cf. Schol. Aristoph. Ran. 476. Vesp. 312. Atheu. p. 454.
569. Erat *οἰκίαις*.

Ἐγὼ δὲ τροπικώτερον δεινότητι ῥητόρων
Τὰ σχεδουργῶν νοήματα νῦν λαβυρίνθους ἔφην.

ΠΕΡΙ ΛΟΓΙΚΩΝ ΙΥΓΓΩΝ. τπ'.

Ἴϋγξ, ἡ ὄρνις ἡ κιγκλίς, ἣ σείει τὸ οὐραῖον,
Ἥνπερ καὶ σεισοπύγιον καλοῦμεν φερωνύμως,
Ἔστιν ἐρῶσι συνεργόν. πολλὰ γὰρ χρησιμεύει.
Καὶ γὰρ ἰδίως τὸ πτερὸν τὸ πέρὶ τὸ οὐραῖον
Λυσιτελεῖ τὰ μέγιστα, ἰδίως δὲ ὀστέον,
Ὃ περὶ στέρνον ἔγκειται, λαμβδοειδὲς τὴν θέσιν,
Τῶν περὶ πτέρνας ὅμοιον μύωπι τῶν ἱππέων.
Ὁ τράχηλος τοῦ ζώου δὲ λυσιτελεῖ πρὸς ἄλλα,
Καὶ ὅλον ὁλοκλήρως δὲ πρὸς ἔρωτας τὸ ζῶον,
Ἐκτεταμένον τοῖς πτεροῖς ἐπί τινος τροχίσκου
Καὶ συμπεριστρεφόμενον εἰς ὄνομα ἐρῶντες.
Τοῦτο κυρίως γίνωσκε τὴν ἴϋγγα ὑπάρχειν.
Ἄλλοι τὸ βέλος λέγουσι, καθώσπερ ὁ Λυκόφρων.
Οἱ δὲ κινύραν ἐμμελῆ, ἄλλοι δὲ πᾶν τὸ θέλγον.
Ὅθεν δὲ πάντα λέγουσιν, ὡς Τζέτζης σοι διδάσκει,
Ἐκ τοῦ ὀρνέου λέγουσι τῆς ἴϋγγος, οὗ ἔφην.
Θέλγει γὰρ ὡς πρὸς ἔρωτας καὶ ἀκαμπεῖς καρδίας.

ΠΕΡΙ ΓΕΩΜΕΤΡΙΑΣ ΚΑΙ ΟΠΤΙΚΗΣ. τπά.

Γεωμετρία χρήσιμος πολλαῖς μηχανουργίαις,
Πρός τε ἑλκύσεις τῶν βαρῶν, ἀναγωγάς, ἀφέσεις
Πετροπομποὺς καὶ μηχανὰς ἄλλας πορθητηρίους,
Καὶ πρὸς ἐκπυρακτώσεις δὲ τὰς ἀπὸ τῶν κατόπτρων
Καὶ σωστικὰς δὲ πόλεων ἄλλας μηχανουργίας.
Λυσιτελὴς γεφύραις τε καὶ λιμενοποιΐαις,
Καὶ μηχαναῖς, αἳ θαυμασμὸν ποιοῦσιν ἐν τῷ βίῳ,
Ὡς τὰ χαλκᾶ καὶ ξύλινα καὶ σιδηρᾶ καὶ τἄλλα

HIST. 380. 577. Conf. Schol. Theocrit. II, 17. 588. Lycophr. 309.

Πίνειν, κινεῖσθαι, φθέγγεσθαι, καὶ ἕτερα τοιαῦτα,'
Καὶ τὸ μετρεῖν δὲ μηχαναῖς σταδίους τῆς θαλάσσης,
Καὶ γῆν τοῖς ὁδομέτροις δὲ καὶ ἕτερα μυρία
Γεωμετρίας πέφυκεν ἔργα, πανσόφου τέχνης.

Πέντε δυνάμεις δὲ αὐτῆς, αἷς γίνονται τὰ πάντα.
Ὁ σφὴν καὶ τὰ πολύσπαστα, μοχλὸς καὶ ὁ κοχλίας
Καὶ σὺν αὐτοῖς ὁ ἄξων δὲ μετὰ περιτροχίου.
Βαρυολκοὺς χελώνας με τί δέον διαγράφειν;
Χελώνας ὀρυκτρίδας τε καὶ τὰς ὁπλοχελώνας
Καὶ τὰς ἀμπέλους ἐλαφράς, χελώνας καλουμένας,
Καὶ πᾶσαν ἄλλην μηχανὴν ἐκ τῶν πορθητηρίων,
Τὰς ἀναγούσας βάρη τε, ῥώστακας μονοκώλους,
Δικώλους καὶ τρικώλους τε, καί γε τοὺς τετρακώλους,
Ἀφετικάς τε μηχανάς, οἷον τὰς πετροβόλους,
Καὶ καταπέλτας τῶν βελῶν πάντας, καὶ γαστραφέτας,
Καὶ τοὺς πορθοῦντας δὲ κριοὺς τῶν πόλεων τὰ τείχη,
Κλίμακας καὶ καρχήσια καὶ πύργους ὑποτρόχους,
Καὶ πᾶσαν ἄλλην μηχανὴν τί δέον παρεγγράφειν;
Πῶς τε θαλάσσῃ γεφυροῦν καὶ ποταμοῖς πῶς δέον,
Καὶ πῶς δὲ τὰ κιβώτια, καὶ ποδαπὰ τῇ θέσει,
Χρεὼν κατασκευάζεσθαι τὰ τῆς λιμενουργίας,
Καὶ τὰς ἀνακαθάρσεις δὲ καὶ κλεῖθρα τῶν λιμένων·
Ὧν πάντων τούτων καὶ λοιπῶν μήτηρ γεωμετρία.

Καὶ ὀπτικὴ δὲ συντελεῖ σὺν τῇ γεωμετρίᾳ
Πολλαῖς μὲν ἄλλαις μηχαναῖς καὶ τέχνῃ τῇ ζωγράφων
Καὶ ἀγαλμάτων τέχναις δὲ καὶ ἀνδριαντουργίαις.
Δεῖ γὰρ καὶ ὕψη συνορᾶν καὶ μήκη καὶ τὰ βάρη,
Ἵνα καὶ ὄργανα ποιῇ ἁρμόδια τῷ ὕψει,
Τῷ μήκει καὶ τῷ βάρει τε ἀνάλογα ὁμοίως,
Καὶ τὰς μορφὰς δὲ τῶν γραπτῶν καὶ τῶν πλαστῶν ὡσαύτως.
Ἄλλων ὀργάνων δεῖται γὰρ τὸ σύμμετρον τὸ ὕψος,
Ὡσαύτως καὶ τὸ μῆκος δὲ καὶ σύμμετρόν τι βάρος,'
Ἄλλων δὲ τὰ μακρότερα, ἑτέρων τὰ βραχέα,
Ὁμοίως ζωγραφίαις δὲ καὶ ἀνδριαντουργίαις.

Ὅσα μὲν ἔγγιστα τῆς γῆς μέλλουσι στάσιν ἔχειν,
Συμμέτρους ἔχειν τὰς μορφὰς ἅπαντα ταῦτα πρέπει·
Ὅσα δ' εἰς ἄρσιν σύμμετρον ἀνεγερθῆναι δέοι,
Χρεὼν ποιεῖν καὶ τὰς μορφὰς ἐκείνων ἁδροτέρας.
Ὅσα δ' εἰς ὕψος ὑψηλὸν μεταρσιοῦσθαι μέλλει,
Χρεὼν ἐκείνων τὰς μορφὰς τῶν ἀσυμμέτρων πλάττειν,
Ὡς ἂν εἰς ὕψος λάβωσι στάντα τὴν συμμετρίαν·
Τὸ ὕψος κλέπτειν εἴωθε καὶ γὰρ τὴν θεωρίαν.
Κἂν σύμμετρον ποιήσειας τοῖς κάτω τὴν εἰκόνα,
Ἄνω σταθεῖσαν ἴδοις ἄν, οὖσαν συμμεμυκυῖαν.
Ἄνπερ δὲ πλάσῃς τὴν μορφὴν ἀσύμμετρον τοῖς κάτω,
Τὸ ὕψος πάλιν σύμμετρον δεικνύει τὴν εἰκόνα.
Οὕτως ὑπάρχει χρήσιμος πολλοῖς γεωμετρία,
Καὶ σὺν αὐτῇ καὶ ὀπτικὴ καὶ μᾶλλον ζωγραφίαις.

ΙΣΤΟΡΙΑ, Η ΛΕΓΟΥΣΑ, ΠΑΡΑΙΝΕΣΙΝ ΑΜΕΙΝΩ ΤΗΣ, ΗΣ ΙΣΟΚΡΑΤΗΣ ΠΡΟΣ ΔΗΜΟΝΙΚΟΝ ΣΥΝΕΤΑΞΑΤΟ. τπβ'.

Ὁ Ἰσοκράτης ῥήτωρ μὲν ἦν Ἀθηναῖος γένει,
Υἱὸς ἦν Θεοδώρου δέ, αὐλοποιοῦ τὴν τέχνην,
Οἰκέτας ἔχοντός τινας αὐλοὺς ἐργαζομένους.
Οὗτος ὁ ῥήτωρ ἔγραψε βίβλον, ῥητόρων τέχνην.
Καὶ ταῖς γραφαῖς ταῖς ἄλλαις δὲ ταῖς τούτῳ συγγραφείσαις
Καὶ τοῖς τρισὶν ἐχρήσατο εἴδεσι ῥητορείας.
Δικανικοὺς γὰρ ἔγραψεν, οὐχὶ βραχίστους λόγους.
Πρὸς Εὐαγόραν γράφει δὲ Κυπρίων βασιλέα
Ἐπαίνους τε καὶ συμβουλὰς καὶ πρὸς τὸν Νικοκλέα.
Θανόντος Εὐαγόρου δὲ γράφει πρὸς παῖδα τούτου,
Ὧι κλῆσις ἦν Δημόνικος, πολλὰς τὰς παραινέσεις.
Καὶ λόγους πανηγυρικοὺς ἔγραψε μὲν καὶ ἄλλους,
Καὶ τὸν εἰς Παναθήναια τὸν μέγιστον τὸν λόγον,

HIST. 382.
653. ταῖς post δὲ inserui.
661. Cf. Plutarch. Vit. X. orator. Tom. XII. p. 235. sqq. Markland. ad Lysiae Epitaph. p. 101. Reisk. et ad Aelian. V. H. XIII, 11. Perix.

Οὗπερ τὸν νοῦν ἐσύλησεν ὅλον ὁ Ἀριστείδης.
Δειλότατος ἀνθρώπων δὲ ἦν Ἰσοκράτης πάντων,
Ὡς μηδὲ δύο μαθητὰς ὁμοῦ ἐφερμηνεῦσαι,
Λέγειν ἑνὶ δὲ ἀπ' αὐτῶν, σήμερον τούτῳ λέξω,
Σοὶ δὲ πάλιν τὴν αὔριον παραβολόν τι λέξω.
Ἐν πόσοις χρόνοις δ' ἔγραψεν, οὐκ οἶδα, τὰ βιβλία.
Λέγει Λυσίας γὰρ αὐτὸν ἐν ὅλοις δέκα χρόνοις
Τὸν εἰς τὰ Παναθήναια μόλις πληρῶσαι λόγον.
Ὁ ῥήτωρ Ἀλκιδάμας τε τοῦτον ἐν ἄλλοις σύρει.
Ἄλλοι δὲ λέγουσι κοινῶς. δεικνύει δὲ καὶ οὗτος,
Τοὺς Ἀθηναίους μέλλοντας Φιλίππῳ κροτεῖν μάχην,
Γνόντας τῆς μάχης τὰ δεινὰ πρὸς Ἰσοκράτην φάναι,
Ἐπιστολὴν συμβάσεων πρὸς Φίλιππον χαράξαι.
Καταρξαμένων δὲ αὐτῶν καὶ μάχης καὶ πολέμου,
Καὶ πρὸς συμβάσεις πρὸς αὐτὸν τὸν Φίλιππον ἐλθόντων,
Οὔπω ταύτην ἐπέρανε. γράφει δὲ Ἀθηναίοις·
„Ὄντος ἐμοῦ πρὸς ταῦτα δὲ ἤτοι τὸ γράψαι ταῦτα,
„Ἔφθητε πρὸς τὸν Φίλιππον ποιήσασθαι εἰρήνην.

Καὶ ὁ Λυσίας σὺν πολλοῖς τῶν παλαιῶν ῥητόρων
Χρονίως συνετάττοντο τὰς συγγραφὰς ἐκείνων.
Λέγει καὶ ὁ Λυσίας γὰρ καὶ ἕτεροι ὁμοίως.
Οὐ βούλομαι γὰρ ἔγωγε συντάττειν ἐσπευσμένα.
Καὶ Ἀριστείδης δέ φησιν, ὁ ῥήτωρ ὁ Σμυρναῖος·
Οὐ τῶν ἐμούντων γάρ ἐσμεν, ἀλλὰ τῶν ἀκριβούντων.
Οὕτως οἱ πάντες ἔγραφον ῥήτορες διὰ χρόνου.
Ὁ δ' Ἰσοκράτης ἅπαντας νικᾷ τῇ βραδυτῆτι.
Ὡς τάδε λέγειν ἐπ' αὐτῷ τινὰς ἐκ τῶν ἀστείων,
Οἴδαμεν ἄνδρα φαλακρόν, ἀλλὰ τοσοῦτον πάλιν,
Ὥστε καὶ τὸν ἐγκέφαλον ὁρᾶσθαι τῇ φαλάκρᾳ.
Δοκεῖ πᾶσιν ἐχέφροσι τῶν ἱκανῶς ἀτόπων.

---

677. *λέγει* margo cd. A.
687. Cicero de senect. 5. Lucian. Macrob. §. 23. Plutarch. de glor. Athen. §. 8. Tom. IX. p. 99.

ΚΑΙ ΤΗΝ ΤΟΥ ΡΩΜΑΙΟΥ ΚΑΤΩΝΟΣ ΥΠΕΡΑΙΡΟΥΣΑ. τπγ΄.

Ὅπως ὁ Κάτων τὸν υἱὸν ἐπαίδευεν ἐν πᾶσιν
Αὐτὸς διδάσκων ἀκριβῶς καὶ νουθετῶν τὰ πάντα,
Ἔχεις τὴν πᾶσαν ἀκριβῶς εἰς πλάτος ἱστορίαν
Εἰς τόπον ἑβδομηκοστὸν κειμένην ἐν ταῖς πρώταις.

ΠΕΡΙ ΤΟΥ, ΚΑΙ ΤΟΝ ΗΤΤΟΝΑ ΛΟΓΟΝ ΓΥΜΝΑΖΟΝΤΑ. τπδ΄.

Ἥττων λόγος καθέστηκεν ὁ τῶν ἀσθενεστέρων.
Πολλάκις δὲ καὶ ὁ ψευδὴς μηδ' ἀληθεύων λόγος,
Ἐν ᾧ μὲν ἄλλος ἥττηται. ὁ δὲ τεχνίτης ῥήτωρ,
Ἑκὼν τοῦτον δεξάμενος τὸν ἥττονα τῶν λόγων,
Δεῖξαι ῥητόρων βουληθεὶς τῶν τεχνικῶν τὸ σθένος,
Εἴτε νικᾷ τοὺς ἔχοντας τοὺς κρείττονας τῶν λόγων,
Τοὺς ἰσχυροὺς καὶ ἀληθεῖς, εἴτε καὶ ἰσοπάλους,
Τοὺς ἀνισχύρους καὶ ψευδεῖς, τοῖς ἰσχυροῖς δεικνύει.
Τούτου φασὶ δὲ εὑρετὴν τοῦ ἥττονος τῶν λόγων
Οἱ πλείους τε καὶ ἄσκεπτοι Πλάτωνα πεφυκέναι·
Τούτους ἐλέγχων δὲ λαμπρῶς ἐν διαυγεῖ τῷ λόγῳ
Τζέτζης, Ἀριστοφάνη μὲν πρὸ Πλάτωνος δεικνύει
Τῷ ἥττονι χρησάμενον λόγῳ τεχνικωτάτως.
Καὶ τὸν Σωκράτην Πλάτωνος διδάσκαλον τελοῦντα
Φέρει που λόγων τῶν αὐτοῦ μνείαν πεποιημένον,
Ἄλλο τε πλῆθος οὐ βραχὺ ῥητόρων, φιλοσόφων,
Ὡς Προταγόρας σοφιστὴς εὗρε τὸν ἥττω λόγον.
Καὶ τούτους μετριώτερον ἐλέγχει ψευδομένους
Πρὸ πάντων λέγων Ὅμηρον, ἀλλ' ἀνεμφάτως τάχα,
Πατέρα καὶ τοῦ ἥττονος τούτου γενέσθαι λόγου,
Ἄλλων μυρίων τε σοφῶν τεχνῶν καὶ διδαγμάτων.
Δείξει δὲ σοὶ κατώτερον τῷ ἥττονι τῷ λόγῳ
Πῶς πολλαχοῦ ὁ Ὅμηρος χρῆται τῇ Ἰλιάδι.

ΤΟ ΜΥΙΑΣ Η ΨΥΛΛΗΣ ΕΓΚΩΜΙΟΝ. τπέ.

Ὁ Μιχαὴλ μὲν ὁ Ψελλὸς ψύλλας ἐγκωμιάζει,
Ἡμῶν πρὸ χρόνων ἑκατὸν ἀκμάζων ἐν τῷ βίῳ.
Τοῦτο ποιεῖ τῷ ζήλῳ δὲ Λουκιανοῦ τοῦ Σύρου.
Λουκιανὸς γὰρ ἔγραψεν ἐγκώμιον τῆς μυίας,
Ὡς ὕστερον Συνέσιος ἐγκώμιον φαλάκρας.
Ἀνθ' ὥνπερ ὁ Χρυσόστομος ὁ Προυσαεὺς ὁ Δίων,
Πολὺ τελῶν παλαίτερος αὐτοῦ τοῦ Συνεσίου,
Ῥητορικῶς συνέγραψε ψόγον κατὰ φαλάκρας.
Καὶ ἄλλοι ἄλλων ἔγραψαν ἐγκώμια καὶ ψόγους·
Ὡς Πλάτων ψόγον ἔγραψε τῆς τέχνης τῶν ῥητόρων,
Καλῶν ἐκείνην εἴδωλον πολιτικῆς μορίου.
Τοῦτό φασι ποιῆσαι δὲ τὸν Πλάτωνα οἱ πλείους,
Καὶ μᾶλλον οἱ φιλόσοφον τέχνην ἐξογκυλοῦντες,
Γυμνάζοντα τὸν ἥττονα ὃν προειρήκειν λόγον.
Ὁ δὲ φιλοψευδέστατος Τζέτζης ἀνθρώπων πάντων,
Ὁ τὴν ἀλήθειαν μισῶν ἐπίσης τῷ θανάτῳ,
Τοὺς λόγους τούτους φλύαρον καλεῖ καὶ ὀνομάζει.
Φασὶ κατὰ ῥητόρων δὲ Πλάτωνα ταῦτα γράψαι,
Φθόνῳ πολλῷ φερόμενον. μέσης γὰρ τῆς καρδίας
Ἥψατο τοῦτο Πλάτωνος· ἑώρα γὰρ ὁ Πλάτων
Τῆς φιλοσόφων λέσχης τε ἐκτρέχοντας τοὺς νέους
Καὶ κενουμένας τὰς αὐτῶν διατριβὰς τελέως,
Ἀσυντελῆ διδάγματα πρὸς βίον διδασκούσας,
Τὰς τῶν ῥητόρων δὲ σχολὰς τῶν νέων πληρουμένας,
Βιωφελῆ διδάγματα τούτοις ἐκδιδασκούσας.
Τοιαῦτα γράφουσι πολλοὶ ἐγκώμια καὶ ψόγους·
Ὡς Ἀλκιδάμας ἔγραψεν ἐγκώμιον θανάτου,
Ὁ Ἐλαΐτης, σύγχρονος ὑπάρχων Ἰσοκράτει.

HIST. 385.

721. Margo cd. A. *ζήλῳ* pro *σύλλῳ*, quod habent contexta.

729. Platon. Gorg. S. 18. p. 76. ibique Findeis.

731. Videtur *ἐξογκύλλοντες*, aut *ἐξογκυλλοῦντες* scribendum esse.

Καὶ Τζέτζης Ἀλκιδάμαντι ἐπίσης Ἐλαΐτῃ,
Καὶ ἔγραψε καὶ γράφει δὲ καὶ λέγει καθεκάστην
Ἐγκώμια εἰς θάνατον μυρία ὑπὲρ πάντας,
Πολλοὺς τοῦ Ἀλκιδάμαντος ἀνεγνωκὼς μὲν λόγους,
Αὐτοῦ τῷ ἐγκωμίῳ δὲ μὴ ἐντυχὼν θανάτου.
Καὶ ἄλλοι ἄλλων ἔγραψαν ἐγκώμια καὶ ψόγους
Ἀριστοφάνης δ' ἔγραψεν ἐγκώμιον πενίας,
Καὶ κρείττω πλούτου δείκνυσι τυγχάνειν τὴν πενίαν,
Καὶ τὴν πενίαν δείκνυσι μᾶλλον βιαίως πλοῦτον.
Ὁ Ὅμηρος πρὸ πάντων δὲ ῥητόρων, φιλοσόφων,
Αἰνεῖ τὸν Διομήδην μὲν παρ' ὅλην Ἰλιάδα
Καὶ Ὀδυσσέα σὺν αὐτῷ ἔν τε τῇ Ἰλιάδι,
Καὶ ὅλην βίβλον ἔγραψεν ἐγκώμιον εἰς τοῦτον,
Ἣν ἐξ αὐτοῦ Ὀδύσσειαν τὴν κλῆσιν ὀνομάζει.
Τὸν Αἴαντα τὸν μέγαν δὲ τῶν Ἀχαιῶν τὸν πύργον,
Καὶ Νέστορα τὸν σύμβουλον, τὸν μελιχρὸν ἐκεῖνον.
Ὥσπερ τὴν λυσιτέλειαν στρατῷ τῷ τῶν Ἑλλήνων
Ἴσασι καὶ αἱ ἄψυχοι τῶν ἀναισθήτων φύσεις·
Ῥητόρων ὢν δεινότατος ἁπάντων τῶν ἐν βίῳ
Σιγᾷ καὶ παρατρέχει δὲ δεινότητι τῶν λόγων,
Ἓν ἢ καὶ δύο τὰ ῥητὰ φήσας εἰς τούτους μόνα,
Εἰς δὲ ἐκείνους ἱκανοὺς λόγους πληροῦν βιβλία.
Τὸ ἀσθενὲς γὰρ δέεται πολλῶν ἑρμηνευμάτων·
Τὸ δ' ἀληθὲς καὶ ἰσχυρὸν οὐ δεῖται ποικιλίας.
Ὅθεν ἐκείνοις περισσοὺς καταναλίσκει λόγους,
Λέγων ἃ λόγοις τοῖς αὐτοῦ καταναλοῖ πρὸς τούτους.
„Τυδείδην δ' οὐκ ἂν γνοίης, ποτέροισι μετείη,
„Ἠὲ μετὰ Τρώεσσιν ὁμιλέοι, ἢ μετ' Ἀχαιοῖς.
„Θῦνε γὰρ ἂμ πεδίον, ποταμῷ πλήθοντι ἐοικώς·

---

753. In Pluto a vs. 423.

755. Hic versus videtur corruptus. Legi possit *βίαιαν πλοῦτον*, nisi forte sensus est: *multo fortius ostendit, paupertatem esse divitias.* Conf. vs. 807.

770. Ex Euripid. Phoeniss. v. 472.

773. Iliad. V, 85. sqq.

775. Cd. A. *ἂμ* (non *ἂν*) *πεδίον.*

Οἷόν φησι κατάγοντα γεφύρας, ἕρκη, πάντα·
Καὶ ὅσα γράφει ἀλλαχοῦ καὶ περὶ Ὀδυσσέως,
Ὅσα φησὶν ἐν ταῖς δυσὶ τοῖς λόγοις εἴποι βίβλοις.
Τὸν Αἴαντα δ' ἐσίγησεν, ἑνὶ δηλώσας ἔπει,
„Οὗτος δ' Αἴας ἐστὶ πελώριος, ἕρκος Ἀχαιῶν.“
Καὶ ἀπ' αὐτῶν τῶν ἔργων δὲ πάλιν ἐν ἄλλοις λόγοις,
Ὅπου τὸν Διομήδην μὲν τὸν ποταμὸν τὸν πρώην,
Τὸν τὰς γεφύρας φέροντα τοῖς ῥεύμασι καὶ ἕρκη,
Εἰκάζει πρὸς τὸν Ἕκτορα, ἀνδρὶ τῶν ἀπαλάμνων,
Ἀναχωροῦντα δ' ὄπισθεν, κελεύοντα καὶ ἄλλους,
Ὡς ποταμὸν τὸν Ἕκτορα μορμύροντα ἰδόντα·
Τὸν Αἴαντα προφέρει δὲ μέσον ἐλθόντα τοῦτον,
Δουρὶ κτανεῖν τὸν Ἄμφιον υἱὸν τὸν τοῦ Σελάγου,
Ἐνθάπερ εἰς τὸν Αἴαντα τὰ δόρατα τῶν Τρώων,
Δίκην χαλάζης συνεχοῦς, ἐφέροντο πυκνώσει.
„Ὀξέα παμφανόωντα, σάκος δ' ἀναδέξατο πολλά.
Οὕτω πρὸς λόγους τοὺς πολλοὺς οὓς Διομήδης λέγει,
Δυσὶ λόγοις ἀπέδειξε τὸν Αἴαντα τὸν μέγαν.
Τοῖς ὅλοις τοῖς βιβλίοις δὲ τῶν αἴνων Ὀδυσσέως
Δυσὶ πάλιν ἀπέδειξε τὸν Νέστορα λογίοις.
Οὗπερ τὸ ἐν τῇ ἄλφα μέν που ῥαψῳδίᾳ λέγει,
„Τοῦ καὶ ἀπὸ γλώττης μέλιτος γλυκίων ῥέεν αὐδή.
Καὶ ἡ ἐν βῆτα δὲ εὐχὴ αὐτοῦ τοῦ βασιλέως
Οὐκ Ὀδυσσέας, οὔ τινας ἄλλους ἐπευχομένη,
Ὡς δέκα τούτῳ Νέστορας συμφράδμονας γενέσθαι,
Ταχέως πορθηθῆναί τε τὴν Τροίαν βουλαῖς τούτων.
Οὕτω πολλοὺς ἐκένωσε λόγους ἐκείνων αἴνοις.
Τῷ Αἴαντι καὶ Νέστορι δ' ἐν λόγοις βραχυτάτοις
Ἐκείνων λόγους τοὺς μακροὺς νικᾷ, πλὴν λεληθότως.
Τὸ τὰ τοιαῦτα ἐπαινεῖν, ψύλλας, φαλάκρας, μυίας,
Καὶ ψέγειν τὴν ῥητορικὴν καὶ ἐπαινεῖν θανάτους,
Αἰνεῖν καὶ τὴν πενίαν δὲ πλοῦτον αὐτὴν δεικνύντα,

---

780. Iliad. III, 229.
791. Iliad. V, 619.
797. Iliad. I, 249. II, 372.

Καὶ Διομήδην καὶ αὐτὸν αἰνεῖν, τὸν Ὀδυσσέα
Ὑπὲρ τὸν μέγαν Αἴαντα καὶ Νέστορα ἐκεῖνον,
Κἂν Ὅμηρος καὶ ταῦτα δὲ δεινῶς παραδεικνύῃ,
Καὶ πάντα τοιουτότροπον ἔπαινόν τε καὶ λόγον,
Τὸν προφανῶς τοῖς φανεροῖς γράφοντα τἀναντία,
Ἥττονα λόγον λέγουσι τὰ φιλοσόφων γένη,
Ὡς ταῖς νεφέλαις δείκνυσι καὶ ὁ Ἀριστοφάνης,
Τῷ παίζειν. τὸν Σωκράτην γὰρ παράγει Στρεψιάδην,
Λέγοντα τούτῳ, δίδαξον τὸν παῖδά μου τοὺς λόγους,
„Τὸν κρείττον᾽ ὅστις ἐστὶ καὶ τὸν ἥττονα.
Ἢ γοῦν τὸν ἥττον᾽ ὃς νικᾷ τὸν κρείττονα τῶν λόγων,
Οὕτω τοῦτο φιλόσοφοι καλοῦσιν ἥττω λόγον.
Ῥήτορες ἐγκωμίων δὲ καὶ προβλημάτων εἴδη
Τέσσαρα τάδε λέγουσι σύμπαντα πεφυκέναι·
Ἀμφίδοξα, παράδοξα, ἔνδοξα σὺν ἀδόξοις·
Ἄδοξον μὲν ἐγκώμιον πορνείας ἢ καὶ μέθης,
Ἔνδοξον δὲ σεμνότητος καὶ ἀρετῆς ἁπάσης,
Ἀμφίδοξον, τὸ ἐπαινεῖν πρᾶγμα τῶν μεσαιτάτων,
Ὅπερ τισὶν ἐπαινετὸν, ἄλλοις ψεκτὸν δοκεῖ δε·
Παράδοξον ἐγκώμιον εἶναι καλῶν μοι νόει,
Ὃ παρὰ τὴν ὑπόληψιν καὶ δόξαν καὶ τὴν γνώμην
Τὴν τῶν ἁπάντων λέγεται, εἴτε καὶ τῶν πλειόνων,
Ὡς τὸ πενίαν ἐπαινεῖν, θάνατον, ἢ φαλάκραν,
Καὶ σύμπαν τοιουτότροπον τοῖς ἄλλοις ἐναντίως.

ΠΕΡΙ ΚΛΕΙΤΑΡΧΟΥ ΣΥΓΓΡΑΦΗΣ, ΠΕΡΙ ΤΕΝΘΡΗΔΟΝΟΣ. τπϛ'.

Ἡ τενθρηδὼν, ζωΰφιον παρόμοιον μελίσσῃ.
Ἃ γράφει δὲ ὁ Κλείταρχος περὶ τῆς τενθρηδόνος,
Εἰς τούτων τὴν ἑκατοστὴν εὑρήσεις ἱστορίαν.
Καὶ στρέψας ἀναγίνωσκε τὸν τόπον τὸν ἐκεῖσε.

ΠΕΡΙ ΦΕΙΔΙΟΥ ΚΑΙ ΑΛΚΑΜΕΝΟΥΣ. τπζ'.
(ἡ προεγράφη.)

Τὰ περὶ τοῦ Φειδίου τε καὶ τὰ τοῦ Ἀλκαμένους
Στρέψας εὑρήσεις ὄπισθεν εἰς πλάτος γεγραμμένα
Εἰς τὴν ἑκατοστὴν ἅμα ἐνενηκοστοτρίτῃ.

ΠΕΡΙ ΣΗΡΙΚΩΝ ΠΕΡΙΒΛΗΜΑΤΩΝ. τπη'.

Οἱ Σῆρες καὶ οἱ Τόχαροι, ἔθνη ἐγγὺς Ἰνδίας,
Ὑφάσματα τὰ κάλλιστα ὑφαίνοντες ἁπάντων,
Καὶ τὰ πολυτιμότερα τοῖς παλαιοῖς τῶν χρόνων,
Καὶ Ἴβηρες ἑσπέριοι καὶ Κοραξοὶ ὁμοίως,
Ὑφάσματα τὰ κάλλιστά εἰσιν ἐριουργοῦντες.
Νῦν δὲ καταχρησάμενος, ὡς οἱ πολλοί, εἰρήκειν,
Τὸ ἐκ Θηβῶν, ἐκ Σηρικῶν, οὐκ ἀγνοῶν ὡς ἄλλοι.

ΠΑΡΟΙΜΙΑ Η ΛΕΓΟΥΣΑ, ΩΣ ΤΗΝ ΕΡΜΟΥ
ΤΕΧΝΗΝ ΕΙΣ ΑΚΡΟΝ ΕΞΗΣΚΗΣΑΣ.
τπθ'.

Ἑρμοῦ τέχναι διάφοροι, καὶ λόγοι καὶ παλαῖστραι
Καὶ ἐμπορία καὶ λοιπαὶ καὶ ἡ κλοπὴ σὺν ταύταις,
Τὴν ἣν κλοπὴν ἐνταῦθα νῦν τέχνην Ἑρμοῦ εἰρήκειν.

ΠΕΡΙ ΤΟΥ ΣΤΑΓΕΙΡΟΘΕΝ ΣΟΦΟΥ ΚΑΙ
ΠΑΙΔΟΣ ΤΟΥ ΑΡΙΣΤΩΝΟΣ. τϙ'.

Ἀριστοτέλης ὁ σοφός, ὁ παῖς τοῦ Νικομάχου,
Ἐκ τῆς Σταγείρας πόλεως ὑπῆρχεν Ὀλυνθίας.
Πλάτων δὲ ὁ φιλόσοφος ὢν Ἀθηναῖος γένει,
Κατά τινας Θηβαῖος δέ, ἀπὸ Θηβῶν χωρίου,

HIST. 388.
839. De Seribus cf. I. H. Vossius ad Virgil. Georg. II, 121. p. 314. Adde Plin. H. N. VI, 17. quem citat Cellarius in Notit. Orb. Ant. T. II. p. 887. sq. ed. 1. Item Pausan. VI, 26, 4. Lucian. Catapl. §. 21. Schol. Macrob. 5. de Saltat. 63. Plutarch. de Pyth. Orac. §. 4. T. IX. p. 253.

HIST. 390.
852. Videtur confundere patriam Platonis cum Pindari.

Καὶ Διομ
Ὑπὲρ τὸ
Κἂν Ὁι
Καὶ π
Τὸν
Ἦτ
Ὡ
Τ

... Κυνοκεφάλων,
..., κλῆσιν Ἀριστοκλῆς δέ.
... τῷ σώματι ὑπάρχειν
... ἔσχηκεν ἐκ τῆς Ἀριστοκλέους·
... θεόφραστος τοῦ Πλάτωνος ὕστερος,
... καλούμενος, Θεόφραστος ἐκλήθη
... ἄριστα καὶ ἀποστοματίζειν.

ΠΑΡΟΙΜΙΑ Η ΛΕΓΟΥΣΑ, ΩΣ ΑΝ ΕΞΕΛΘΗΣ ΟΝΕΙΔΟΣ ΕΞ ΕΜΟΥ, ΩΣ ΠΡΙΝ ΕΚΕΙΝΟΣ Ο ΦΙΝΕΕΣ. τϟα΄.

Ἡ βίβλος τοῦ Λευϊτικοῦ τοῦτο τρανῶς διδάσκει,
Ὡς Ἰσραὴλ συνήρατο πόλεμον Μωαβίταις.
Ἡττῶντο Μωαβῖται δέ, τοιόνδε τι ποιοῦσι.
Γυναῖκας πόρνας εὐπρεπεῖς στολίσαντες εὐκόσμως,
Οὕτω νικῶσι τὸν λαὸν τοῦ Ἰσραὴλ μεθόδῳ.
Συγγινομένους γὰρ αὐτοὺς ταῖς γυναιξὶ τῇ μίξει
Κατεῖχον καὶ ἀνῄρουν δέ, θραῦσμα ποιοῦντες μέγα.
Ὁ Φινεὲς δὲ ὁ υἱὸς αὐτοῦ τοῦ Ἐλεάζαρ,
Ὃς Ἐλεάζαρ ἦν υἱὸς τοῦ Ἀαρὼν ἐκείνου,
Ἰδὼν τὴν θραῦσιν τοῦ στρατοῦ τοσαύτην γινομένην,
Εὑρὼν Ζαμβρήν τε καὶ Χασβὶ γυναῖκα Μωαβῖτιν,
Συγκοιμωμένους, ἔκτεινε δόρατι περονήσας,
Καὶ νίκην ἀπειργάσατο πάλιν Ἰσραηλίταις.

ΠΕΡΙ ΤΟΥ, ΠΛΕΙΗ ΜΕΝ ΓΑΙΑ ΣΟΦΩΝ, ΠΛΕΙΗ ΔΕ ΘΑΛΑΣΣΑ. τϟβ΄.

Ὁ μὲν Ἡσίοδός φησιν ἐν ἔργοις καὶ ἡμέραις,
„Πλείη μὲν γαῖα κακῶν, πλείη δὲ θάλασσα.

Ceterum vide notata a Grammaticis de Vita Pindari in edit. Heyn. Tom. II.

HIST. 391.

860. Levit. cap. 25.

865. In margine cd. A. et συγκοιμωμένους ἢ συγγινομένους, in textu συγκινομένους.

871. Cd. A. συγκοινουμένους.

HIST. 392.

873. O. et D. v. 88.

δὲ κατὰ ῥήτορας καλεῖται παρῳδία,
Πλείη μὲν γὰρ γαῖα σοφῶν, πλείη δὲ θάλασσα.
Παραγραμματισμόν φασι δ' οἱ ποιηταὶ τὸ σχῆμα,
Τὸ χρῆσθαι τοῖς τοιούτοις δὲ δεινότητος μεθόδῳ.

ΠΕΡΙ ΤΟΥ, ΤΑΥΡΟΓΛΥΦΕΣ, ΕΙ ΔΕ ΒΟΥΛΕΙ ΡΩΣΟΓΛΥΦΕΣ. τϙγ΄.

Ταῦροι τοῦ γένους τῶν βοῶν οἱ ἄῤῥενὲς καλοῦνται.
Ἔστι καὶ γένος Σκυθικόν. ἐπεὶ δ' ἄδηλον τοῦτο,
Σαφέστερον ἐδήλωσα ταύρους τοὺς ῥῶς καλεῖσθαι,
Ἐν τῷ εἰπεῖν, ταυρογλυφές, ῥωσογλυφές δ' εἰ βούλει,
Ὥσπερ ἑφερμηνεύων σοι τίνες εἰσὶν οἱ ταῦροι.

ΠΕΡΙ ΤΩΝ ΔΑΙΔΑΛΟΥ ΧΕΙΡΟΥΡΓΗΜΑΤΩΝ ΕΓΡΑΦΗ. τϙδ΄.

Ὁ Εὐπαλάμου Δαίδαλος παῖς καὶ Μητιαδούσης,
Ὢν ἀρχιτέκτων Ἀττικός, ἀγαλματοποιός τε,
Οἷα ἐποίει, πᾶσάν τε τούτου τὴν ἱστορίαν
Ἔχεις ἐννακαιδέκατον ταῖς πρώην ἱστορίαις.
Περὶ βοὸς τοῦ Μίνωος ἐπιγραφὴν δὲ φέρει.

ΠΕΡΙ ΤΑΝΤΑΛΟΥ, ΜΕΣΟΝ ΤΗΣ ΛΙΜΝΗΣ ΕΣΤΩΤΟΣ, ΕΣΤΕΡΗΜΕΝΟΥ ΔΕ ΥΔΑΤΟΣ. τϙέ.

Τὴν τοῦ Ταντάλου σύμπασαν εἰς πλάτος ἱστορίαν
Ἔχεις κειμένην δέκατον ταῖςδε ταῖς ἱστορίαις.

ΠΕΡΙ ΤΟΥ, ΤΕΤΑΡΤΟΝ ΟΥ ΡΩΣ, ΑΛΛΑ ΤΩι ΓΕΝΕΙ ΜΥΣΟΣ ΕΣΤΙΝ. τϙϛ΄.

Μυσίας χώρας γίνωσκε ταύτας τυγχάνειν δύο·
Μίαν τὴν περὶ Κάϊκον καὶ Ὄλυμπον Μυσίαν,
Ἄλλην Μυσίαν γίνωσκε τυγχάνειν τὴν Οὐγγρίαν,
Τὴν καὶ περὶ τὸν Δάνουβιν, ὥσπερ ἐγὼ νομίζω,

Ὅπερ χωρίον ἔσχηκε κλῆσιν Κυνοκεφάλων,
Υἱὸς ἦν τοῦ Ἀρίστωνος, κλῆσιν Ἀριστοκλῆς δέ.
Ἀπὸ δὲ τοῦ κατάπλατυς τῷ σώματι ὑπάρχειν
Πλάτωνος κλῆσιν ἔσχηκεν ἐκ τῆς Ἀριστοκλέους·
Καθάπερ καὶ Θεόφραστος τοῦ Πλάτωνος ὑστέρως,
Τύρταμος πρὶν καλούμενος, Θεόφραστος ἐκλήθη
Ἀπὸ τοῦ φράζειν ἄριστα καὶ ἀποστοματίζειν.

ΠΑΡΟΙΜΙΑ Η ΛΕΓΟΥΣΑ, ΩΣ ΑΝ ΕΞΕΛΘΗΣ ΟΝΕΙΔΟΣ ΕΞ ΕΜΟΥ, ΩΣ ΠΡΙΝ ΕΚΕΙΝΟΣ Ο ΦΙΝΕΕΣ. τϟά.

Ἡ βίβλος τοῦ Λευϊτικοῦ τοῦτο τρανῶς διδάσκει,
Ὡς Ἰσραὴλ συνήρατο πόλεμον Μωαβίταις.
Ἡττῶντο Μωαβῖται δέ, τοιόνδε τι ποιοῦσι.
Γυναῖκας πόρνας εὐπρεπεῖς στολίσαντες εὐκόσμως,
Οὕτω νικῶσι τὸν λαὸν τοῦ Ἰσραὴλ μεθόδῳ.
Συγγινομένους γὰρ αὐτοὺς ταῖς γυναιξὶ τῇ μίξει
Κατεῖχον καὶ ἀνῄρουν δέ, θραῦσμα ποιοῦντες μέγα.
Ὁ Φινεὲς δὲ ὁ υἱὸς αὐτοῦ τοῦ Ἐλεάζαρ,
Ὃς Ἐλεάζαρ ἦν υἱὸς τοῦ Ἀαρὼν ἐκείνου,
Ἰδὼν τὴν θραῦσιν τοῦ στρατοῦ τοσαύτην γινομένην,
Εὑρὼν Ζαμβρήν τε καὶ Χασβὶ γυναῖκα Μωαβῖτιν,
Συγκοιμωμένους, ἔκτεινε δόρατι περονήσας,
Καὶ νίκην ἀπειργάσατο πάλιν Ἰσραηλίταις.

ΠΕΡΙ ΤΟΥ, ΠΛΕΙΗ ΜΕΝ ΓΑΙΑ ΣΟΦΩΝ, ΠΛΕΙΗ ΔΕ ΘΑΛΑΣΣΑ. τϟβ΄.

Ὁ μὲν Ἡσίοδός φησιν ἐν ἔργοις καὶ ἡμέραις,
„Πλείη μὲν γαῖα κακῶν, πλείη δὲ θάλασσα.

Ceterum vide notata a Grammaticis de Vita Pindari in edit. Heyn. Tom. II.

HIST. 391.

860. Levit. cap. 25.

865. In margine cd. A. est συγκοιμομένους ἢ συγγινομένοις, in textu συγκινομένους.

871. Cd. A. συγκοινουμένους.

HIST. 392.

873. O. et D. v. 88.

Τοῦτο δὲ κατὰ ῥήτορας καλεῖται παρῳδία,
Τὸ πλείη μὲν γὰρ γαῖα σοφῶν, πλείη δὲ θάλασσα.
Παραγραμματισμόν φασι δ' οἱ ποιηταὶ τὸ σχῆμα,
Τὸ χρῆσθαι τοῖς τοιούτοις δὲ δεινότητος μεθόδῳ.

ΠΕΡΙ ΤΟΥ, ΤΑΥΡΟΓΛΥΦΕΣ, ΕΙ ΔΕ ΒΟΥΛΕΙ ΡΩΣΟΓΛΥΦΕΣ. τϟγ'.

Ταῦροι τοῦ γένους τῶν βοῶν οἱ ἄῤῥενὲς καλοῦνται.
Ἔστι καὶ γένος Σκυθικόν. ἐπεὶ δ' ἄδηλον τοῦτο,
Σαφέστερον ἐδήλωσα ταύρους τοὺς ῥῶς καλεῖσθαι,
Ἐν τῷ εἰπεῖν, ταυρογλυφές, ῥωσογλυφές δ' εἰ βούλει,
Ὥσπερ ἑφερμηνεύων σοι τίνες εἰσὶν οἱ ταῦροι.

ΠΕΡΙ ΤΩΝ ΔΑΙΔΑΛΟΥ ΧΕΙΡΟΥΡΓΗΜΑΤΩΝ ΕΓΡΑΦΗ. τϟδ'.

Ὁ Εὐπαλάμου Δαίδαλος παῖς καὶ Μητιαδούσης,
Ὢν ἀρχιτέκτων Ἀττικός, ἀγαλματοποιός τε,
Οἷα ἐποίει, πᾶσάν τε τούτου τὴν ἱστορίαν
Ἔχεις ἐννακαιδέκατον ταῖς πρώην ἱστορίαις.
Περὶ βοὸς τοῦ Μίνωος ἐπιγραφὴν δὲ φέρει.

ΠΕΡΙ ΤΑΝΤΑΛΟΥ, ΜΕΣΟΝ ΤΗΣ ΛΙΜΝΗΣ ΕΣΤΩΤΟΣ, ΕΣΤΕΡΗΜΕΝΟΥ ΔΕ ΥΔΑΤΟΣ. τϟέ.

Τὴν τοῦ Ταντάλου σύμπασαν εἰς πλάτος ἱστορίαν
Ἔχεις κειμένην δέκατον ταῖσδε ταῖς ἱστορίαις.

ΠΕΡΙ ΤΟΥ, ΤΕΤΑΡΤΟΝ ΟΥ ΡΩΣ, ΑΛΛΑ ΤΩι ΓΕΝΕΙ ΜΥΣΟΣ ΕΣΤΙΝ. τϟϛ'.

Μυσίας χώρας γίνωσκε ταύτας τυγχάνειν δύο·
Μίαν τὴν περὶ Κάϊκον καὶ Ὄλυμπον Μυσίαν,
Ἄλλην Μυσίαν γίνωσκε τυγχάνειν τὴν Οὐγγρίαν,
Τὴν καὶ περὶ τὸν Δάνουβιν, ὥσπερ ἐγὼ νομίζω,

Καὶ Πτολεμαῖος σκοτεινῶς περιηγήσει γράφει,
Ἅπερ ἐγὼ μετέφρασα τοῖςδε τοῖς ἰαμβείοις.
Τοὺς τῆς ἄνω νῦν Μυσίας ὅρους μάθε.
Ἐξ ἑσπέρας ὅρος μὲν Δαλματῶν γένη,
Ἐξ ἐκτροπῆς Σαύου μὲν αὐτῶν ῥευμάτων
Μέχρι περ οὗ φθάσει τις εἰς Σκάρδου λόφους.
Γραμμή δέ τις πρόεισιν ἐκ μεσημβρίας
Μέχρι περ αὐτῆς τῆς χθονὸς Μακηδόνων,
Ὄρους παρ' Ὀρβήλου μὲν ᾗ κεῖται πόδας.
Ἐκ τῆς ἕω δ' ὅρισμα Θρᾳκικὰ γένη
Μέχρι Κιάβρου τῶν ῥοῶν Μυσῶν κάτω,
Μέχρι Κίαβρος συμφυῇ Δανουβίῳ.
Ἐξ ἀρκτικῶν ὅρος δὲ τοῦ Σαύου μέρος
Μέχρι περ αὐτῶν τῶν ῥοῶν Δανουβίου.
Πρὸς τῷ Κιάβρῳ Μυσικὰ ναίει γένη,
Οἱ Δάρδανοι δὲ πρὸς Μακηδόνων χθόνα.
Τὸ Σιγγίδουνον Μυσικὴ δ' ἐστὶ πόλις,
Ἐγγὺς ῥοῶν μάλιστα τοῦ Δανουβίου.
Τρικόρνιον δὲ πρὸ ῥοᾶς τοῦ Μουσχίου,
Τὸ Δορτικόν τε σύν γε Οὐϊμινακίῳ.
Ἡ δ' Ὀῤῥέα πόῤῥω μὲν ἐκ Δανουβίου,
Οὗ Ἐνδενίς τε καὶ πόλεις ἄλλαι πόσαι.
Τὸ δ' Οὐλπιανὸν Ἀῤῥιβαντίου μέτα,
Σκοῦποί τε καὶ Ναΐσσος, καὶ Μυσῶν πόλεις.
Τοῦ Δαρδάνων ἔθνους δὲ τῶν ὁρισμάτων,
Ταῦτα μεταφράσας μέν, εἰρήκειν πάλιν.
Καὶ τὴν κάτω νῦν Μυσίαν μοι γραπτέον.

HIST. 396.

ἀσαφῶς
895. In cd. A. σκοτεινῶς.
896. Scripsi ἅπερ pro ὥνπερ.
898. Conf. Cellarii Not. O. A. T. I. p. 571. sqq.
911. Cf. Cellar. l. c. p. 572.
913. In Ptolemaeo Μόσχιος.
915. De hoc loco, qui dicitur *Orrea*, *Horrea*, *Horrea Margi*, vid. Cellar. l. c. p. 579.
918. Sic aperte cd. A. pro σκοπεῖ τε. In margine τὰ σκόπια. Vid. Cellar. Not. Orb. Ant. I. pag. 581. ed. I. Item Ναΐσσος dedi pro Ναΐσσον.
921. De Moesia inferiore vid. Cellar. l. c. p. 582.

Πρὸς ἑσπέραν μὲν τοῦ Κιάβρου ῥοῦς ῥέει.
Θρᾴκης μέρος δ' ἔνεστιν ἐκ μεσημβρίας,
Τότ' ἐκ Κιάβρου καὶ πρὸς Αἵμου τοὺς πόδας,
Καὶ ποντικοῦ πέρατος Ἑρμένου μέχρι.
Ἐξ ἀρκτικοῦ Δάνουβις ἐκ Κιαβρίου
Μέχρι πρὸς αὐτὴν Ἀξιούπολιν πόλιν,
Ἀφ' ἧς Δάνουβις κλῆσιν εἰς Ἴστρον τρέπει,
Καὶ μέχρι πόντου χευμάτων Δανουβείων.
Ἡ δ' αὖ ἑῴα Μυσίας πλευρὰ πάλιν
Ὁρίζεται μὲν τῇ παρακτίῳ χύσει
Πενταστόμως, ἣν Ἴστρος εἰς πόντον ῥέει.
Μεθ' ἣν θέσις πέφυκε τῶν Θρᾴκης ὅρων.
Οἰκοῦσι τῆς κάτω δὲ δυσμὰς Μυσίας
Ἔθνη Τριβαλλῶν. Μυσίας νῆσοι δύο
Χύσιν πρὸς αὐτὴν ποντικὴν τεθειμέναι,
Ἀχιλλέως νῆσος μὲν ἡ Λευκὴ μία.
Βορυσθένης ἄλλη τε νῆσος δευτέρα.
Πέραν Δανουβίου δὲ τῶν Γότθων ἔθνος.
Κἂν τῇ μεταφράσει δὲ τῆς Θρᾴκης ἔφην.
Θρᾴκης τολοιπὸν τὴν θέσιν ὁριστέον.
Ἡ Μυσία μὲν ἡ κάτω προσαρκτία.
Ἐξ ἑσπέρας ἄνω δὲ Μυσίας θέσις,
Μακηδόνων τε τὰ πρὸς Ὀρβήλου λέπας,
Μέχρι τέλους ὄρους τε τοῦ λελεγμένου.
Μετά τινας δὲ μὴ καθεξῆς τῶν στίχων,
Εἰσὶν ἐν αὐτῇ τῇ μεταφράσει τάδε.
Μετὰ μεσηβρίαν μὲν ἡ Μυσῶν πόλις
Ἡ Ἀγχίαλος, οὐ τῶν ἀσήμων τις πόλις.
Κἂν τοῖς ὁρισμοῖς γῆς Μακηδόνων ἔφην.
Μακηδόνων ὅρισμα νῦν μοι γραπτέον.
Ὁρισμὸς αὐτοῖς ἐκ μερῶν προσαρκτίων
Ἡ Δαλματὶς πλευρά τε καὶ πλευρὰ πάλιν

937. Vid. ad Lycophron. v. 186.

948. Cd. A. in marg. τῶν κάτω, scil. Μυσῶν.

Ἀνωτέρας γῆς Μυσικῆς Θρᾴκης μέτα.
Ἡ δυσμικὴ θέσις δὲ πόντος Ἁδρίου,
Ἐκ Δυῤῥαχίου τε καὶ μέχρι Κελύδνου
Ἄλλη πάλιν, ἄλλα δὲ Μυσίας πέρι.
Ὁ Κλαύδιος γράφει γε συμπεφυρμένα,
Κἀγὼ σὺν αὐτῷ τῇδε τῇ μεταφράσει.
Τῆς Μυσίας δὲ τῆς παρελλησποντίας
Μικρᾶς λαχούσης Μυσίας κλῆσιν φέρειν,
Ὡς πρὸς μέσην ἤπειρον ἡ Σκῆψις πόλις,
Καὶ ἡ ἱερὰ Γέρμη δὲ σὺν αὐτῇ πόλις.
Φρυγῶν δὲ τῆς γῆς, ὧν ἔνι Τρωὰς πόλις,
Τὸν Ἴλιον γίνωσκε πρὸς μέσην χθόνα.
Τῆς δ' αὖ μεγίστης Μυσίας πόλεις μάθε.
Λαγοῦτα πρῶτον, ἥτ' Ἀπόλλωνος πόλις,
Ἔγγιστα πρὸς ῥοῦν Ῥυνδακοῦ τεθειμένη,
Εἶτα Τραϊανοῦ τις καλουμένη πόλις,
Ἀλλύδα καὶ Πρεπένησος, ἥ τε Πέργαμος.
Δῆμοι δὲ Μυσῶν πρὸς μὲν ἀρκτῴαν θέσιν,
Ὅσοι πόδας ναίουσι τοὺς Ὀλυμπίους.
Οἱ Γριμενοθουρῖται δὲ πρὸς δυσμὰς πάλιν,
Ὧν ἡ Τραϊανοῦ τυγχάνει πόλις, πόλις.
Οἱ Πενταδημῖται δὲ πρὸς μεσημβρίαν,
Τῶν ὧν μεταξὺ Μυσοεμμακηδόκες.
Τοιαῦτά φησι πολλαχοῦ πεφυρμένα,
Μυσοὺς ὅπη Δακῶν μὲν ἀγχίστους λέγων
Ἴστρου παρ' ὄχθας καὶ Δανουβείου ῥέους,
Ὅπη δέ φησιν, οἷα τὰ τῇδε γράφει.
Τόποις δ' ἐν ἄλλοις τῆς γραφῆς ἄλλως λέγει.

---

956. Dyrrachium et Epidamnus idem locus sunt, quare Ἐπιδάμνου, quod post καὶ in edit. Bas., etiam in cd. A., ut opinor, legitur, eieci. Tum in contextu cd. A. est καλύδνου, et in marg. ποταμοῦ. Conf. Cellar. Not. O. A. Tom. I. p. 1029.

958. Margo cd. A. ὁ Πτολεμαῖος.

967. Conf. Cellar. l. c. T. II. p. 38.

981. Ita margo pro τὴν γραφήν, quod est in textu.

Κἀγὼ σὺν αὐτῷ τοὺς ἰάμβους συστρέφω,
Κάμπτων, ἑλίσσων, συστροφεῖν ἐναντίαις.

Ἡμᾶς καλεῖν Μυσοὺς δὲ τοὺς Οὔγγρους νόει.
Τοιαῦτα γράψας καὶ τοσαῦτα βιβλία,
(Κἂν οὐ μετεγράφησαν, οἷς νόει τρόποις,
Πρωτοσχεδῆ κεῖνται δὲ καὶ πεφυρμένα)
Συγκλητικοῖς ἄδοξα καὶ ποίοις τότε,
Τοῖς ἐν λόγοις τελοῦσι, μήτοι βαρβάρων,
Χείρων δὲ χοίρων, οἵσπερ ἔκριναν λόγοις.
Ἀνθ᾿ ὧν, πόλις ἄνασσα τῶν πολισμάτων,
Οἰκτρῶς σὲ δισσᾶ καὶ τριπλᾶ καταστένω.
Δέδοικα γάρ, δέδοικα, μή πως βαρβάροις
Λοθῆς ἁλωτὴ καὶ γενήσῃ βαρβάρα,
Ὄνος νέμηθῇ σοι δὲ καὶ χοῖρος τότε,
Τοὺς οὓς ἐτίμας, οὐ κάτοιδα τῷ τρόπῳ.

Ἐκ τῶν ἰάμβων τῶν ἐμῶν ἠκηκόεις,
Τῆς Κλαυδίου τε συγγραφῆς Μυσῶν γένη,
Πόλεις τε τούτων, κἂν λαλῇ πεφυρμένως.
Ἔα τὸ λοιπὸν τὸν νέον γεωγράφον.
CHILIAS XII. Γνωρίσματα γὰρ οὐδαμῶς Μυσῶν λέγει,
Δήμους, πόλεις, ὄρη τε, ῥευμάτων χύσεις,
Καὶ πανταχῇ δὲ τοῦτο ποιεῖ συγγράφων.
Λέγων γὰρ ἕν τι, μυρία παρατρέχει.

---

992. Citat hunc locum Wartonus in notitia scholiorum Theocriti p. XIV. Gaisf.

ΠΕΡΙ ΤΟΥ, ΟΤΙ ΟΥΚ ΗΝ Ο ΓΑΛΗΝΟΣ ΤΟΙΣ ΧΡΟΝΟΙΣ ΤΟΙΣ ΤΟΥ ΣΩΤΗΡΟΣ ΕΝΑΝΘΡΩΠΗΣΕΩΣ, ΠΟΛΛΩι ΔΕ ΚΑΤΩΤΕΡΟΣ, ΕΝ ΤΟΙΣ ΧΡΟΝΟΙΣ ΑΝΤΩΝΙΝΟΥ ΤΟΥ ΚΑΡΑΚΑΛΛΟΥ. ΚΑΙ ΑΠΟΔΕΙΞΙΣ ΤΟΥΤΟΥ, ΕΚ ΤΩΝ ΘΗΡΙΑΚΩΝ ΕΠΩΝ ΑΝΔΡΟΜΑΧΟΥ, ΓΡΑΦΕΝΤΩΝ ΠΡΟΣ ΝΕΡΩΝΑ. τϟζ'.

Ὁ Γαληνὸς ὁ ἰατρὸς, ὅνπερ βοῶσι λόγοι,
Πατρίδα μὲν εὐτύχησε Πέργαμον τὴν πρὸς Τροίαν.
Ἐν χρόνοις Ἀντωνίνου δὲ ἤκμαζε Καρακάλλου.
Υἱὸς δ' ἦν ἀρχιτέκτονος ἀνδρὸς καὶ γεωμέτρου,
Δοκῶ τὴν κλῆσιν Νίκωνος, λέγειν σαφῶς οὐκ ἔχω.
Τίς ἐκ τῶν μωμοσκόπων δὲ ἡμᾶς μὴ αἰτιάσθω.
Ὁ Τζέτζης γὰρ οὐχὶ θεός, ἄνευ βιβλίων γράφων,
Καὶ τότε καὶ περίσπουδα κατ' ἀστραπὴν εἰς τάχος,
Ὡς μηδὲ κλῆσιν παρεᾶν, τόπον, στιγμὴν, κεραίαν.
Πατρὸς μὲν ἀρχιτέκτονός τινος καὶ γεωμέτρου
Παῖς ἦν ὁ Γαληνός. διδάσκαλος δὲ τούτου
Ὁ Πέλοψ ἦν ὁ ἰατρὸς εἰς ἰατρῶν τὴν τέχνην.
Ἔχεις τὸν χρόνον Γαληνοῦ σαφῶς, ἠκριβωμένως.
Εἰ θέλῃς ἐξελέγχειν δὲ τοὺς ἐκ γαστρὸς ληροῦντας,
Καὶ λέγοντας ἰσόχρονον εἶναι Χριστοῦ τοῖς χρόνοις
Ἐξ Ἀνδρομάχου τῶν ἐπῶν τῶν εἰς Θηριακὴν δὲ
Ἔλεγχε τούτους ἀκριβῶς, δείκνυε φληναφῶντας.
Τὰ Ἀνδρομάχου ἔπη γὰρ ὁ Γαληνὸς προφέρει,
Ὡς παλαιτέρου ἑαυτοῦ ὄντος τοῦ Ἀνδρομάχου.
Ἐν χρόνοις δὲ τοῦ Νέρωνος Ἀνδρόμαχος ὑπῆρχεν,
Οἷς χρόνοις ἐμαρτύρησεν ὁ Πέτρος τε καὶ Παῦλος.

HIST. 397.

5. Vide Vitam Galeni praemissam a Kühnio Tom. I. Operum Galeni e pag. XLI.

15. Videtur post ἦν excidisse οὗτος. Versu proximo post ἦν addidi ὁ.

25. Sic locus restitutus e margine cd. A., in quo est τοῦ Νέρωνος ἦ ἐμαρτύρησεν. In contextu est, ut in edit. Basil., δὲ τοῦ ῥῆσιν.

Τὰ ἔπη δὲ σαφέστερον τὸν χρόνον παραστήσει.
Ἐμοῦ δὲ ταῦτα λέγοντος νῦν ἄκουε καὶ μάθε.
„Κλῦθι πολυθρονίου βριαρὸν σθένος ἀντιδότοιο,
„Καῖσαρ, ἀδειμάντου δῶτορ ἐλευθερίης.
„Κλῦθι, Νέρων, ἱλαρήν μιν ἐπικλείουσι γαλήνην.
Ἔγνως, ὡς ὁ Ἀνδρόμαχος ἦν Νέρωνος ἐν χρόνοις,
Ὁ Νέρων δὲ κατώτερος Χριστοῦ τῆς παρουσίας.
Τοῦ Νέρωνος δὲ ὕστερον τὸν Γαληνὸν ἐγνώκεις
Ἐκ τοῦ μεμνῆσθαι τῶν ἐπῶν αὐτοῦ τοῦ Ἀνδρομάχου
Ὡς παλαιτέρου ἑαυτοῦ. λοιπὸν τὸ λεῖπον οἶδας.

ΟΤΙ ΤΑ ΓΡΑΜΜΑΤΑ ΠΑΛΑΜΗΔΗΣ ΕΦΕΥΡΗΚΕ. ΚΑΙ ΑΠΟΔΕΙΞΙΣ ΤΟΥ ΤΖΕΤΖΟΥ, ΟΤΙ ΚΑΙ ΠΡΟ ΠΑΛΑΜΗΔΟΥ ΚΑΙ ΚΑΔΜΟΥ ΗΣΑΝ ΕΛΛΗΣΙ ΓΡΑΜΜΑΤΑ. τηή.

Κατὰ τὸ περιφόρητον καὶ θρυλλητὸν τοῖς πᾶσι
Τὸν Παλαμήδην ἐφευρεῖν τὰ γράμματα εἰρήκειν.
Λέγουσι γὰρ οἱ σύμπαντες, εὑρεῖν τὸν Παλαμήδην
Οὐ τὰ εἰκοσιτέσσαρα γράμματα καὶ στοιχεῖα,
Μόνα δ' ἐκ πάντων δεκαέξ, ἅπερ ἂν γνοίης μόνος,
Ἐν τῷ εἰπεῖν με τὰ λοιπὰ ποίας τὰς κλήσεις ἔχει
Καὶ τίνες τούτων εὕρεταί. καὶ δὴ σαφῶς λεκτέον.
Φασὶ μὲν τὰ ἑκκαίδεκα εὑρεῖν τὸν Παλαμήδην.
Τῶν δὲ δασέων τῶν τριῶν, τοῦ θῆτα, φῖ, καὶ χῖ δε,
Κάδμον φασὶν ἐφευρετὴν τὸν ἀπὸ τῆς Μιλήτου,
Οὐ τὸν ἐκ Τύρου Φοίνικα τὸν Κάδμον τὸν ἐν Θήβαις.
Τριῶν διπλῶν δὲ εὑρετήν, τοῦ ζῆτα, ξῖ καὶ ψῖ δε,
Ἐπίχαρμον εἰρήκασι τὸν ἐκ τῆς Συρακούσης.
Τοῦ ἦτα πάλιν καὶ τοῦ ῶ, τῶν δύο μακρῶν λέγω,
Τὸν Σιμωνίδην λέγουσιν ἐφευρετὴν ὑπάρχειν,
Εἴτε τὸν τοῦ Ἀμόργου δὲ τὸν Σάμιον ἐκεῖνον,

HIST. 398.

36. sqq. Conf. quae de literarum inventoribus leguntur in Bekkeri Anecdotis, Tom. II. p. 781 — 786.

37. Erat ἐφευρῇ.

Εἴτε τὸν Λεωπρέπεος τὸν Κεῖον, οὐ γιγνώσκω·
Ὥσπερ δοκῶ, ἠγνόησαν ἐκεῖνοι Σιμωνίδας
Πολλοὺς ἐν βίῳ εἶναι μέν, οὐχ' ἕνα Σιμωνίδην.
Οὕτω μὲν τὰ ἑκκαίδεκα γράμματα καὶ στοιχεῖα
Τινές φασιν ἐφεύρηκεν αὐτὸς ὁ Παλαμήδης.
Τὰ δὲ ὀκτὼ ἐπίλοιπα οἱ τρεῖς οὓς προειρήκειν,
Ὁ Κάδμος καὶ Ἐπίχαρμος μετὰ τοῦ Σιμωνίδου.
Τὰ δὲ εἰκοσιτέσσαρα γράμματα καὶ στοιχεῖα,
Ὁμοῦ συνηνωμένως τε καὶ ἓν σῶμα φανέντα
Παρὰ Σαμίοις εὕρηκα πρῶτος ἀναγνωσθῆναι,
Διὰ γραμματικοῦ τινὸς τὴν κλῆσιν Καλλιστράτου,
Τῶν συγγραμμάτων πρῶτον μὲν ἐχόντων ἓξ καὶ δέκα,
Εἶτα ἐννεακαίδεκα τὰ σύμπαντα στοιχεῖα,
Καὶ καθεξῆς μέχρις αὐτῶν τῶν εἰκοσιτεσσάρων.
Οὕτω γραμμάτων εὕρεσιν οἱ μὲν τῷ Παλαμήδει,
Οἱ δ' Ἀχιλλέως Φοίνικι παιδαγωγῷ ἐκείνῳ,
Ἄλλοι δ' ἄλλοις προσάπτουσιν, οἱ πλείους δὲ τῷ Κάδμῳ,
Ἀρχαιοτέρῳ τῶν λοιπῶν, ὧνπέρ φασι τελοῦντι.
Ὧνπερ κἀγὼ ἡμάρτανον τοῖς λόγοις πεπεισμένος,
Ὡς ἐν μυρίοις ἀλλαχοῦ καὶ πράγμασι καὶ λόγοις,
Ὅπου πεισθεὶς ὡς παλαιοῖς αὐτοῖς καὶ τεχνογράφοις,
Οὐδόλως ἐξερεύνησα ταῖς Τζετζικαῖς ἐρεύναις,
Ἐν αἷσπερ ἡ ἀλήθεια ἐκ χάους ἀνατρέχει.
Ἀλλ' ἐν ἐρεύναις Τζετζικαῖς τοῦτο τανῦν δεικτέον,
Ὡς οὔτε Παλαμήδης μὲν τὰ γράμματα ἐφεῦρεν,
Οὔτε ὁ Φοίνιξ πρὸ αὐτοῦ, ἀλλ' οὐδ' αὐτὸς ὁ Κάδμος.
Πρὸ Παλαμήδους Ὅμηρος καὶ Φοίνικος γὰρ λέγει
Περὶ τοῦ Προίτου τοιαδὶ διὰ Βελλεροφόντην·
„Κτεῖναι μέν ῥ' ἀλέεινε, σεβάσσατο γὰρ τόγε θυμῷ,
„Πέμπε δέ μιν Λυκίηνδε, πόρεν δ' ὅγε σήματα λυγρά,
„Γράψας ἐν πίνακι πτυκτῷ θυμοφθόρα πολλά·
„Δεῖξαι δ' ἠνώγει ᾧ πενθερῷ, ὄφρ' ἀπόλοιτο.

---

79. Iliad. VI, 167. sqq.

Ἔγνως ἰδοὺ τὰ γράμματα ὄντα πρὸ Παλαμήδους
Καὶ πρὸ αὐτοῦ τοῦ Φοίνικος ἐκ τῶν ἐπῶν Ὁμήρου,
Τοῦ τῶν Ἑλλήνων τε αὐτῶν πολέμου καὶ τῶν Τρώων.
Ἐκ τοῦ Βελλεροφόντου γὰρ Ἱππόλοχος ἐξέφυ,
Ἐξ Ἱππολόχου Γλαῦκος δὲ ὁ Διομήδους φίλος.
Οὕτω ψευδεῖς ἐδείξαμεν, οἳ λέγουσι γραμμάτων
Τὸν Παλαμήδην εὑρετὴν καὶ Φοίνικα ὡσαύτως.

Καὶ τοὺς τὸν Κάδμον λέγοντας ἐφευρετὴν γραμμάτων
Ἄκουε νῦν πῶς δείξομεν ὄντας τῶν ψευδηγόρων.
Γραμμάτων ὅσοι λέγετε ἐφευρετὴν τὸν Κάδμον,
Ἀκούετε πῶς ψεύδεσθε, ὥσπερ ὁ Τζέτζης λέγει,
Ὁ ἀμαθής, ὁ ἀδαής, ὁ ἄπορος ἐν λόγοις,
Ὁ ἐξελέγχειν μηδαμῶς δυνάμενος ἀνθρώπους,
Τοὺς ψευδομένους ἅπαντας καὶ τῶν ἀληθευόντων,
Κἂν πρὸ ἐτῶν ἐτύγχανον τῶν ἑξακισχιλίων,
Καὶ τῶν ἑξακοσίων δὲ καὶ τούτων περαιτέρω.
Τῷ Κάδμῳ τούτῳ ᾧ φατὲ οὗτός φησιν ὁ Τζέτζης,
Πρώτως ἐκ τῆς Φοινίκης μὲν ἐλθόντι πρὸς Ἑλλάδα,
Καὶ περὶ τῆς Εὐρώπης δὲ τῆς ἀδελφῆς χρωμένῳ
Οὗτος ἐδόθη ὁ χρησμὸς Δελφῶν ἐκ χρηστηρίου,
Ἑλληνικαῖς ταῖς χρήσεσι καὶ γλώσσῃ τῇ Ἑλλάδι.
Κἂν χαριζόμενος ὑμῖν καὶ τοῦτο συγχωρήσω,
Φοινίκων γλώσσῃ τὸν χρησμὸν τότε δοθῆναι Κάδμῳ,
Μεταφρασθῆναι δ' ὕστερον εἰς γλῶσσαν τὴν Ἑλλάδα.
Καὶ οὕτω πάλιν ψεύδεσθε. ἦσαν γὰρ καὶ πρὸ Κάδμου
Χρησμοί τε καὶ τὰ γράμματα. ἂν δέ γε καὶ Ἑλλήνων,
Ὡς δείξει πάντως ὁ χρησμός, πόσον ἐστέ μοι ψεῦσται;
Καὶ δὴ ἀκούετε χρησμοῦ τοῦ Κάδμῳ δεδομένου.
„Φράζεο δὴ τὸν μῦθον, Ἀγήνορος ἔκγονε Κάδμε·
„Ἠοῦς ἐγρόμενος προλιπὼν ἴθι Πυθὼ δῖαν,
„Ἠθάδ' ἔχων ἐσθῆτα καὶ αἰγανέην μετὰ χερσί.
Καὶ τὰ λοιπὰ δὲ τοῦ χρησμοῦ, ἅπερ μαθεῖν τις χρῄζων,

---

92. Erat δείξωμεν.

Καὶ ὅσα ἄλλα ἕτερα ἐθέλοι τις μανθάνειν,
Εἰ ἀπὸ στήθους οἴδαμεν λέγειν, σαφῶς πειράσθω,
Πάντα δὲ νῦν οὐ γράφομεν, φειδόμενοι τοῦ χάρτου.
Τέως ψευδεῖς ἐδείξαμεν πάντας λαμπροῖς σημείοις,
Ὅσοι γραμμάτων εὑρετὰς λέγουσι πεφυκέναι
Τὸν Παλαμήδην, Φοίνικα καὶ Κάδμον καὶ τοιούτους.
Οἷς πρὶν κἀγὼ πειθόμενος ἐλήρουν ὡς ἐκεῖνοι,
Ὡς καὶ ἐν ἄλλοις ἅπασιν, ἅνπερ οὐκ ἐξητάκειν
Ἐν ἀλαθήτοις λογισμοῖς καὶ Τζετζικῷ τῷ τρόπῳ.

ΠΕΡΙ ΤΩΝ ΕΝΙΑΥΤΩΝ, ΩΝ ΦΗΣΙ ΜΕΤΩΝ Ο ΑΣΤΡΟΛΟΓΟΣ, Ο ΠΑΥΣΑΝΙΟΥ ΥΙΟΣ. τϟθ′.

Ὁ Μέτων Ἀθηναῖος ἦν, υἱὸς τοῦ Παυσανίου.
Ἦν ἐν Ὀλυμπιάδι δὲ ὀγδοηκοσθεβδόμῃ·
Ἄριστος ἀστρολόγος δὲ τελῶν ὑπὲρ τοὺς πάντας,
Πάντων πρῶτος, ὡς λέγουσι, τῶν ἄλλων ἀστρολόγων.
Περὶ ἁπάντων ἔγραψεν, ὡς ψεύδονται κἀνταῦθα,
Τὰς ἐννεακαιδεκετηρίδας τε, καὶ δὴ καὶ ἄλλα.
Ὅτι κἀνταῦθα δέ φασι τοὺς λόγους ἐψευσμένους,
Λέγοντες ταῦτα πρώτιστον τούτων εὑρεῖν τῶν ἄλλων,
Τῶν ἐλεγμῶν νῦν ἄκουε, οὕσπερ ὁ Τζέτζης φέρει,
Ἐλέγχων τούτους ὡς ψευδῆ γράψαντας οὐκ ὀλίγοις.
Λέγει γὰρ πρῶτον Ἄτλαντα γενέσθαι ἀστρολόγον,
Ἐν χρόνοις τοῦ Ὀσίριδος, τοῦ Νῶε, Διονύσσου,
Ὁπότε ἦν καὶ Ἡρακλῆς Αἰγύπτιος τῷ γένει,
Ὅσπερ ἀπὸ τοῦ Ἄτλαντος ἄστρων ἐσχήκει τέχνην.
Ἐῶ φησὶ τὸν παλαιὸν τὸν Ἄτλαντα ἐκεῖνον.
Ὁ Ἄτλας ὁ παρ' Ἕλλησιν, ὁ Λίβυς ἀστρολόγος,
Ἀφ' οὗ ὁ Ἕλλην Ἡρακλῆς παρέλαβε τὴν τέχνην,
Οὐκ ἦσαν παλαιότεροι τοῦ Μέτωνος εἰς χρόνον;
Οὐκ ἔγραψαν καὶ οὗτοι δὲ περὶ ἀστρολογίας;

HIST. 399.
125. De Metone vid. etiam Plut. Vit. Alcib. 17. et Niciae 13.

Κἂν συγχωρήσωμεν αὐτοὺς μὴ γράψαι περὶ τούτων,
Ὀρφεὺς ὁ μέγας, σύγχρονος ὑπάρχων Ἡρακλεῖ,
Γράψας ἐφημερίδας τε καὶ δωδεκατηρίδας
Καὶ περὶ ἄλλων ἀκριβῶς, ἐλέγχει τούτους ψεύστας.
Καὶ τῶν ἐφημερίδων μὲν Ὀρφέως ἀρχὴ τόδε·
„Πάντ' ἐδάης, Μουσαῖε θεόφραδες, εἰ δέ σ' ἀνώγει
„Θυμός, ἐπωνυμίας μήνης κατὰ μοῖραν ἀεῖσαι,
„Ῥεῖά τοι ἐξερέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν.
Τῶν δωδεκετηρίδων δὲ ἡ καταρχὴ τοιάδε·
„Δεῦρό νυν οὔατά μοι καθαροὺς ἀκοάς τε πετάσσας,
„Κέκλυθι τάξιν ἅπασαν, ὅσην τεκμήρατο δαίμων,
„Ἔκ τε μιῆς νυκτός, ἠδ' ἐξ ἑνὸς ἤματος αὔτως.
Ἐῶ καὶ τὸν Ὀρφέα δέ, εἰ θέλουσιν ἐκεῖνοι.
Ὁ Ὅμηρος ὁ πάνσοφος οὐκ ἦν ἐν ἀστρολόγοις;
Οὐκ ἐν μυρίοις ἔγραψε τόποις περὶ τοιούτων,
Λέγων κατ' ἔπος τὰ ῥητὰ ἃ νῦν αὐτὸς ἐνθήσω;
„Ἐν μὲν γαῖαν ἔτευξ', ἐν δ' οὐρανόν, ἐν δὲ θάλασσαν,
„Ἐν δὲ τείρεα πάντα, τά τ' οὐρανὸς ἐστεφάνωται,
„Πληϊάδας θ', Ὑάδας τε, τό τε σθένος Ὠρίωνος.
Ἡσίοδος ὁ πρότερος κατά τινας Ὁμήρου,
Κατά τινας δ' ἰσόχρονος, ὕστερος καθ' ἑτέρους,
Κατὰ ἡμᾶς τὸν Τζέτζην δέ, τὰς τζόχας μοῦ τὰς μίας,
Ὀλίγον ὑστερούτζικος χρόνοις τετρακοσίοις,
Οὐ γράφει βίβλον ἀστρικήν, ἧς τὴν ἀρχὴν οὐκ οἶδα,
Ἐν μέσῳ τοῦ βιβλίου δὲ τὰ ἔπη κεῖνται ταῦτα;
„Φαισύλη ἠδὲ Κορωνὶς ἐϋστέφανός τε Κλέεια,
„Φαιώ θ' ἱμερόεσσα καὶ Εὐδώρη τανύπεπλος,

---

149. In Orphicorum editione Hermanni p. 494.

160. Iliad. XVIII, 483. sqq.

162. Cd. A. ὠρΐωνος.

165. Margo cd. A. τζαγγάριον. Meursius τζόχας interpretatur *calculos*. E margine cd. A. in marginem edit. Basil. haec verba sunt transscripta: Τζοχας et ὑστερούτζικος sua quadam formula dicit, ut alibi πετρομαχασκοπάπουτζον, et τζαγγάριον.

168. Ἐν pro οὐ e cd. A.

169. Hesiodi fragm. LX. ed. Gaisf. p. 193. Ibi ultima sic se habent: ἃς Ὑάδας καλέουσιν ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων.

„Νύμφαι, ὡς Ὑάδας καλέουσι φῦλ' ἀνθρώπων.
Καὶ ἐν τῇ βίβλῳ ἡμερῶν ἀστρολογεῖ δὲ πόσα.
Πῶς οὖν πρὸ τούτων εὕρηκε Μέτων ἀστρολογίαν,
Τοῦ παλαιοῦ μὲν Ἄτλαντος πρὸ Ἄτλαντος ὑστέρου
Ἓξ τε καὶ τεσσαράκοντα γοναῖς τελοῦντος πρώτου,
Ἄτλαντος τοῦ προτέρου δὲ πρώτου πρὸς Ἡρακλέα
Ὅλαις τρισὶ ταῖς γενεαῖς, ᾧπερ ἰσοῦσι τοῦτον,
Εἴτε καὶ ὡς διδάσκαλον εἰσφέρουσιν ἐκείνου;
Καὶ ὁ Ὀρφεὺς ἰσόχρονος τῷ Ἡρακλεῖ ὑπῆρχε,
Πρὸ χρόνων ὄντες ἑκατὸν τοῦ Τρωϊκοῦ πολέμου.
Ὡς δὲ Ὀρφεὺς ἐν λιθικοῖς περὶ αὐτοῦ μοι λέγει,
Ἑλένου τι βραχύτερον ὕστερον εἶναι λέγει,
Τούτου μιᾷ δὲ γενεᾷ Ὅμηρος ὑστερίζει,
Ὁ κατὰ Διονύσιον ἄνδρα τὸν κυκλογράφον
Ἐπὶ τῶν δύο στρατειῶν λεγόμενος ὑπάρχειν,
Θηβαϊκῆς, Ἑλλήνων τε τῆς διὰ τὴν Ἑλένην.
Διόδωρός τε σύντροχα λέγει Διονυσίῳ,
Καὶ ἕτεροι μυρίοι δέ, οἷς εἵπετο καὶ Τζέτζης,
Ἕως Ὀρφέως ἤκουσε περὶ αὐτοῦ λαλοῦντος,
Ὡς ἔστι τι βραχύτερος πολέμου τοῦ τῶν Τρώων.
Ὁ δ' Ἀπολλόδωρός φησι τὸν Ὅμηρον ὑπάρχειν
Μετ' ἔτη ὀγδοήκοντα πολέμου τοῦ τῶν Τρώων,
Ὁπότε καὶ ἡ κάθοδος Ἡρακλειδῶν ὑπῆρχεν,
Εἰς τὴν Ὀλυμπιάδα δὲ τὴν πρώτην ἐκ καθόδου
Ὀκτὼ καὶ τριακόσια καὶ εἴκοσι τὰ ἔτη.
Κατὰ τὴν ἑνδεκάτην δὲ ἦν τῶν Ὀλυμπιάδων
Ἡσίοδος φαινόμενος ἀκμάζων ἐν τῷ βίῳ,
Ἑβδομηκοντατέσσαρα σὺν τοῖς τριακοσίοις
Ἔτη Ὁμήρου ὕστερος, ἄνευ μηνῶν γε δύο.
Ὁμήρου τόσον ὕστερος. ἂν Ὅμηρον οὐ λέγῃς,
Ἐπὶ τῶν δύο στρατειῶν, Θηβαϊκῆς καὶ Τρώων,

---

174. Quum vetustus Atlas Atlantem posteriorem antecederet quadraginta sex aetatibus, Atlas autem prior Herculem antecederet integris tribus aetatibus?

182. Margo cd. A. τῆς μάχης.

Λέγῃς δ' αὐτὸν ἰσόχρονον Ἡρακλειδῶν καθόδῳ.
Ἂν δὲ ταῖς δύο ταύταις μοι τὸν Ὅμηρον ἰσώσῃς,
Καὶ ἑκατὸν πεντήκοντα πλείονα ἔχεις ἔτη,
Καὶ ἔτι ὑποβίβασον Ἡσίοδον ἐς πλέον.
Ἡσίοδον ἀκούων δὲ ἰσόχρονον Ὁμήρου,
Ἢ τὸν Φωκέα Ὅμηρον τοῦ Εὔφρονός μοι νόει,
Εἴτε καὶ τὸν Βυζάντιον υἱὸν τοῦ Ἀνδρομάχου,
Τοῦ Ἀνδρομάχου καὶ Μυροῦς τῶν ποιητῶν τὸν παῖδα.
Τοσοῦτον μὲν Ἡσίοδος ὕστερος ὢν Ὁμήρου,
Τοῦ Μέτωνος δὲ πρότερος ἐνιαυσίοις κύκλοις
Τριακοσίοις δεκαὲξ σύν γε μηνῶν ὀκτάδι.
Πῶς οὖν ἁπάντων ὕστερος τούτων τελῶν ὁ Μέτων
Λέγεται πρῶτος συγγραφὴν ἀστρονομίας γράψαι;
Ληροῦσιν ὅσοι λέγουσι τοιαῦτα περὶ τούτου.
Ἄριστος πάντων δὲ τελῶν αὐτὸς τῶν ἀστρολόγων,
Ὡροσκοπήσας ἀκριβῶς, κρατήσας τε ἀστέρας,
Περὶ τῆς κόσμου εἴρηκε τοιαῦτα συντελείας.
Βραχὺς τοῦ μακροχρόνου μὲν χρόνος ἐστὶν ἀνθρώπου
Εἰς τὸ ἐπεξαρκέσαι μοι, ἂν ἀριθμεῖν θελήσω,
Ἐν μυριάσι τῶν ἐτῶν πόσαις συντελεσθείη
Οὗτος ὁ κόσμος ὁ τερπνὸς, ὁ κόσμος ὁ ὡραῖος,
Πάντως συντελεσθείη δὲ, ὅταν ἑπτὰς πλανήτων
Πρὸς τὸν ὑδρόχουν ἔλθωσιν οἶκον ὁμοῦ τοῦ Κρόνου.
Οὕτως ὁ Μέτων εἴρηκε, παῖς ὁ τοῦ Παυσανίου.
Σοφοί τινες δ' ἐποίησαν ἐντεῦθεν παροιμίαν,
Κατὰ τοὺς Μέτωνος αὐτοῦ ἐνιαυτοὺς εἰπόντες·
Τουτέστι βραχυχρόνιον, ἐκ τῶν ἐτῶν ἐκείνου.
Τὰ δ' ἀμαθῆ καθάρματα, τὰ ληροσχεδοπλόκα,
Ἅπερ κατεβαρβάρωσαν τὴν τέχνην τῶν γραμμάτων,
Ταῖς βίβλοις μὴ προσέχοντες, ἐν αἷς παντοῖος ὄλβος,

---

214. Cd. A. in marg. ἀστρολογίας.

223. Etiam cd. A. ut edit. Bas. σκοτελεσθείη. Non dubium, quin, συντελεσθείη, genuinum sit. In margine est πάντως τε, ἢ πάντοσε.

Ὡς νέκταρ δὲ σιτούμενοι κοπρίας τὰς δυσόσμους
(Ἀγγέλων γὰρ οὐ θέλουσιν ἄρτον φαγεῖν οἱ χοῖροι)
Τῷ γράφειν τὰ ληρήματα καὶ χαίρειν φλυαρίαις.
Ἡμέραις κάθηται ταῖς νῦν γλυκύς τε καὶ ἡδύς μοι.
Πρὸς ἴμπρω ἀπεδήμησας, τζοῦ τζούτζου δ' οὐ παρέκ,
Οἱ πέντε ἄνδρες μοι ἐχθροὶ ζῶντές εἰσιν, ὦ φίλοι,
Ὁ δ' ὕπνος καὶ ὁ κάπνος τε, καὶ ἄλλας ληρῳδίας. —
Τὰ δ' ἀμαθῆ καθάρματα ταῦτα, τὰ κοπροφάγα,
Ἐρωτηθέντα τοῖς αὐτοῖς φοιτῶσι παιδαρίοις,
Τίνες τοῦ Μέτωνός εἰσιν ἐνιαυτοὶ καὶ τἄλλα,
Μισοῦντες τὰς διφθόγγους τε πάσας καὶ τὰς τριφθόγγους
Καὶ τὰς διχρόνους σὺν αὐταῖς καὶ τοὺς κανόνας πάντας
Καὶ πάντων τῶν βιβλίων δὲ πάσας τὰς ἀναγνώσεις,
Ὅπερ ἡ βάρβαρος ψυχὴ τούτοις ἀνατυπώσει,
Τοῖς μειρακίοις λέγουσι. ταῦτα δ' ἠπατημένα,
Τὰ τῶν βαρβάρων γράφουσι λογύδρια ταῖς βίβλοις,
Ταύτας ποιοῦντες ἐν αὐτοῖς Αὐγείου κοπρεῶνας.
Οὕτω περὶ τοῦ Μέτωνος, καὶ περὶ ἄλλων πόσων.
Καὶ ἐκ σοφῶν μὲν γίνονται συγχύσεις, πλὴν βραχεῖαι,
Ἐκ δὲ βαρβάρων βόρβοροι πληροῦντες δυσοσμίας.
Ἐγὼ δὲ νῦν τοὺς Μέτωνος ἐνιαυτοὺς εἰρηκειν,
Καὶ μετρικῶς συνέγραψα τῇ κόσμου ἱστορίᾳ,
Ἰάμβῳ μέτρῳ τεχνικῷ, κἂν ἀτελῆ καὶ ταύτην
Ἀφῆκα, βλέπων σύμπαντας τὸν τεχνικὸν μισοῦντας,
Τὰ βάρβαρα δὲ στέργοντας. ὢ συμφορᾶς ἐσχάτης.
Τέως τοὺς περὶ Μέτωνος λέξωμεν νῦν ἰάμβους.
Διόδωρος καὶ Ἔφορος καὶ πάντες χρονογράφοι,
Ὁπόσοι ὑπερέχουσι τῶν ἄλλων χρονογράφων,
Περὶ τῆς ἀρχαιότητος Ἑλλήνων καὶ βαρβάρων,
Ὁποῖοι ἀρχαιότεροι, ἐδίσταξαν μεγάλως.

---

235. Cd. A. ut editio εἰδοῖς. E marg. edit. recepi ἡδύς. Hoc versiculo videtur Tzetzes indicare, his ipsis diebus sedere domi quendam scribentem nugas. Per ironiam eum appellat suavem sibi et dulcem.

236 — 38. Haec quae scripta sunt a Tzetza adversariorum

Ἐγὼ δὲ δείξας ἀκριβῶς προτέρους τοὺς βαρβάρους,
Λέγοι πρὸς τὸν Διόδωρον τάδε κατ' ἔπος οὕτω·
Ἕλληνας, οἷς ἔγραψα, καὶ Τρώων γένος
Ἔδειξα πάντως ὑστεροῦντας βαρβάρων.
Καί, Διόδωρε, λοιπὸν αὐτοῖς μοι λέγε,
Μὴ βαρβάροις Φοίνιξι, τοῖς Αἰγυπτίοις,
Ἀντιστατοῦντας εἰς χρόνους κινεῖν λόγους.
Ἐγὼ δὲ καὶ γὰρ εἰς στενὸν συνεσχέθην,
Τῶν Ἀρχιμήδους μηχανῶν χρείαν ἔχω,
Καὶ Ψαμμιτίχου τῆς φρενὸς πολλῷ πλέον
Κρίσιν πρὸς αὐτὴν τοῦ τε Χαλδαίου γένους
Καὶ τῆς γονῆς ἅμα δὲ τῶν Αἰγυπτίων.
Ἔρις γὰρ ἀμφοῖν καὶ κεκίνηται στάσις
Περὶ παλαιότητος αὐτῶν τοῦ χρόνου.
Καί με κριτὴν καλοῦσι καὶ κρίνειν δέον.
Ἐπεὶ δὲ δυσχέρεια πολλὴ καὶ βία
Τἀληθὲς εἰπεῖν καὶ νοῆσαι τὸ πρέπον·
Οὐδὲν γὰρ αὐτοὶ τῶν σαφῶν τεκμηρίων
Λέγουσιν εὐπρόσωπον εἰς πίστιν λόγου,
Χρόνους δὲ τοὺς Μέτωνος εἰσάγουσί μοι,
Χρόνους ἀριθμὸν δακτύλων πεφευγότας·
Ὡς γὰρ ἐκεῖνος ἄκρος ὢν ἄστρων λόγοις,
Ὡροσκοπήσας καὶ κρατήσας ἀστέρας,
Εἶπε φθαρθῆναι κοσμικὴν πᾶσαν κτίσιν,
Ὁιάνπερ ἑπτὰς ἀστέρων πλανωμένων
Εἰς οἶκον αὐτοῦ φθαρτικοῦ ψυχροῦ Κρόνου
Ὁμοῦ συνεισδράμωσιν εἰς τὸν ὑδρόχουν,
Βραχὺς δὲ παντός ἐστιν ἀνθρώπου βίος
Εἰς τοὺς ἀριθμοὺς ὧν λέγω φησὶ χρόνων.
Οὕτω δὲ καὶ νῦν Χαλδαίων, Αἰγυπτίων
Ἅπαν γενῶν σύστημα μηδέν τι λέγον

---

ipsius sugillandorum causa, summa laborant obscuritate.
271. Ante τῆς omisi δέ. In fine erat πλέων.
291. Erat Χαλδαϊκῶν.

Σαφές, διαρκὲς εἰς ἐπίκρισιν λόγου,
Χρόνους ἐπεισφέρουσιν οὐ μετρουμένους.
Κἀκ τῶν δ' ἐφευρεῖν πῶς δοκοῦσι τὴν κρίσιν;
Ταυτὶ περὶ τοῦ Μέτωνος εἰρήκειμεν τῶν χρόνων.

ΠΕΡΙ ΙΚΕΤΗΡΙΑΣ ΔΙΑΦΕΡΟΥΣΗΣ ΠΡΟΣ ΙΚΕΣΙΑΝ, ΩΣ ΤΟ ΑΙΤΕΙΝ ΚΑΙ ΑΙΤΕΙΣΘΑΙ. υ'.

Ἱκετηρία μέν ἐστιν, ἄν τις ποιῇ δεήσεις,
Εἰκόνα φέρων ἐν χερσίν, ἢ κλάδον ἢ λαμπάδα,
Εἴτε καὶ χάρτην ἔγγραφον ἔχοντα τὰς δεήσεις.
Ἡ ἱκεσία δὲ ἁπλῶς παράκλησις ἐν λόγοις.
Αἰτεῖν καὶ τὸ αἰτεῖσθαι δὲ ἐν τούτῳ διαφέρει.
Αἰτεῖν κυρίως λέγομεν ἐπὶ ἀναποδότων,
Ἅπερ οὐκ ἀντιστρέφονται, ὡς κίχρησις ἢ δάνος·
Ἐπ' ἀντιστρεφομένων δὲ λέγομεν τὸ αἰτεῖσθαι.
Οὐ πῦρ αἰτῶ γὰρ λέγομεν, οὐδὲ λοιπὰ δ' αἰτοῦμαι.

ΠΕΡΙ ΑΛΥΠΟΥ ΕΥΔΑΙΜΟΝΟΣ ΒΙΟΥ. υα'.

Τῷ βίῳ τῷ εὐδαίμονί τι λυπηρὸν οὐκ ἔνι.
Ἂν λυπηρὸν γὰρ ἔχῃ τι, οὐ πέφυκεν εὐδαίμων.
Ἀντὶ δὲ τοῦ γλυκύπικρον οὐ θέλω βίον ἔχειν,
Φαμὲν ἐν παρακλήσεσι καταχρηστικωτέρως,
Οὐ θέλω βίον λυπηρὸν εὐδαίμονα κεκτῆσθαι.
Καὶ Εὐριπίδης δέ φησιν ἐν δράματι Μηδείας·
Μή μοι γένοιτο λυπρὸς εὐδαίμων βίος,
Μηδ' ὄλβος ὅστις τὴν ἐμὴν κνίζοι φρένα.

HIST. 400.

305. Sensus est: *non enim dicimus* π ῦ ρ αἰτῶ, *neque reliqua, sed* αἰτοῦμαι. Notanda sedes particulae δέ.

HIST. 401.

311. Med. v. 585. sq.

ΠΕΡΙ ΒΑΣΑΝΟΥ ΚΑΙ ΚΟΛΟΦΩΝΙΟΥ ΧΡΥΣΟΥ. υβ'.

Βάσανος λίθος μέλαινα, δοκιμαστὴς χρυσίου·
Χρυσὸς δὲ κολοφώνιος ἐξ ὄρους τῆς Ἀσίας.
Τῷ Κολοφῶνι τούτῳ δὲ τῷ ὄρει τῆς Ἀσίας
Χρυσὸς γεννᾶται κάλλιστος πάντων τῶν γῆς Ἑλλάδος.
Ἐξ οὗ καλεῖται κολοφὼν πᾶν τὸ τινῶν πρωτεῦον.

ΠΕΡΙ ΠΕΙΡΙΘΟΟΥ ΤΕ ΚΑΙ ΘΗΣΕΩΣ. υγ'.
(ἣ προεγράφη.)

Ἡ περὶ τοῦ Πειριθόου τε καὶ περὶ τοῦ Θησέως
Εἰς πλάτος ἱστορία σοι πρότερον προεγράφη.
Ὀγδόην ταύτην ἔχεις δὲ πίνακι τῷ δευτέρῳ.

ΙΣΤΟΡΙΑ Η ΛΕΓΟΥΣΑ, ΑΡΓΥΡΟΝ ΤΕ ΤΟΝ ΕΞ ΑΛΥΒΗΣ ΚΑΙ ΑΙΓΥΠΤΙΟΝ ΚΑΙ ΤΟΝ ΙΝΔΟΝ ΚΑΙ ΜΥΡΜΗΚΙΑΝ ΧΡΥΣΟΝ, ΙΣΤΟΡΙΑΙ ΤΡΕΙΣ ΑΝΤΙ ΜΙΑΣ. υδ'.

Ἀλύβη πόλις ἄριστον τὸν ἄργυρον γεννῶσα,
Ὡς ὁ χρυσοῦς κατέλεξεν Ὅμηρος Βοιωτίᾳ,
„Τηλόθεν ἐξ Ἀλύβης, ὅθεν ἀργύρου ἐστὶ γενέθλη.
Ἀλύβας δ' ἡ Μετάποντος πόλις τῆς Ἰταλίας.
Πάντων χρυσῶν Ἑλληνικῶν ὁ Κολοφῶνος κρείττων,
Ὁ Αἰγυπτίων κρείττων δὲ καὶ τοῦ Κολοφωνίου.
Οὐ μόνον ψῆγμα γὰρ μικρὸν εὑρίσκεται καὶ ἄμμος,
Ἀλλὰ καὶ βῶλοι, ἔγγιστα μεγέθους ἐρεβίνθων.
Ὁ μυρμηκίας δὲ Ἰνδὸς ἁπάντων ὑπερφέρει.
Μύρμηκες χρυσωρύχοι γὰρ μέγεθος ἀλωπέκων
Τοὺς φωλεοὺς τοὺς ἑαυτῶν ἔχουσι χρυσοσώρους.
Σάκκους λαβόντες δ' οἱ Ἰνδοὶ καὶ δρομικὰς καμήλους,
Πώλους ἐχούσας νεογνούς, τοὺς πώλους μὲν λιπόντες,

HIST. 404.
324. Il. II, 857.
330. Herodot. III, 102.

Αὐτοὶ μόναις ὁδεύουσιν ἐκεῖσε ταῖς καμήλοις.
Ταῖς δὲ νυξὶν ὁδεύουσι, πτοούμενοι τοὺς γρῦπας.
Τοὺς σάκκους δὲ πληρώσαντες, ἄξαντες τὰς καμήλους,
Φεύγουσι, διωκόμενοι τοῖς μύρμηξιν ἐκείνοις.
Αἱ κάμηλοι τῷ πόθῳ δὲ τῶν πώλων τῶν οἰκείων
Τρέχουσι συντονωτέρως καὶ φεύγουσιν ἐκείνους.

ΠΑΡΟΙΜΙΑ Η ΛΕΓΟΥΣΑ, ΟΥΚ ΕΠ' ΑΓΟΡΑΣ ΕΠΙΞΤΑΛΩι ΤΩι ΠΙΝΑΚΙ. υέ.

Πρὸ τῆς χαρτῶν εὑρέσεως οἱ γράφοντες τοὺς νόμους
Ἐν ματρικίοις ἔγραφον, ἤτοι σανίσι ξύλοις,
Καὶ ἐπὶ μέσης ἀγορᾶς ἀνήρτων τὰς σανίδας,
Ὥσπερ τανῦν οἱ ὕπαρχοι ποιοῦσι τοῖς ὠνίοις.
Γραμματικὸς δ' Ἀρίσταρχος ὑπάρχων Πτολεμαίου
Ἔπεισε πρῶτος γράμματα χάρταις εἰς Ῥώμην πέμπειν.
Ὁ τοῦ Ἀττάλου ἔπειτα γραμματικὸς ἐφεῦρεν,
Ἐκ τούτου τάχα ὁρμηθείς, τὰς χάρτας τὰς μεμβράνας.

ΠΕΡΙ ΤΟΥ, ΕΠΙ ΧΡΥΣΑΙΣ ΔΕ ΨΥΧΗΣ ΚΥΡΒΕΣΙΝ. υϛ'.

Οἱ ἄξονες τετράγωνοι, τρίγωνοι δὲ αἱ κύρβεις.
Εἶχον δὲ οἱ μὲν ἄξονες νόμους τοὺς ἰδιώτας·
Αἱ κύρβεις εἶχον νόμους τε τοὺς περὶ δημοσίων,
Στρατηγιῶν τε καὶ ἀρχῶν καὶ ἱεροποιΐας,
Καὶ εἴ τι τοιουτότροπόν ἐστι τῶν δημοσίων.
Καὶ ἔτι οἱ μὲν ἄξονες ὑπῆρχον ἀπὸ ξύλων,
Αἱ κύρβεις ἦσαν δὲ χαλκαῖ, οὐ μέν τι ἀπὸ ξύλων.
Εὗρον δ' αὐτὰς Κορύβαντες, ὅθεν καλοῦνται κύρβεις,

HIST. 405.

442. *Ματρίκιον*, *matricula*, sic dicta, quod in ligno plano et latiori, quod *materiem* proprio vocabulo veteres appellabant, catalogi describerentur. Unde apud Cedrenum *Ματρίκιον* definitur *τὸ πλατὺ ξύλον καὶ παχύ*. Vid. Dufresn. s. h. v. De Solonis *ἄξοσι* vid. Plutarch. in eius vit. c. 25. et Diog. Laert. II, 45.

348. Etiam *μεμβράνη*. Vid. Dufresn. s. h. v. *χάρτης* autem alias generis masculini.

Θεόπομπος ὡς ἔγραψε τῷ περὶ εὐσεβείας·
Ἢ ὅτι κεκορύφωνται ἄνω τε καὶ πρὸς ὕψος.

ΠΩΣ ΕΠΙ ΜΟΝΗι ΤΗι ΑΡΙΣΤΟΠΑΤΕΙΡΗι ΟΙ ΕΛΛΑΝΟΔΙΚΑΙ ΤΟΝ ΝΟΜΟΝ ΤΩΝ ΟΛΥΜΠΙΩΝ ΠΑΡΕΒΗΣΑΝ. ΚΑΙ ΤΙΝΕΣ ΟΙ ΕΛΛΑΝΟΔΙΚΑΙ. νζ΄.

Τὴν ἱστορίαν ἔχεις μὲν τῆς Ἀριστοπατείρης
Πλατέως γεγραμμένην σοι ταῖς πρώην ἱστορίαις·
Εἰς εἰκοστὸν καὶ τρίτον δὲ ταύτην εὑρήσεις τόπον
Ἄρτι καλῶς δὲ μάνθανε, τίνες ἑλλανοδίκαι.
Ἑλλανοδίκας νόει μοι τοὺς πρὶν διατιθέντας
Τὴν Ὀλυμπίων ἑορτὴν καὶ τὸν ἀγῶνα τοῦτον.
Θέατρον πανελλήνιον ἦν γὰρ ἡ Ὀλυμπία.
Οἱ τοῦ ἀγῶνος τούτου δὲ τὰς κρίσεις ἐφορῶντες
Ἑλλανοδίκαι σύμπασιν ἐλέγοντο, ὡς ἔφην.
Ἦσαν ἑλλανοδίκαι δὲ ἐκ τῶν Ἀμφικτυόνων,
Οἱ Αἰτωλοὶ δὲ μάλιστα καὶ σὺν αὐτοῖς Ἠλεῖοι.
Ἦσαν ἑλλανοδίκαι δὲ οἱ Αἰτωλοὶ τοιῷςδε.
Ὁ Ἡρακλῆς ὁ μέγας γὰρ ἀπαίρων ἐξ ἀνθρώπων
Τῷ Αἰτωλῷ κατέλιπεν Ὀξύλῳ τὸν ἀγῶνα
Οἰκονομεῖν, διευθετεῖν, πᾶν περὶ τούτου κρίνειν.
Ἐξ οὗ μετῆν τοῖς Αἰτωλοῖς τῆς ἑλλανοδικίας.

ΠΩΣ ΚΑΙ ΛΑΚΩΝΕΣ ΕΠΙ ΜΟΝΩι ΒΡΑΣΙΔΑι ΤΟΝ ΡΙΨΑΣΠΙΔΩΝ ΝΟΜΟΝ ΠΑΡΕΒΗΣΑΝ. νή.

Κτείνεσθαι τοὺς ῥιψάσπιδας καὶ τοὺς λειποτακτοῦντας
Νόμος ὑπῆρχε Λάκωσιν, οἶμαι δὲ τοῦ Λυκούργου.
Ὅθεν τινὰ Δαμάτριον, τὴν τάξιν λελοιπότα,
Αὐτοχειρίᾳ ἔκτεινεν ἡ μήτηρ ἡ οἰκεία.

HIST. 407.

363. De Hellanodicis lege Paus. V, 9. VI, 2. Lucian. pro imag. 11. Hermotim. 39. Thucyd. V, 50. Xenoph. Mem. I, 2. 61. ibique Schneid. *Hoeg.*

Εἰς ὃν καὶ τὸ ἐπίγραμμα τοῦτο παρενεγράφη·
„Τὸν παραβάντα νόμους Δαμάτριον ἔκτανε μήτηρ,
„Τὸν Λακεδαιμόνιον ἁ Λακεδαιμονία.
Οὕτω νόμος τοῖς Λάκωσι κτείνειν τοὺς λειποτάκτας,
Καὶ πάντας δὲ ῥιψάσπιδας. ἐπὶ δὲ τῷ Βρασίδᾳ
Καὶ τοὐναντίον γέγονεν, ὅπερ μοι καὶ λεκτέον.
Περὶ Ἀμφίπολιν αὐτὴν εἴτε τὴν Σφακτηρίαν
Ἵσταντο οἱ πολέμιοι εἰς γῆν ἐντεταγμένοι.
Βρασίδας ἀπειλήσας δὲ τῷ κυβερνήτῃ τότε,
Ὡς τὴν τριήρη τὴν αὑτοῦ ἄχρις ἡμίσους μέρους
Ἀνατινάξαι πρὸς τὴν γῆν, συμβάλλει πολεμίοις·
Ταῖς τῶν ξιφῶν δὲ συγκοπαῖς καὶ χύσει τῶν αἱμάτων
Ἐκ τοῦ λειποθυμήματος πλαγίου πεπτωκότος
Ἐξ ὤμων τούτου ἡ ἀσπὶς εἰς θάλασσαν ἐχύθη.
Οὐ μόνον δ' οὐκ ἀπέκτειναν οἱ Λάκωνες τὸν ἄνδρα,
Ἀλλὰ καὶ στέφους ἀμοιβαῖς ἠμείψαντο καὶ δώρων.

ΠΕΡΙ ΜΥΘΙΚΩΝ ΠΤΕΡΩΤΩΝ, ΔΑΙΔΑΛΟΥ, ΠΕΡΣΕΩΣ, ΒΟΡΕΑΔΩΝ, ΒΕΛΛΕΡΟΦΟΝΤΟΥ. υθʹ. (ἐγράφη δέ.)

Οἱ μῦθοι τόν τε Δαίδαλον σύναμα Ἰκαρίῳ
Πτερά φασι τεκτήναντας φεύγειν ἐκ Κρήτης Μίνω,
Καὶ τεχνικῶς μὲν Δαίδαλον χρώμενον τῇ πτερύξει
Σωθῆναι πρὸς τὴν Κάμιρον πόλιν τῆς Σικελίας.
Ἰκάριον ἀτέχνως δὲ χρώμενον τῇ πτερύξει
Καταπεσεῖν καὶ θάνατον εὑρεῖν ἐν τῷ πελάγει,
Ὃ ἀπ' αὐτοῦ Ἰκάριον μέχρι καὶ νῦν καλεῖται.
Ταῦτα μὲν μῦθοι πλάττουσι· τὸ δ' ἀληθὲς τοιοῦτον.
Ὁ Δαίδαλος πτοούμενος οὐχὶ μετρίως Μίνω,
Ὡς Πασιφάῃ συνεργῶν τῇ Μίνωος συζύγῳ
Εἰς τὸν τοῦ Ταύρου ἔρωτα τοῦ στρατηγοῦ καὶ μῖξιν,

HIST. 408.
379. Exstat apud Plutarch. Lacaen. Apophth. Tom. VIII. p. 258.
383. Thucyd. IV, 11. 12.

Σὺν Ἰκαρίῳ τῷ υἱῷ ἔφευγον βάντες πλοίῳ,
Ἢ καὶ δυσὶν ἐν πλοίοις δέ, οἷσπερ πτερὰ τὰ λαίφη.
Ἐπεὶ δ' εὐπλοίᾳ Δαίδαλος ἦλθεν εἰς Σικελίαν,
Ἰκάριος δ' ἀπέπνικτο ζάλῃ καὶ ναυαγίᾳ,
Ἔφασαν τεχνικώτατα Δαίδαλον πτερυχθῆναι,
Ἰκάριον χρησάμενον δ' ἀτέχνῳ τῇ πτερύξει
Πεσεῖν, ἀποπνιγῆναί τε εἰς πέλαγος, ὃ ἔφην.
Ὁμοίως τούτοις πτερωτόν φασι καὶ τὸν Περσέα.
Καὶ γὰρ τριήρει καὶ αὐτός, ἥσπερ πτερὰ τὰ λαίφη,
Τοὺς ἄθλους ἤνυε λαμπρῶς, οὓς λέγεται ἀνῦσαι.
Καὶ πέδιλα πτερόεντα Ἑρμοῦ φασὶ κεκτῆσθαι,
Ὅτι ταχὺς ἦν τοῖς ποσίν, ἢ καὶ ταχὺς πρὸς λόγους.
Καὶ ἵππος δὲ ὁ Πήγασος, ὁ τοῦ Βελλεροφόντου,
Ὅνπερ οἱ μῦθοι πλάττουσι τῶν πτερωτῶν ὑπάρχειν,
Μεθ' οὗπερ κατειργάσατο τὰ τρόπαια ἐκεῖνα,
Τριήρης ἦν ὁλκάς, λαίφη πτερὰ λαχοῦσα,
Καὶ δι' ὑδάτων τρέχουσα θαλάσσης πηγαζόντων.
Εἰ δ' εἴπῃς, πῶς εἰς οὐρανοὺς οὗτος ἀνήχθη, Τζέτζη,
Κἀκεῖθεν καταπέπτωκεν καὶ τύφλωσιν ἐσχήκει,
Ἄκουσον τοῦτο σὺν αὐτοῖς καὶ σαφεστάτως μάθε.
Τοῖς οἷς τροπαίοις εἴργαστο, καὶ ταῖς εὐημερίαις
Ἐκόμπαζεν, ἐφέρετο μετάρσιος τῷ τύφῳ,
Ἐφρόνει ὑψηλότερα καὶ ὕψους τοῦ αἰθέρος.
Αὐτῷ δ' αἴφνης ἀντίῤῥοπος ἐπῆλθε δυσκληρία,
Καὶ καταπίπτει πρὸς βυθὸν δεινῶν ἀκληρημάτων.
Τῶν ὀφθαλμῶν στερίσκεται, τῶν παίδων τῶν φιλτάτων.
Τὸν Ἴσανδρον γὰρ ἔκτειναν οἱ Σόλυμες πολέμῳ.
Τὴν θυγατέρα γάμῳ δὲ ζευχθεῖσαν καὶ τεκοῦσαν
Νόσος ὀξεία ἔκτεινε. ταῦτα ἡ ῥίψις ἵππου.

HIST. 409.

406. Scripsi Ἰκαρίῳ pro Ἰκάρῳ. Nam utraque hic forma utitur Tzetzes.

421. Desunt duae syllabae. Forsitan auctor scripsit τῶν ὁλκάδων.

426. Margo cd. A. τριήρει τῇ ῥηθείσῃ loco verborum καὶ ταῖς εὐημερίαις.

434. Margo cd. A. ἥρπασε pro ἔκτεινε.

Ἡ τύφλωσις ὑπάρχει δὲ ἡ τελευτὴ τῶν τέκνων,
Ἢ καὶ φρενῶν παρακοπὴ ἡ ἐκ τοῦ πένθους τέκνων.
Διὸ καὶ ἐπλανᾶτο μὲν ἐπὶ τῆς ἐρημίας.
Νοῦς γὰρ κατὰ Ἐπίχαρμον ὁρᾷ τε καὶ ἀκούει,
Τὰ δ' ἄλλα πέφυκε τυφλά. ταῦτα καὶ περὶ τούτου.
Οἱ τοῦ Βορέου δὲ υἱοὶ τοῦ Θρᾴκης βασιλέως,
Οἳ Ζήτης τε καὶ Κάλαϊς ἐσχήκασι τὴν κλῆσιν,
Λέγονται πέτεσθαι θριξὶν ὡς τῶν ἁβροβοστρύχων,
Καὶ ταύταις δὲ κομπάζοντες καὶ διηρμένοι μέγα.

ΠΕΡΙ ΤΟΥ, ΥΠΕΡΦΡΟΝΩ ΤΗΝ ΣΦΑΙΡΑΝ ΤΗΝ ΗΛΙΩΤΙΝ, ΥΠΕΡΒΑΙΝΩ ΤΗΝ ΑΡΕΟΣ ΚΑΙ ΤΗΝ ΔΙΟΣ ΠΑΡΕΛΑΥΝΩ. υί.

Ὀκτώ φασι τοῦ οὐρανοῦ τὰς σφαίρας, τὰς καὶ ζώνας,
Τὴν ἀπλανῆ καὶ ἄναστρον καὶ τῶν ἑπτὰ πλανητῶν,
Κρόνου, Διὸς καὶ Ἄρεος, Ἡλίου, Ἀφροδίτης,
Ἑρμοῦ καὶ τῆς σελήνης δέ, τῶν πάντων κατωτέρας.
Οὕτως ὀκτὼ ὑπάρχουσι τῷ ἀριθμῷ αἱ σφαῖραι.
Ὁ Πρόκλος δ' ὁ φιλόσοφος ἐννέα ταύτας λέγει,
Οἶμαι τὴν γῆν τοῖς ἄστρασι συναριθμῶν, ὡς ἄλλοι.

ΠΕΡΙ ΤΟΥ, ΟΤΙ ΠΥΘΑΓΟΡΑΣ ΠΕΝΤΕ ΜΗΝΑΣ ΦΑΛΑΡΙΔΙ ΣΥΝΔΙΕΤΡΙΨΕΝ. υιά.

Ὁ Φάλαρις Ἀκράγαντος ὁ τύραννος ἐκεῖνος,
Ὁ Τζέτζῃ δικαιότατος καὶ πάνσοφος ὑπάρχων,
Ἐξ Ἀστυπαλαιέας μὲν πατρίδος ἦν τῆς Σάμου,
Υἱὸς δὲ Λεωδάμαντος, σύζυγος Ἐρυθείας,
Πατὴρ Παυρόλα δέ τινος τὴν κλῆσιν καλουμένου.
Οὗτος ὅσα ἐποίησεν, ἐν ἄλλοις μοι ἐῤῥέθη.
Εὕρῃς πλατέως πάντα δέ, εἰ θέλῃς, γεγραμμένα
Ἐν ταῖσδε εἰς τριακοστὴν καὶ πρώτην ἱστορίαν.

---

438. Cd. A. ὀρῆ. edit. Bas. Cf. vs. 461.
HIST. 411. Pro ἓξ scripsi πέντε e marg.
455. Erat *Παυρολάου*.

Οὗτος πικρὸς ὁ Φάλαρις πᾶσι δοκῶν ματαίως
Δεικνύει ταύτην φλύαρον τὴν δόξαν πεφυκέναι
Τῷ ἀποδεῖξαι παρ' αὐτῷ πεντάμηνον εἰς χρόνον
Τὸν μέγαν τὸν φιλόσοφον διάξαι Πυθαγόραν,
Ὅς καὶ βραχὺς παρά τισιν ἡμέρας ἐκαρτέρει.

ΠΑΡΟΙΜΙΑ Η ΛΕΓΟΥΣΑ, ΚΟΜΠΑΖΩ ΜΑΛΛΟΝ Η ΕΠΙ ΝΙΚΗι ΤΗι ΕΠΙ ΛΕΥΚΤΡΟΙΣ ΚΑΙ ΜΑΝΤΙΝΕΙΑΣ ΕΠΑΜΕΙΝΩΝΔΑΣ ΕΚΕΙΝΟΣ. υιβ'.

Ἐπαμεινώνδας στρατηγὸς Θηβαίων ὑπηργμένος,
Ὡς ἐθρηνεῖτο τελευτῶν περιπαθῶς Θηβαίοις,
Ἐπαμεινώνδα, λέγουσι, θνήσκῃς, σὺν σοὶ καὶ Θῆβαι,
Τέκνον ἐν βίῳ μὴ λιπών, τέκνον ἐκ σῶν σπερμάτων,
Ἀποκριθεὶς ὡς πρὸς αὐτοὺς τάδε καὶ θνήσκων λέγει·
Οὐ μὲν οὐ θνήσκω ἄτεκνος, ἀλλ' εὔτεκνος, Θηβαῖοι.
Δύο γὰρ καταλέλοιπα ἐμοῦ τὰς θυγατέρας,
Τὴν ἐπὶ Λεύκτροις νίκην τε καὶ τὴν ἐν Μαντινείᾳ.

ΠΑΡΟΙΜΙΑ Η ΛΕΓΟΥΣΑ, ΟΥ Ο ΕΜΒΡΟΧΘΙΟΣ ΛΙΘΟΣ, ΤΟΝ ΛΙΘΟΝ ΕΙΚΟΝΙΖΕ ΠΑΥΣΑΝΙΟΥ ΜΗΤΡΟΣ. υιγ'.

Ὁ Παυσανίας τὰ Περσῶν φρονεῖν ἐληλεγμένος
Καὶ προδιδοὺς τοῖς Πέρσαις δὲ πάντως τὰ τῆς Ἑλλάδος
Καὶ διὰ τοῦτο μέλλων δὲ τούτοις ἀναιρεθῆναι,
Τῷ ἱερῷ προσέδραμε. πάντων δ' ἀπορουμένων
Τί δέον πράττειν ἐπ' αὐτῷ, ἐξάγειν, μὴ ἐξάγειν;
Ἡ τούτου μήτηρ ἄρασα τοῦ Παυσανίου λίθον
Τοῦ ἱεροῦ ἐνέθηκε τοῦτον ἐν τοῖς προθύροις.

HIST. 412.
464. De Epaminonda vid. Cornel. Nep. in Vita eius c. 9. 10. Aelian. V. H. XII, 3. ibique interpr. Paus. IX, 13. sqq. Plut. Apophth. T. VIII. p. 133. An seni resp. ger. T. XII. p. 108. *Hoeg.*

Ὃ γνόντες Λάκωνες, ἀνέκτισαν τὰς πύλας.
Καὶ κινδυνεύων τῷ λιμῷ θνήσκειν ὁ Παυσανίας,
Αὐτὸς αὐτὸν ἐκδίδωσι καὶ σχοίνοις ἐξ ὀρόφου
Μικρὸν κοπέντος μέρος τι ἀνάγεται καὶ θνήσκει.
Ἐπεὶ δὲ νῦν τις μοναχὸς γελῶν τοὺς ἀνοήτους
Λίθον ἐμβάλλει στόματι, ὡς μὴ λαλοίη δῆθεν,
Ὁ Τζέτζης τοὺς ὑποκριτὰς πάντας καὶ τοὺς δολίους
Μισῶν φησὶν εἰκόνισμα τὸν λίθον πεφυκέναι
Τοῦ λίθου, οὗπερ ἔφημεν μητρὸς τοῦ Παυσανίου,
Τουτέστιν, ἔδει καὶ αὐτοῦ λίθοις φραγῆναι στόμα,
Καὶ οὕτως ἀθλιώτατα τὸν βίον ἐκμετρῆσαι.

ΑΛΛ' ΕΙ ΤΑ ΘΝΗΤΩΝ ΜΗ ΚΑΤΑΙΣΧΥΝΕΣΘΕ ΓΕΝΕΘΛΑ, ΤΗΝ ΠΑΝΤΑ ΓΟΥΝ ΒΟΣΚΟΥΣΑΝ ΗΛΙΟΥ ΦΛΟΓΑ ΑΙΔΕΙΣΘΕ ΤΟΙΟΝΔ' ΑΓΟΣ ΑΚΑΛΥΠΤΟΝ ΤΡΕΦΕΙΝ. υιδ'.

Τοῦτο περὶ Οἰδίποδος ὁ Σοφοκλῆς που λέγει
Μετὰ τὴν τύφλωσιν αὐτοῦ τὴν ἐν αὐτοχειρίᾳ.
Εἰ τῶν ἀνθρώπων οὐδαμῶς αἰσχύνεσθε τὸ γένος,
Αἰδεῖσθε γοῦν τὸν ἥλιον καὶ κρύψατε τοιοῦτον,
Καὶ μὴ ἐᾶτε φαίνεσθαι κατάδηλον τοῖς πᾶσι
Τοιοῦτον ὄντα μιασμὸν καὶ γένους καὶ πατρίδος.

ΠΩΣ Ο ΞΕΡΞΗΣ ΕΠΙ ΤΗι ΑΜΕΤΑΡΙΘΜΩι ΑΥΤΟΥ ΣΤΡΑΤΙΑι ΗΣΘΗ ΤΕ ΚΑΙ ΑΜΑ ΤΟΥΣ ΟΦΘΑΛΜΟΥΣ ΔΑΚΡΥΩΝ ΕΜΕΣΤΩΣΕΝ. υιε'.

Ἔχεις εἰς πλάτος ἅπασαν ταύτην τὴν ἱστορίαν
Τριακοστὴν δευτέραν σοι κειμένην ἐν ταῖς πρώταις.

---

479. Versus duabus syllabis brevior videtur sic restituendus esse: *ὅπερ καὶ γνόντες Λάκωνες*, ut Chil. I, 196.

484. Cf. Plut. de garrul. 14. T. X. p. 116. de solert. animal. 10. T. XIII. p. 158. ed. Hutt. *Hoeg.* Aelian. V. H. IV, 7.

HIST. 413.

490. Oed. R. 1410. Erf.

493. Scripsi *γοῦν*. In textu cd. et edit. est *Καυὸν*, in margine *Κἀνόν*. In proximis erat *κρύψα τ' ἔπει τοῦτον*.

ΠΑΡΟΙΜΙΑ Η ΛΕΓΟΥΣΑ, ΚΑΙ ΦΥΣΕΙ ΘΗΡΑΜΕΝΟΥΣ. υις'.

Ὁ Θηραμένης μαθητὴς ὑπῆρχεν Εὐριπίδου,
Δόλιος, πανουργότατος, ἔνθεν κἀκεῖθεν ῥέπων,
Ὅθεν αὐτὸν καὶ κόθορνον ἐκάλουν ἐπωνύμως.
Κόθορνος δὲ καθέστηκεν εἶδος ὑποδημάτων,
Ἀριστεροῖς καὶ δεξιοῖς ποσὶ προσαρμοττόντων,
Ἀνδράσι τε καὶ γυναιξὶν ὡσαύτως ἁρμοδίων.
Οὗτος ἐπὶ τριάκοντα τυράννων ὑπηργμένος,
Ποτὲ τούτους ἠρέθιζε κατὰ τῶν Ἀθηναίων,
Ποτὲ τοὺς Ἀθηναίους δὲ πάλιν κατὰ τυράννων,
Φίλος ὁμοῦ τε καὶ ἐχθρὸς ὑπάρχων ἀμφοτέροις.

ΠΕΡΙ ΤΟΥ, ΤΕΤΡΑΔΙ Δ' ΩΣ ΕΟΙΚΕ ΓΕΝΝΗΘΕΙΣ ΑΛΛΟΙΣ ΠΟΝΩ. υιζ'.

Τὸν Ἡρακλῆν λέγουσι μηνὸς τετράδι
Τεχθέντα, πολλὰ τληπαθεῖν ἐν τῷ βίῳ,
Ἄθλους τελοῦντα προσταγαῖς Εὐρυσθέως.
Ἀφ' οὗπερ ἐκράτησεν ἡ παροιμία,
Ἄλλοις πονοῦσι, προσφυῶς λελεγμένη.

ΠΕΡΙ ΤΟΥ, ΚΑΤΑ ΤΟΥΣ ΓΕΓΗΡΑΚΟΤΑΣ ΤΩΝ ΜΥΘΩΝ ΜΗ ΕΧΩΝ ΔΑΙΜΟΝΙΟΝ ΩΝΟΥΜΑΙ ΓΡΥΛΛΙΔΙΟΝ. υιή.

Μούσης τῆς τριοδίτιδος φέρεται μῦθος λέγων,
Ἄλλος μὴ ἔχων δαίμονα ἠγόρασε γουροῦνιν.

HIST. 416.

498. De Theramene vid. Xenoph. Hellen. II, 3. Aelian. V. H. IX, 21. ibique Periz.

501. Cd. A. in textu ὑποδηγμάτων.

506. Etiam hoc versu pro ὀτὲ scripsi ποτέ.

HIST. 418.

513. Γουροῦνις est grunnius, porcus, sus. Vid. Dufresn. s. h. v.

ΠΕΡΙ ΤΗΣ ΛΑΚΩΝΩΝ ΒΡΑΧΥΛΟΓΙΑΣ ΚΑΙ ΤΗΣ ΑΝΤΙΓΡΑΦΗΣ ΤΟΥΤΩΝ ΤΟΥ ΑΙΚΑ. υιθ'.

[illegible] βραχυλογήματος Λακώνων καὶ τοῦ αἴκα
[illegible] εἴρηται ἱστοριῶν τῶν τῇδε.

ΠΕΡΙ ΕΥΡΩΤΟΥ ΤΟΥ ΠΟΤΑΜΟΥ ΚΑΙ ΛΟΧΟΥ ΣΤΡΑΤΙΩΤΩΝ ΚΑΙ ΣΠΑΡΤΗΣ ΤΗΣ ΠΟΛΕΩΣ. υκ'.

Εὐρώτας ποταμός ἐστιν ἐν χώρᾳ τῇ Λακώνων,
[illegible] Εὐρώτα παλαιοῦ Λάκωνος κεκλημένου.
Λόχος δὲ καὶ ἡ ἔνεδρα, τὸ ἔγκρυμμα καλεῖται.
[illegible] καὶ λόχος τοῦ στρατοῦ σύστημά τι τυγχάνει.
[illegible] δ' οὗτος λέγεται στίχος καὶ δεκανία,
[illegible] ἀπὸ ἀνδρῶν ὀκτὼ εἴτε καὶ δέκα,
[illegible] ἀρεστός ἐστι καὶ λόχων πάντων κρείττων.
[illegible] ἐς δώδεκα καὶ μέχρι δεκαὲξ δὲ
[illegible] τὴν ἐπαύξησιν πρὸς τοῦ στρατοῦ τὸ πλῆθος.
Σπάρτη δ' ἡ σχοῖνος λέγεται καὶ Σπάρτη δὲ ἡ πόλις.
[illegible] αὕτη Σπάρτη δὲ τῆς χώρας τῶν Ἀργείων.

[illegible]ΜΑ Η ΛΕΓΟΥΣΑ, ΠΑΥΡΑ, ΚΑΝ ΟΥ ΛΙΓΕΩΣ. υκα'.

[illegible] τὸν Ἀντήνορα τῇ γάμμα ῥαψῳδίᾳ
[illegible] λέγοντα περὶ τοῦ Μενελάου·
[illegible] Μενέλαος ἐπιτροχάδην ἀγόρευε,
[illegible] ἀλλὰ μάλα λιγέως, ἐπεὶ οὐ πολύμυθος ἦεν.

[illegible]. ΟΙΜΑΙ ΔΕ ΤΗΣ ΣΥΜΜΟΡΙΑΣ ΚΑΙ ΤΗΣ ΤΡΙΤΤΥΟΣ. υκβ'.

[illegible] δέκατον τῆς πόλεως ὑπῆρχεν,
[illegible] τῶν Ἀθηνῶν. δέκα φυλὰς γὰρ εἶχεν,

HIST. 422.
532. Cf. Herodot. V, 66. Paus. I, 5.

Κἂν ὕστερον γεγόνασιν ἐκδέκα, δεκαδύο.
Αἰσχίνης γράφει τὴν φυλὴν δέκατον μέρος εἶναι.
Τριττὺς δ' ἦν τὸ τρίτον φυλῆς. ἡ δέ γε συμμορία
Ἦν ἀριθμὸς ἑξήκοντα σωμάτων, οὐ πλειόνων,
Ὡς γράφει Δημοσθένης που συμμοριῶν τῷ λόγῳ·
Ἐκ τούτων δέον εἴκοσι ποιῆσαι συμμορίας,
Ὡς νῦν σώματα ἔχουσαν ἑξήκοντα ἑκάστην.
Καὶ τἄλλα εὕρῃς ἀκριβῶς συμμοριῶν τῷ λόγῳ.
Οὕτω κυρίως ἡ φυλή, τριττὺς καὶ συμμορία.
Τὰ δέ γε συναγώγια, τριττῦς καὶ συμμορίας
Ἡμεῖς τανῦν εἰρήκειμεν καταχρηστικοτέρως.

Η ΛΕΓΟΥΣΑ, ΑΠΟΚΟΤΤΑΒΙΖΩΝ. υκγ'.
(*καὶ αὕτη δὲ προεγράφη.*)

Τίς ἐστι προπηλακισμὸς καὶ τίς ἡ παροινία,
Λατάγη τε καὶ κότταβος καὶ ἐωλοκρασία,
Εἰς πλάτος ἔγραψα τὸ πρίν. καὶ στρέψας εὕρῃς ταῦτα
Εἰς τούτων ὀγδοηκοστὴν καὶ πέμπτην ἱστορίαν.

ΠΕΡΙ ΤΟΥ, ΤΙΝΕΣ ΛΕΓΟΝΤΑΙ ΚΥΡΙΩΣ ΑΝΕΨΙΟΙ. υκδ'.

Εἰς θέσιν τῆς πεντηκοστῆς ἱστοριῶν τῶν τῆδε,
Ἀνεψιοὺς εὑρήσειας καὶ τοὺς ἀδελφιδοῦς δε
Καὶ υἱδοῦς καὶ υἱωνοὺς καὶ τοὺς θυγατριδοῦς τε
Καὶ δὴ τοὺς ἀνεψιαδοὺς καὶ σαφεστάτως μάθε.

ΤΙ ΚΡΗΣΦΥΓΕΤΟΝ. υκέ.

Ἡ σκολιὰ καταφυγὴ καὶ τῶν δυσαποσπάστων
Ἐκ λαβυρίνθου τοῦ Κρητῶν κρησφύγετον ἐκλήθη.

ΠΕΡΙ ΤΟΥ ΠΟΛΥΚΛΕΙΤΟΥ ΚΑΝΟΝΟΣ. υκς'.

Ὁ Πολυκλείτειος κανὼν τοῖς ὄπισθεν ἐγράφη
Εἰς τὴν ἑκατοστὴν καὶ ἐνενηκοστὴν καὶ πρώτην.

---

338. De Symmoriis p. 182. 18. ed. Reisk. ibique Schaef.

ΠΕΡΙ ΤΩΝ ΑΝΔΡΙΑΝΤΩΝ ΦΕΙΔΙΟΥ, ΠΕΡΙ ΤΟΥ ΜΙΚΩΝΟΣ ΙΠΠΟΥ. υκζ'.

Μετὰ τὴν Πολυκλείτου δὲ κεῖται καὶ ἡ Φειδίου.
Τὴν Μίκωνος δὲ λέξωμεν νῦν ἀντὶ τῆς Φειδίου.
Ὁ Μίκων ἢ κατά τινας Πολύγνωτος ζωγράφος,
Ἐν τῇ ποικίλῃ τῇ στοᾷ ἵππον ἐνζωγραφήσας
Τρίχας παρεζωγράφησεν ταῖς κάτω βλεφαρίσι,
Καὶ τούτου μόνου ἕνεκα τοῖς πᾶσι διεσύρη.
Τοῦτο γὰρ ἐπιλήψιμον εἶχεν ὁ ἵππος μόνον,
Τοῖς ἄλλοις πρὸς ἀκρίβειαν τοσοῦτον εἰργασμένος,
Ὡς μηδ' αὐτὸν ὡς πρὸς αὐτὰ μέμψιν τὸν Μῶμον ἔχειν.

ΙΣΤΟΡΙΑ Η ΛΕΓΟΥΣΑ, ΔΙΑΡΜΑ ΚΑΙ ΤΟ ΜΕΓΑΛΟΠΡΕΠΕΣ ΣΥΝ ΓΕ ΤΩι ΩΡΑΙΩι, ΣΥΝΤΟΜΩι ΤΕ ΚΑΙ ΤΩι ΠΙΘΑΝΩι. υκη'.

Τέσσαρας λόγου ἀρετὰς λέγουσι πεφυκέναι
Ὁ Ἰσοκράτης ῥήτωρ τε αὐτὸς καὶ Ἀλκιδάμας,
Ὁ Θεοδέκτης ἅμα τε καὶ Μινουκιανός δε,
Σὺν οἷς καὶ Διονύσιος ὁ Ἁλικαρνασσόθεν,
Φιλόστρατος καὶ ἕτεροι μυρίοι τῶν ῥητόρων,
Σαφές, μεγαλοπρέπειαν σύντομον, πιθανόν τε,
Μετὰ τῆς ὡραιότητος ῥητορικῶν σχημάτων·
Ἐμπεδοκλῆς πρὸ πάντων τε, φιλόσοφος ὁ μέγας.
Λέγει γὰρ τὴν ἀσάφειαν μελάγκαρπον ὑπάρχειν,
Ὡς κελαινώπαν τὸν θυμὸν ὁ Σοφοκλῆς που λέγει.

HIST. 427.

558. sq. Erat *Νίκωνος*, et in inscriptione, et hoc versu, item versu proximo *Νίκων* atque *Πολύγνωτος*. Ceterum conf. *Beck*, Grundriss d. Archäolog. p. 77. Item interpres elegantissimus libri inscripti: Lanzi üb. die Sculptur d. Alten. Aus d. Italiän. p. 84. — Plin. H. N. XXXV, 35. Manus docta in editione, qua utor, citat Aelian. Hist. Anim. IV. c. 50.

HIST. 428.

574. Vid. Sturz. edit. Empedocl. fragm. v. 14. pag. 513. Erat *μελάγκορον*.

575. Aiac. vs. 955.

Τὴν φρόνησιν δὲ σύμπαντες γλαυκώπιδα βοῶσι,
Καὶ ὁ Αἰσχίνης τεθνηκὸς τὸ ἀσαφές που λέγει.
Περὶ τοῦ Δημοσθένους δὲ τοῦτό φησιν ὡδέ πως·
Μεγάλα βρενθυόμενος πρὸς Φίλιππον λαλῆσαι
Τὶ σκοτεινὸν καὶ τεθνηκὸς προοίμιον εἰρήκειν.
Τέσσαρες αὗται ἀρεταὶ λόγου σοφοῖς ἀνδράσι,
Σαφές, μεγαλοπρέπεια, σύντομον, πιθανόν τε.
Ἀφεὶς μεγαλοπρέπειαν Ἀφθόνιος δὲ λέγει·
Σαφές, σύντομον, πιθανὸν καὶ τὸν ἑλληνισμόν δε.
Τζέτζης δὲ τὸν ἑλληνισμὸν καὶ τὴν κυρίαν λέξιν
Ὄργανα λέγει τοῦ σαφοῦς, Ἀφθόνιε, ὑπάρχειν,
Οὐ τοῦ σαφοῦς δὲ ἕτερα, ὥσπερ αὐτὸς νομίζει.
Κἂν ἕτερα ἐτύγχανε, τῶν περιττῶν ὑπῆρχεν,
Εἴπερ σαφῆ ἐτύγχανεν, ἑλληνισμοῦ προσδεῖσθαι.

Η ΠΕΡΙ ΤΟΥ ΕΡΜΟΥ ΑΓΟΡΑΙΟΥ ΠΡΟΤΥΠΩΜΑΤΟΣ. υκθ'.

Ἑρμῆς τῆς Μαίας ὁ υἱός, Ἑρμῆς δὲ καὶ ὁ λόγος·
Ἑρμῆς καὶ σύμπας ἀνδριὰς καὶ ὁ σωρὸς τῶν λίθων.
Ἑρμῆς καὶ πᾶς ὁ ἑρμηνεὺς εἴτε γλωσσῶν ἢ λόγων.
Ἑρμῆς καὶ ἀγοραῖον δὲ προτύπωμα ἡ πίσσα,
Ἡ πίσσα χρυσοχόων δὲ πρὸς ἣν τυποῦσι ζῶα,
Θέντες αὐτῆς ἐπάνωθεν ἄργυρον ἢ χρυσόν δε.
Ὁ ποῦς τῆς κλίνης τε ἑρμίς. γράφεται δὲ ἰῶτα.

ΠΑΡΟΙΜΙΑ Η ΛΕΓΟΥΣΑ, Ο ΑΝΔΡΙΑΣ Ο ΑΜΟΡΓΙΝΟΣ. υλ'.

Ἀμόργην εἶναι νόει μοι τὴν τρύγα τοῦ ἐλαίου.
Ὀργὴ γὰρ κατὰ Ἴωνας ὅ τε πηλὸς καὶ πίσσα.
Ὅθεν ὀργάσαι λέγεται καὶ τὸν πηλὸν μαλάξαι.

---

578. Edit. Reisk. p. 219. ibique Tayl.
587. *νομίζεις* margo cd. A.

HIST. 429.

593. Cd. A. *ἡ* pro *ἥ*.

HIST. 430.

Cd. A. in inscript. recte *ἀμόργινος*, non *ἀμόργηνος*. Cf. Etym. M. s. v. *ἀπομόρξατο*, et s. v. *ὀργάδα γῆν*.

Ἀμόργην οὕτω δέ φαμεν τὴν τοῦ ἐλαίου τρύγα,
Ἐπὶ τὸ ἅμματος ὀργὴν ἤτοι πηλὸν ὑπάρχειν.
Ἡ τρὺξ ἐλαίου δὲ πηλός, ὃ χρησιμεύει ἅψει.
Τὸ ἅπτω ἅψω, ἅμμα δὲ ἀμμόργη τε ὁμοίως
Διπλοῖς ἐγγράφεται τοῖς μῦ, κανόνι τῷ καθόλου.
Ἀμόργη δὲ κατ' Ἴωνας ἓν μῦ τε καὶ ψιλοῦται.

ΠΕΡΙ ΤΟΥ, ΟΝ ΕΡΜΗΣ ΕΝ ΠΟΛΥΗΡΑΤΟΙΣ ΑΝΤΡΟΙΣ ΚΑΤΕΘΕΤΟ. υλά.

Ἐν λιθικοῖς διδάγμασιν οὕτως Ὀρφεύς που λέγει,
Ὑμνῶν σοφίαν, λόγους τε καὶ τὸ προσέχειν βίβλοις·
„Ὃν δέ κεν ἀνθρώπων πεπνυμένον ἦτορ ἀνώγῃ,
„Ἐς πολυήρατον ἄντρον ἐσελθέμεν Ἑρμείαο,
„Ἔνθ' ὅγε παντοίων ἀγαθῶν κατέθηκεν ὅμιλον,
„Αἶψά κεν ἀμφοτέρῃσιν ὀνείατα πολλὰ κομίζων
„Οἴκαδ' ἀποστείχοι, προφυγὼν πολύδακρυν ὀϊζύν.
Τὰς βίβλους, ἄντρον τοῦ Ἑρμοῦ κατονομάζων οὕτω.

ΠΕΡΙ ΤΟΥ ΓΕΩΡΓΟΥ, ΟΣ ΥΔΑΤΙ ΚΟΙΛΑΙΣ ΧΕΡΣΙ ΔΕΞΙΟΥΤΑΙ ΤΟΝ ΑΡΤΑΞΕΡΞΗΝ. υλβ'.

Ὁ Ἀρταξέρξης βασιλεὺς Περσίδος ὑπηργμένος
Παρήλαυνε διά τινων γεωργησίμων τόπων.
Ὁ γεωργῶν ἐκεῖσε δὲ τελῶν τῶν εὐγνωμόνων,
Ὡς εἶδε διερχόμενον τὸν βασιλέα τότε,
Οἷς δεξιώσεται αὐτὸν μηδόλως κεκτημένος,
Κοίλαις χερσὶν ἐκ ποταμοῦ τοῦ ῥέοντος ἐκεῖσε
Ὕδωρ ἀπαρυσάμενος προσήγαγεν ἐκείνῳ.
Ὁ δὲ τῆς προαιρέσεως ἀγάμενος τὸν ἄνδρα
Ἀσμένως τε ἐδέξατο καὶ ἔπιεν ἡδέως,
Καίπερ οὐ χρήζων ὕδατος, οὐδὲ διψῶν τῷ τότε.

HIST. 431.
606. Lith. Prooem. 17. sqq.
HIST. 432.
619. Aelian. V. H. I, 32.
620. Cd. A. ut edit. Basil. ἀπαῤῥυσάμενος.

ΠΕΡΙ ΤΟΥ, ΠΟΘΕΝ ΟΡΡΩΔΕΙΝ ΛΕΓΟΜΕΝ. υλγʹ.

Τοῦ ὀῤῥωδεῖν ἡ λέξις μὲν σημαίνει τὸ φοβεῖσθαι,
Ἐξ ὄῤῥου τῆς περιστερᾶς, τοῦ καὶ μεσοπυγίου,
Ὃ τρέμει τῆς περιστερᾶς τῷ φόβῳ κρατουμένης·
Ἢ ὅτι μέρος σώματος ὁ ὄῤῥος, ὁ καὶ ταῦρος,
Τῶν φοβηθέντων εἴωθεν ἱδροῦν τε καὶ ἰδίειν·
Ἢ πλέον τοῦτο εἴρηται ἐκ φόβου τῶν ἀλόγων,
Ἃ ἐν τῷ δέει τὴν οὐρὰν ἐν τοῖς μηροῖς συστέλλει·
Ἢ ἐκ τοῦ ὄρω, τὸ ὁρμῶ, καὶ δέω, τὸ δεσμῶ δε
(Τῶν πτοουμένων ἡ ὁρμὴ δεῖται γὰρ καὶ δεσμεῖται·)
Εἴτ' οὖν ἐκ τοῦ ὁρῶ, τὸ βλέπω, καὶ τοῦ δέω·
(Δεσμεῖται γὰρ καὶ τὸ ὁρᾶν τοῖς φόβῳ κρατουμένοις.)
Οἱ Αἰολεῖς δὲ ψιλωταὶ καὶ δίῤῥους πεφυκότες
Ὁμοῦ ψιλοῦσί τε αὐτὸ καὶ γράφουσι διπλόρουν.

ΤΟ ΔΟΚΟΥΝ ΤΟΙΣ ΑΣΚΛΗΠΙΑΔΑΙΣ, ΤΟΥΤΟ ΔΕ ΑΡΑ ΗΝ, Ο ΛΕΤΙΟΣ. υλδʹ.

Ἀσκληπιάδαι λέγονται κατὰ κυρίαν λέξιν,
Ὅσοι γονὴν ἐσχήκασιν Ἀσκληπιοῦ σπερμάτων.
Νῦν δὲ κατὰ κατάχρησιν τοὺς ἰατροὺς εἰρήκειν.

ΠΑΡΟΙΜΙΑ Η ΛΕΓΟΥΣΑ, ΥΠΕΡ ΤΑ ΕΣΚΑΜΜΕΝΑ ΥΠΕΡΗΛΩ, ΚΑΤΑ ΤΟΝ ΕΝ ΛΑΜΑΣΙΝ ΕΚΕΙΝΟΝ ΘΡΥΛΛΟΥΜΕΝΟΝ ΦΑΥΛΛΟΝ. υλεʹ.

Κροτωνιάτης Φάϋλλός τις πένταθλος ὑπῆρχε,
Νικήσας πάλιν καὶ πυγμήν, δίσκον καὶ δρόμον·
Καὶ τῶν μὲν ἄλλων πῶς χρεὼν τὰς νίκας διαγράφειν;

HIST. 433.

624. Vid. Etym. M. s. v. ὀῤῥωδῶ.

633. Desunt duae syllabae.

HIST. 435.

640. Vide de Phayllo Valck. ad Herodot. VIII, 47. Reines ad Suidam.

641. Desunt duae syllabae.

Τοῦ ἅλματος καὶ δίσκου δέ, τούτου τὸ μέτρον μάθε·
„Ἓξ ἐπὶ πεντήκοντα πόδας πήδησε Φαῦλλος.
„Δίσκευσε δ' ἑκατὸν πέντ' ἀπολειπομένων.

ΠΕΡΙ ΠΕΡΣΕΩΣ, ΒΟΡΕΑΔΩΝ ΚΑΙ ΒΕΛΛΕΡΟΦΟΝΤΟΥ, ΤΡΥΓΑΙΩΝ ΤΕ ΚΑΙ ΚΑΝΘΑΡΩΝ. υλϛ'.

(ὧν τὰ μὲν ἐγράφη, τὰ δ' οὔ.)

Τὰ τοῦ Περσέως πρότερον, τῶν τε Βορέου παίδων
Καὶ τὰ Βελλεροφόντου δὲ καλῶς μοι προεγράφη.
Τὰ τῶν τρυγαίων ἄκουε νῦν δὲ καὶ τὰ κανθάρων.
Ἐμφύλιοι κατέτρυχον πόλεμοι τὴν Ἑλλάδα
Ταῖς τῶν Λακώνων μάχαις τε καὶ ταῖς τῶν Ἀθηναίων.
Ἀριστοφάνης τότε δὲ ὁ κωμικὸς τυγχάνων,
Τελῶν ῥήτωρ δεινότατος, ὡς Ἀθηναίους ὥρα
Μὴ πειθομένους μηδαμῶς συμβούλοις τῆς εἰρήνης,
Τοῖς ἐγερσιμαχοῦσι δὲ καὶ θορυβωδεστέροις,
Ὧν ἐραστὴς διάπυρος καὶ οὗτος τῆς εἰρήνης,
Τὸ συμβουλεύειν φανερῶς αὐτοῖς περὶ εἰρήνης
Ὡς ἀπειθέσι παρεικώς, ἄλλην ὁδὸν ἐτράπη.
Μεθόδῳ δὲ δεινότητος χρησάμενος, ὡς δέον,
Ἀθύρμασι γλυκαίνουσιν ἐν τρόποις κωμῳδίας
Περὶ εἰρήνης ἔγραψε καὶ ἄλλα μὲν μυρία,
Τὴν Λυσιστράτην, Ἀχαρνῆς καὶ ἄλλας κωμῳδίας,
Πραγματικαῖς ταῖς στάσεσι πανσόφως συμβουλεύσας.
Καὶ νῦν ὁμοίως δὲ ποιεῖ πραγματικῇ μελέτῃ.
Ἀντὶ τοῦ φάναι δέ, οὐ χρὴ μάχας ὁμόροις ἔχειν,
Ἄκουσον πῶς γλυκαίνουσι πλάσμασί τε καὶ λόγοις
Πραΰνει τούτων τὸν θυμὸν καὶ πᾶν ἀνύει ῥᾷστα.
Τῷ τῶν πολέμων συνεχεῖ τοὺς γεωργοὺς εἰσφέρει
Ἀγανακτήσαντας πολλὰ καὶ τοὺς ἀγροὺς ποθοῦντας,

645. δίσκευσε pro δίσκευε habet cd. A.

HIST. 436.

657. Cd. A. ἀπειθέσι. Videtur altera lectio ἀπειθοῦσι esse.

Γεώργια καὶ βότρυς τε, καὶ τὰς λοιπὰς ὀπώρας,
Ποθεῖν εἰρήνην ἐφευρεῖν. ὡς οὐκ ἐνῆν εἰς γῆν δε,
Ἐξ οὐρανοῦ φροντίσαντες καταγαγεῖν ἐκείνην,
Ἐφευρηκότες κάνθαρον τὸ κοπροφάγον ζῶον,
Ἐν φάτναις πρῶτον ἔστησαν, ὡς πήγασον δὲ νέον.
Οὗ ὡς πρὸς ἐπιμέλειαν δύο οἰκέτας δόντες,
Ἔν γε διαχωρήμασιν ἐλίπαναν ἀνθρώπων,
Μᾶλλον ἐν ὑγροτέροις δὲ βρεφῶν καὶ μειρακίων.
Ἔπειτα ὁ τρυγαῖος δὲ τούτῳ ἐποχημένος,
Ἀνέρχεται πρὸς οὐρανὸν σύναμα καὶ οἰκέτῃ.
Ἐν γῇ τινὰ δὲ χέζοντα ἰδὼν μεσουρανήσας,
Ἔγειραι, ἄνθρωπε, βόα, ὄρυξον, κρύψον ταῦτα,
Καὶ μύρα δὲ περίῤῥανον, μὴ τῇ ὀδμῇ τῇ φίλῃ
Ὡς πρὸς τὴν γῆν καὶ πρὸς αὐτὰ ὁ κάνθαρος κατάξῃ.
Τέως ἐλθὼν εἰς οὐρανοὺς τὸν κυδοιμὸν εὑρίσκει,
Ἐπαπειλοῦντα συντριβὴν ἀνθρώποις οὐ μετρίαν.
Μόλις ποτὲ εἰς σπήλαιον λίθοις κατεστρωμένον
Ἐφεῦρον κατορύξαντες ἐκεῖνο τὴν εἰρήνην,
Κόρην καλλίστην, νεαράν, σαρξὶ πεπαχυσμένην.
Ἧς ὁ οἰκέτης τὰς πυγὰς οὔσας εὐόγκους βλέπων
Ἀποθαυμάζει περισσῶς τὴν τόσην εὐσαρκίαν,
Λῇθεν πρὸς τὴν ἰσχνότητα τῆς μάχης παραβάλλων.
Οὕτως εὑρόντες ἤγαγον ὡς πρὸς τὴν γῆν ἐκείνην.
Ἔγνως πῶς παίζων τεχνικῶς ὁ κωμῳδὸς ὁ ῥήτωρ;
Καὶ συμβουλεύειν μὴ δοκῶν, ἀρίστως συμβουλεύει,
Ὡς χρὴ λύειν τὸν πόλεμον, αἱρεῖσθαι τὴν εἰρήνην.
Εὕρῃς καὶ πᾶν κεφάλαιον ἐν πράγματι αὐτόθι,
Τὸ φυσικόν, τὸ νόμιμον, τὸ δίκαιον σύναμα,
Συμφέρον τε καὶ δυνατόν, ἔνδοξον καὶ ἐκβαῖνον.
Καί τοι πολλάκις δι' ἑνὸς καὶ μόνου κεφαλαίου
Πραγματικαὶ περαίνονται, ὡς ἐπὶ Δημοσθένει
Ἐν μόνῳ τῷ συμφέροντι οἱ Ὀλυνθίων λόγοι,

683. Cd. A. ὅμως pro τέως. 695. Inserui ἐν.

Παρ᾽ ἄλλοις τῷ νομίμῳ δέ, δικαίῳ παρ᾽ ἑτέροις,
Τισὶ δυσί τε καὶ τρισὶ καὶ τέτρασιν, ἢ πᾶσιν.

ΔΑΙΔΑΛΟΥΣ ΤΙΝΑΣ ΚΑΙ ΙΚΑΡΙΟΥΣ ΠΤΕΡΩΣΑΝΤΙ. υλζ΄.

Τὰ τοῦ Δαιδάλου εὕρῃς μοι καὶ τὰ τοῦ Ἰκαρίου
Ἐνταῦθα μὲν πρὸ πέντε σοι τῶν φύλλων γεγραμμένα,
Εἰς ἐνναχαιδεκάτην τε ἱστοριῶν τῶν πρώτην,
Περὶ βοὸς τοῦ Μίνωος, ἣ πρόγραμμά μοι φέρει.
Ἐκεῖ δὲ μᾶλλον ἔγραψα ταῦτα πεπλατυσμένως.

ΠΕΡΙ ΤΩΝ ΚΥΗΜΑΤΩΝ ΤΗΣ ΑΕΤΕΙΑΣ ΓΟΝΗΣ. υλή.

Τῶν ἀετῶν οἱ νεοσσοὶ ὡς τῶν λοιπῶν ὀρνέων
Ἀπὸ ὠῶν εἰώθασιν ἐκφύεσθαι, ὠῶν δὲ
Ἐκ συνουσίας ἄῤῥενος τεχθέντων καὶ θηλείας.
Καὶ γεγονότας νεοσσοὺς ὁ ἀετὸς γυμνάζει·
Ἱστᾷ πρὸς τὰς ἀκτίνας γὰρ ἐκείνους τοῦ ἡλίου.
Κἂν μὲν οὖν ἀσκαρδάμυκτα προβλέψωσιν ἐκείνας,
Γνησίαν κρίνει τὴν γονήν, κατέχει τε καὶ τρέφει·
Εἰ δ᾽ οὔ, αὐτοὺς ἐξέωσε τῆς καλιᾶς ὠθήσας.
Φήνη δ᾽ οἰκτίρμον ὄρνεον ταῦτα λαβοῦσα τρέφει.
Ταὐτὸ καὶ ὁ κροκόδειλος τοῖς ἀετοῖς ποιεῖ δε,
Ὡς καὶ αὐτός που ἔγραψα χρονογραφῶν ἰάμβοις·
„Γεννᾷ μὲν ὠά, χηνικὰ δόξεις βλέπειν.
„Ἐπὰν δ᾽ ἀπ᾽ αὐτῶν ἐκρυῇ τὸ σκυμνίον,
„Ὁ θὴρ δικαστὴς γίνεται τῶν ἐκγόνων.
„Ὃ μὲν γὰρ εὐθύ τι λάβοι ζωϋλλίων,
„Κώνωπα, μυῖαν, εἴτε τι τῶν παρνόπων,
„Κέκρικεν αὐτὸ μὴ γονῆς εἶναι νόθον,
„Τρέφει τε λοιπὸν ὡς φυλάττον τὴν φύσιν.
„Ὃ δ᾽ αὖ γε νωθρὸν ἀδρανὲς πάλιν ἴδοι,
„Ἀνεῖλεν εὐθὺς ὡς δοκήσας τῶν νόθων.
Τῶν ἀετῶν μὲν τὰ ὠὰ καὶ νεοσσοὶ τοιοῖδε.

HIST. 438. In inscriptione erat *κυκμάτων.*

ΠΕΡΙ ΘΗΛΥΓΟΝΩΝ ΚΑΙ ΓΥΠΙΑΙΩΝ ΚΑΙ ΥΠΗΝΕΜΙΩΝ. υλθ'.

Γῦπάς τινες δὲ ἄσκεπτοι λέγουσι ζῶα τίκτειν,
Ἔχειν καὶ γάλα καὶ μαστοὺς καὶ ἕτερα τοιαῦτα.
Ἐγὼ δ' ὡς εὗρον ἄῤῥενας ἅπαντας εἶναι τίγρεις,
Οὕτω καὶ θῆλυ τὸ γυπῶν ἐφεῦρον σύμπαν γένος.
Πέντε δ' ἡμέραις πρὸς πυγὴν πετόμενοι ἀνέμοις,
Κυρίως συλλαμβάνουσι γονὴν ὑπηνεμίαν.
Ἐν ἑκατὸν καὶ εἴκοσιν ἡμέραις δὲ γεννῶσι
Τὰ ὑπηνέμια ὠά. ἐν δὲ τοιαύταις ἄλλαις
Ἐκ τῶν ὠῶν ἐκλέπουσι καὶ νεοσσοὺς ποιοῦσιν.
Ἐν ἑκατὸν ἡμέραις δὲ καὶ εἴκοσιν ἑτέραις
Μέχρι καὶ πτήσεως αὐτῶν ἐκτρέφουσιν ἐκείνους.
Γονὴν γυπῶν ὑπήνεμον ἔχεις, τὴν θηλυγόνων.
Φανεὶς ὀνείροις δὲ ὁ γὺψ ἐνιατὸν σημαίνει,
Οἷά σοι προκατέλεξα σαφῶς ἐξ Αἰγυπτίων.

ΠΕΡΙ ΘΕΙΟΥ ΑΠΥΡΟΥ, ΚΑΙ ΤΙ ΘΕΙΟΝ ΚΑΛΕΙΤΑΙ. υμ'.

Θεῖον μὲν τὸ θειάφιον ὑπάρχειν σαφῶς νόει,
Θεῖον καὶ τὸ θυμίαμα, ὁ κεραυνός τε θεῖον,
Καὶ πᾶν σὺν τούτοις θαυμαστὸν θεῖον, καὶ οἱ ἀστέρες.
Καὶ ἡ ψυχὴ καὶ ἄγγελοι καὶ τὰ τοιαῦτα, θεῖον.
Θεῖον μὲν τὸ θυμίαμα οὕτω καλεῖσθαι νόει,
Ὡς ἴον καὶ ἐρχόμενον θεοῖς τῷ διεκπνέειν.
Θεῖον δὲ τὸ θειάφιον, ὡς κεραυνῷ ὅμοιον.
Θειώδη γὰρ ὁ κεραυνὸς βαρεῖαν ὀδμὴν ἔχει.
Πλὴν ὅσον ἄγγελός ἐστιν ἐκ τέχνης ζωγραφίας,
Πλεῖον πρὸς τὸ θειάφιον, ἡ κεραυνοῦ δριμύτης.

HIST. 439.

731. In Cd. A. *τίχρεις*.
734. Pro *κυρίως* in margine cd. A. *ἐν ταύταις*.
741. Margo Cd. A. *ὀρείοις*.

HIST. 440.

751. Etiam cd. A. *ἐκτέχων*. Lacisius vertit *ex arte*. Ne id quod aperte vitiosum est, relinquerem, scripsi *ἐκ τέχνης*.

Γέγευσμαι ταύτης τῆς ὀδμῆς καὶ ἔγνων τὴν πικρίαν.
Ὡς εἴθε ἄπειρος αὐτῆς μέχρι τοῦ νῦν ὑπῆρχον.
Ἔπαθόν τι καὶ γέλωτος τῷ φόβῳ τῷ ἀμέτρῳ.
Τραϊανοῦ τῆς πόλεως ἐγγὺς γάρ μοι χωροῦντι,
Σκηπτοῦ χυθέντος κεραυνοῦ πρὸς δεξιόν μου μέρος,
Ἀφαιρεθῆναι ἤλπισα τρίχας τε καὶ τὸν ὦμον.
Ἑκὼν τὴν χεῖρα δὲ αὐτὸς οὐδόλως παρεκίνουν,
Οὐδὲ ἑώρων οὐδαμῶς πρὸς δεξιόν μου μέρος,
Κεραυνοβλῆτα δὲ πεσεῖν τὸν ὦμον προσεδόκων,
Καὶ τεθνηκέναι καὶ αὐτὸς μετὰ βραχεῖαν ὥραν.
Ἀλλ' ἐκ τοῦ φόβου ζωωθεὶς βολῆς ἧσπερ ἐδόκουν,
Ἐκ τῆς ὀσμῆς τοῦ κεραυνοῦ μικροῦ νεκρὸς ἂν ἤμην.
Τοῦ ὤμου ἀστοχήσας γὰρ ἐνέσκηψεν εἰς πέτραν.
Τοσαύτη ἤρθη δὲ ὀσμὴ ἐκ τῆς πληγῆς ἐκείνης,
Ὡς τὴν βολὴν φυγόντα με σχεδὸν θανεῖν ἐκ ταύτης,
Τὴν δὲ ἡμίονον αὐτὴν ᾗ ἔποχος ὑπῆρχον,
Τρόμως τρέμειν δεινότατον μέχρι καὶ βουλυσίου.
Οὕτως ὀσμῆς τῆς κεραυνῶν πεῖραν πικρὰν ἐσχήκειν,
Ἀφ' ἧς καὶ τὸ θειάφιον, θειάφιον καλεῖται.

Θεῖον δ' αὐτὸν τὸν κεραυνὸν πάλιν καλεῖσθαι νόει,
Ὡς ἐκ νεφῶν συντρίψεως πῦρ θεῖον ὑπηργμένον,
Οὐκ ἔνυλον ἐκ ξύλων δέ, ἐλαίου καὶ τοιούτων.

Ὡς θέας δὲ ἐπάξιον θεῖον πᾶν θαυμαστόν τι,
Καὶ οἱ ἀστέρες θεῖον δέ, ἐκ τοῦ θεῶ, τὸ βλέπω,
Ἢ ἐκ τοῦ θέω πλέον δέ, ὅπερ δηλοῖ τὸ τρέχω,
Ψυχή τε καὶ οἱ ἄγγελοι καὶ τὰ τοιαῦτα θεῖον,
Ἢ ἐκ τοῦ βλέπειν ἅπαντα, νοεῖν τε καὶ γινώσκειν,
Εἴτ' οὖν ὡς ἀεικίνητα ἐκ θέειν καὶ τοῦ τρέχειν.

ΠΑΡΟΙΜΙΑ Η ΛΕΓΟΥΣΑ, ΑΥΤΟΣ Δ' ΑΙΚ' ΕΘΕΛΗΙΣ', ΙΗΣΕΤΑΙ, ΟΥ ΔΕ ΤΙΣ ΑΛΛΟΣ. υμά.

Ὁ Ὅμηρος τὸν Κύκλωπα ἐν Ὀδυσσείᾳ φέρει
Πρὸς Ὀδυσσέα λέγοντα μετὰ τὸ τυφλωθῆναι·
Τοῦ Ποσειδῶνος, Ὀδυσσεῦ, υἱὸς ἐγὼ τυγχάνω.
„Αὐτὸς δ' αἴκ' ἐθέλῃσ', ἰήσεται, οὐ δέ τις ἄλλος.

ΠΕΡΙ ΤΟΥ, ΠΑΝΤΑ ΚΑΛΩΝ ΚΙΝΕΙΣ, ΩΣ ΠΑΝΤΑ ΛΙΘΟΝ ΚΙΝΕΙ. υμβ'.

Μετὰ Περσῶν τὸν πόλεμον τὸν περὶ Μαραθῶνα
Ἀνδρὶ χρησμὸς ἐκέχρηστό τινι τῶν Ἀθηναίων.
Τὴν μνήμην δ' ἀποδέδρακεν ἐμοῦ ἡ τούτου κλῆσις,
Ὡς πάντα κάλων δὲ κινεῖν καὶ πάντας δὲ τοὺς λίθους.
Τοῦτο ποιῶν ἐκεῖνος δὲ καὶ πᾶν ἀναμοχλεύων
Ὑπέρπλουτος ἐγένετο, πλοῦτον εὑρὼν ἐκ Μήδων.

ΠΑΡΟΙΜΙΑ Η ΛΕΓΟΥΣΑ, ΤΟΙΣ ΕΝΥΑΛΙΟΙΣ ΕΣΘΗΜΑΣΙΝ. υμγ'.

Ἔσθημα ἐνυάλιον στρατιωτῶν τὸ εἶμα,
Ὅπερ καβάδης λέγεται ἀπὸ Καβάδου Πέρσου.
Ὁ δ' Ἐνυάλιος θεὸς πολεμικὸς ὑπάρχει.
Κατά τινας, ὁ Ἄρης μὲν παῖς Ἐνυοῦς ὢν Ἥρας,
Ἄλλοις υἱὸς τοῦ Ἄρεος, ἑτέροις δὲ θεράπων.
Ἀῤῥιανῷ δὲ ἄλλος τις Ἄρεϊ ἐσφαγμένος.

HIST. 441.

784. Odyss. IX, 520.

HIST. 442.

787. Margo cd. A. τοῦδε pro τούτου.

ΠΕΡΙ ΥΠΟΥΛΟΥ, ΚΑΙ ΠΟΘΕΝ ΥΠΟΥΛΟΝ ΦΑΜΕΝ ΚΑΙ ΠΟΣΑ ΣΗΜΑΙΝΕΙ ΤΟ ΟΥΛΟΝ. υμδ΄.

Ὕπουλον τὸ πανοῦργόν τε καὶ σκολιὸν καλεῖται
Ἐκ τραύματος, ὃ ἔξωθεν δοκεῖ μὲν ὑγιαίνειν,
Ἔσω δ' ἐστὶ διάβορον, γέμον ὀζώδους ἕλκους.
Τέσσαρα δὲ τοῖς παλαιοῖς τὸ οὖλον δηλοῖ τάδε·
Τὸ ὑγιές, ὁλόκληρον, ὀλέθριον, σγουρόν τε.
Ὁ Τζέτζης τοῖς παλαιοῖς δὲ προςτίθησι τὰ δύο.
Τὸ μέρος τὸ τοῦ σώματος, ὅπερ καλοῦμεν οὖλον,
Καὶ πᾶν σὺν τούτοις μαλακόν. εἰσφέρει δὲ καὶ χρήσεις
Τοῦ οὔλου μέρους σώματος ἐκ στίχων τῶν Αἰσχύλου.
Ἐκ τοῦ Ὁμήρου πάλιν δὲ τοῦ μαλακοῦ τὴν χρῆσιν.
„Οὔλοισιν ἐξήμελξας εὐτρεφὲς γάλα.
„Χλαινάων ἀνεμοσκεπέων, οὔλων τε ταπήτων.

ΠΕΡΙ ΤΟΥ, ΚΑΙ ΚΕΡΔΑΚΕΩ, ΚΑΙ ΠΟΘΕΝ ΕΙΡΗΤΑΙ ΚΕΡΔΑΛΕΟΝ. υμε΄.

Ἀπὸ τοῦ κέρδους λέγεται σύμπαν τὸ κερδαλέον,
Ἢ ἀπὸ τῆς ἀλώπεκος, ἣν καὶ κερδὼ καλοῦμεν.
Πάνυ γὰρ πανουργότατον καθέστηκε τὸ ζῷον.

ΠΕΡΙ ΜΕΓΑΙΡΗΣ ΚΑΙ ΤΙΣ Η ΜΕΓΑΙΡΑ. υμϛ΄.

Ἡ Μέγαιρα ὁ φθόνος τέ ἐστι καὶ βασκανία,
Ἀπὸ Μεγαίρης δαίμονός τινος φθονορωτάτου.

HIST. 444.

801. In margine edit. Bas. haec leguntur: „Infra Chil. XIII, 639. est forte color, quem nos vernacula lingua in Italia dicimus *verdoscuro*, i. e. viride obscurum."

807. Aeschyl. Choeph. 888. Iliad. XVI, 224.

ΠΕΡΙ ΒΑΣΚΑΝΩΝ ΕΡΙΝΝΥΩΝ, ΚΑΙ ΑΛΑΣΤΟΡΩΝ ΤΕΛΧΙΝΩΝ. υμζ'.

Πᾶσαν βασκανίαν γίνωσκε, τὴν δι' ὀμμάτων βλάβην,
Διὰ φαέων βαίνουσαν καὶ βλέψεως ὀμμάτων.
Πολλοῖς γάρ ἐστιν ὀφθαλμὸς προβλέψει βλάπτειν σθένων.
Παρ' Ἕλλησι δὲ δαίμονες τρεῖς ἦσαν Ἐριννύες,
Ἡ Τισιφόνη, Μέγαιρα καὶ Ἀληκτὼ σὺν ταύταις·
Καὶ Ἐριννῦς δὲ λέγουσιν αὐτὰς ἐτυμολόγοι
Ὡς ἐν τῇ ἔρᾳ καὶ τῇ γῇ τὴν οἴκησιν ἐχούσας·
Ἢ ἀνυούσας τὰς ἀράς, τουτέστι τὰς κατάρας·
Δι' ἦτα οὕτω τὸ λοιπὸν ἔδει τὸ ῥῆ ἐκφέρειν.
Ἐκ τοῦ ἐρι μορίου δὲ καὶ νύσσω Τζέτζης λέγει,
Αἳ ἄγαν διεγείρουσαι ἢ διεγηγερμέναι·
Εἴτ' οὖν Ἐριδονύες τε καὶ Ἐριννῦς ἐκ τούτου,
Ὡς ἐρίδας νυμφεύουσαι ἢ νύμφαι τῶν ἐρίδων,
Ἢ πλέον αἱ εἰς ἐρίας καὶ ἔρις νύσσουσαί γε.
Ὅθεν καὶ γράφεσθαι μακρόν φησι καὶ τὸ ἰῶτα.
Παρὰ τὸ τίειν τιμωρεῖν φονεῖς δὲ Τισιφόνη.
Ἡ Μέγαιρα ἐκλήθη δὲ ἐκ τοῦ κακοῖς μεγαίρειν·
Ἡ Ἀληκτὼ δ' ὡς ἄληκτος οὖσα πρὸς ἐκδικήσεις.
Ἀλάστορες, οἳ ἄλας τε τηροῦντες καὶ τὰς βλάβας.
Ὁ Τζέτζης, οἳ ἐν ἄλαις δὲ τείροντες καὶ ταῖς βλάβαις.
Τείρω τόρος, τὸ δάμασμα, ὡς ἐκ τοῦ φέρω φόρος.
Τελχῖνες ἦσαν δέ τινες τῶν φθονερῶν δαιμόνων,
Ἀκταῖος, Μεγαλήσιος, Ὅρμενός τε καὶ Λύκος,
Μινὼν ὁμοῦ τε καὶ Νικών, ἴσως δὲ δὴ καὶ ἄλλοι.
Ὡς δὲ κεντρώδεις καὶ τραχεῖς ἐκ τοῦ ἐχίνου ζώου,
Τζέτζης ἠτυμολόγησε, τελειουχίνους ὄντας.
Ἢ τέλος τι ἐχίειον καὶ φαρμακῶδες ὄντας.

HIST. 447.

814. Una syllaba redundat.

816. Immo προσβλέψει.

832. Erat ἄλας, et vs. proximo ἄλλαις.

837. Vid. Chil. VII, 123.

838. Erat τραχῆς.

ΠΑΡΟΙΜΙΑ Η ΛΕΓΟΥΣΑ, ΚΙΜΜΕΡΙΟΝ ΓΑΡ ΟΝΤΑ ΜΕ ΚΑΙ ΑΝΗΛΙΟΝ. υμή.

Τοὺς Κιμμερίους οἱ πολλοὶ ἔθνος φασὶν ὑπάρχειν
Περὶ τὸν Ταῦρον τῶν Σκυθῶν καὶ τὴν Μαιῶτιν λίμνην,
Οἵπερ ἀφώτιστοί εἰσιν, ἥλιον οὐχ ὁρῶντες.
Ἐν σκότει δὲ διάγουσιν ἔν τε νυκτὶ βαθείᾳ
Ἡμέρας τεσσαράκοντα. καιρὸς δ' αὐτοῖς τοῦ σκότους,
Ὅταν ἐν αἰγοκέρωτι ὁ ἥλιος ὑπάρχῃ·
Ὅταν ἐν τῷ καρκίνῳ δὲ ὁ ἥλιος ὑπάρχῃ,
Ἡμέρας τεσσαράκοντα ὁλόφωτοι τελοῦσιν.
Ἄλλοι δ' ἄλλα ψευδίστατα λέγουσι περὶ τούτων.
Ὅμηρος Κιμμερίους δὲ παρ' Ἰταλίαν λέγει,
Καὶ ἀφωτίστους εἰσαεὶ τούτους φησὶν ὑπάρχειν.
Καὶ τοῦτο θόρυβον πολὺν τοῖς φυσικοῖς παρέσχεν.
Εἰσὶ δὲ οἱ Κιμμέριοι μέρος βραχὺ καὶ δῆμος
Ἔθνους τινὸς Ἰταλικοῦ. αἱ δὲ οἰκήσεις τούτοις
Ἐν φάραγξι καὶ κοίλοις δὲ καταδένδροις τόποις.
Καὶ οὕτω ἥλιος αὐτοῖς οὐδόλως ἐπιλάμπει.
Ἐκεῖ καὶ λίμνη τίς ἐστι Σιάχα καλουμένη,
Ἧι καὶ τὰ φύλλα πίπτοντα βυθίζεται τῶν δένδρων.

ΠΑΡΟΙΜΙΑ Η ΛΕΓΟΥΣΑ, ΑΛΛ' Ω ΠΑΛΑΜΝΑΙΕ ΚΑΙ ΑΛΙΤΗΡΙΕ ΔΑΙΜΟΝ. υμθ'.

Πᾶς ὁ παλάμαις καὶ χερσὶν αὐτοχειρίᾳ κτείνων,
Ἤ καί τι ἐργαζόμενος καλεῖται παλαμναῖος.
Καὶ κλῆσιν δὲ νῦν μάνθανε τὴν τῶν ἀλιτηρίων.
Λιμός ποτε κατέσχηκε μεγίστη τὰς Ἀθήνας·
Οἱ δὲ θορυβωδέστεροι καὶ γένους τῶν ἁρπάγων
Ἐφοίτων, παρετήρουν τε ποῦ κτύπος ἦν μυλώνων,
Καὶ ἄλια καὶ ἄλευρα θέλοντες διαρπάζειν.
Ἐκ τούτου πάντας τοὺς κακοὺς φαμὲν ἀλιτηρίους.
Τζέτζης δ' ὡς τὸ παυστήριός φησιν ἀπὸ τοῦ παύω,
Οὕτω τὸν ἀλιτήριον ἐκ τοῦ ἀλίτω λέγει,
Τουτέστι, τὸν ἁμαρτωλὰ καὶ ἄδικα ποιοῦντα.

Δαίμων δὲ καὶ ὁ ἔμπειρος καλεῖται καθ' ἑτέρους
Δαήμων τις καὶ ἔμπειρος ὑπάρχων, ὥσπερ ἔφαν.
Δαίμων καὶ πᾶς ὁ φονικὸς καὶ κοπτικὸς τῷ Τζέτζῃ.
Ἐκ τοῦ δαΐζω δέ φησι τοῦτο τὴν κλῆσιν φέρει.

ΠΕΡΙ ΑΜΑΖΟΝΙΔΩΝ ΚΑΙ ΣΚΥΘΙΔΩΝ ΚΑΙ ΣΑΥΡΟΜΑΤΩΝ ΓΥΝΑΙΚΩΝ. υν'.

Ὅτι τὸ γένος μάχιμον τὸ τῶν Ἀμαζονίδων,
Τοὺς πάντας ἀφεμένῳ μοι δεικτέον ἐξ Ὁμήρου·
„ Τὸ τρίτον αὖ κατέπεφνεν Ἀμαζόνας ἀντιανείρας.

Καὶ αἱ Σκυθίδες πανταχοῦ ἀνδράσι συμπονοῦσι
Καὶ ταῖς μάχαις καὶ τοῖς ἔργοις δὲ σύμπασιν ἑτέροις,
Μᾶλλον τὰ ἔργα σύμπαντα ἐργῶνται αἱ γυναῖκες.

Καὶ τῶν Σαυροματῶν νόει μοι τὰς γυναῖκας,
Σκυθῶν καὶ Ἀμαζόνων δὲ γονῆς ἐκπεφυκυίας,
Ὥσπερ καὶ Διονύσιός φησι περιηγήσει·
„ Τῆς γάρ τοι φιλότητος Ἀμαζονίδων ἐγένοντο,
„ Τήν ποτε δὴ μίχθησαν ἐπ' ἀνδράσι Σαυρομάτῃσι.
Οἱ Σαυρομάται Σκύθαι δέ, οὓς περαντάδας λέγεις.
Εἰς πλάτος πᾶσαν δὲ εἰπεῖν ἐῶ τὴν ἱστορίαν.
Τὴν ἔνδειαν πτωσσοῦμαι γὰρ οὐχὶ μικρῶς τοῦ χάρτου,
Μήπως πολλὰς ἐάσωμεν ἀγράφους ἱστορίας.
Ὅθεν μοι κρεῖττον ἔδοξε περὶ πασῶν βραχέως,
Ἢ πλατυτάτως βραχειῶν ἱστοριῶν μνησθῆναι,
Τὰς δὲ λοιπὰς τοῦ πίνακος λιπεῖν ἀμνημονεύτους.
Ὅθεν ὑμῖν ὀλίγον τε καὶ φίλον νομιστέον.

HIST. 450.
875. Iliad. VI, 186.
878. Addidi *ταῖς*.
880. Videtur *αὐτῶν* post *καὶ* inserendum.
882. Dionys. Perieg. v. 654. sq. E memoria Tzetzes citat.
892. Scripsi *λιπεῖν* pro eo quod in cd. A. legitur, *λιπὸν* vel *λιπών*.

ΙΣΤΟΡΙΑ Η ΛΕΓΟΥΣΑ, ΚΑΙ ΤΑΣ ΣΑΚΙΔΑΣ ΚΑΙ ΜΑΣΣΑΓΕΤΙΔΑΣ. υνά.

Τοὺς Σάκας ἔθνος γίνωσκε, ὧν εὕρεμα τὸ σάκος,
Καὶ αἱ γυναῖκες τούτων δὲ συμμάχονται ἀνδράσιν,
Ὡς καὶ Κτησίας εἴρηκε, καὶ ἕτεροι μυρίοι.
„Αἱ τῶν Σακῶν γυναῖκες δὲ μάχονται δὴ ἀφ' ἵππων,
„Καὶ πάλιν δὲ Στρυάλιος ἀνήρ τις ἐκ τῶν Μήδων
„Γυναῖκα τῶν Σακίδων μὲν καταβαλὼν ἐξ ἵππου.
Τοὺς Μασσαγέτας νόει δὲ τοὺς Ἀβασγοὺς ὑπάρχειν.
Καὶ τούτων αἱ γυναῖκες δὲ τοῖς ἀνωτάτοις χρόνοις
Σὺν τοῖς ἀνδράσι τοῖς αὐτῶν ταῖς μάχαις ἐκαρτέρουν.
Καὶ τοῦτο γίνωσκε καλῶς, μηδέ σε λανθανέτω,
Ὡς Ἀβασγοὶ καὶ Ἀλανοὶ καὶ Σάκαι δὲ καὶ Δάκαι,
Οἱ Ῥῶς καὶ Σαυρομάται δὲ καὶ οἱ ἰδίως Σκύθαι
Καὶ πᾶν ὁπόσον πρόσοικον ἔθνος πνοαῖς Βορέου
Κοινῶς κατονομάζονται Σκύθαι, Σκυθῶν τῇ κλήσει.

ΟΤΙ ΤΕΡΑΣ ΠΑΡ' ΑΣΣΥΡΙΟΙΣ ΕΔΟΚΕΙ ΣΤΡΑΤΕΥΟΜΕΝΗ ΣΕΜΙΡΑΜΙΣ. υνβ'.

Τὴν μὲν τῆς Σεμιράμιδος σύμπασαν ἱστορίαν
Διακοστὴν ἐγράψαμεν ἑβδομηκοστοπέμπτην.
Νῦν δὲ τοὺς Ἀσσυρίους τε, Σύρους καὶ Ἀσσυρίαν
Καὶ ὅπως ἐστρατεύετο Σεμίραμίς μοι μάθε.
Ἀσσύριοι μὲν λέγονται οἱ Μεσοποταμῖται,
Σύροι δὲ πάντες οἱ ἐντὸς Κασίου καὶ Λιβάνου,
Ὧν πόλεις Ἀντιόχεια, Γάζα καὶ Ἑλαΐς δε,
Μάραφις καὶ Ἀσκάλων δέ, Τρίπολις καὶ Ἰόπη,
Ἄζωτός τε καὶ ἕτεραι πόλεις οὐχὶ βραχεῖαι.
Τοὺς Ἀσσυρίους ἔγνως μοι, σὺν τούτοις καὶ τοὺς Σύρους.

HIST. 451.

897. Ctesiae fragm. p. 120. Hoc versu Gronovio pro *Στρυάλιος* reponendum videtur *Στρυάγλιος*, quo nomine Medus vocatur apud Demetrium Phalereum in Ctesiae fragm. p. 119. — De Sacarum mulieribus vide etiam Aelian. Var. Hist. XII, 38. ibique interpretes.

Τὴν δὲ Σινώπην σύμπαντες καλοῦσιν Ἀσσυρίαν,
Ὡς τῇ Συρίᾳ ὅμορόν τισιν ἐτυμολόγοις·
Ἄλλοις δ' ὅτι κατέσυρται κατακλυσμῷ ἡ πᾶσα.
Καὶ τὴν τῶν Ἀσσυρίων δὲ γῆν Ἀσσυρίαν λέγειν,
Σύναμα καὶ Συρίαν δὲ πλὴν οὐ Συρίαν κοίλην.

Τὸ δ' ὅπως ἐξεπόρθησε Σεμίραμις τὰ Βάκτρα,
Ἐν τῇ ἐκείνης ἔγνωκας πλατείᾳ ἱστορίᾳ,
Καὶ Σταυροβάτην τὸν Ἰνδῶν πώποτε στεφηφόρον,
Δόλοις βοϊδελέφαντας ποιήσασα, ἐκτρέπει.
Ἐπεὶ δ' ἐκεῖνος ἔγνωκε μαθὼν ἐξ αὐτομόλου,
Ὅτι μελάνων μὲν βοῶν δέρματα συῤῥαφέντα
Εἰς μίμημα ἐγένοντο εἰδώλων ἐλεφάντων,
Ἄνωθεν εἰς καμήλους δέ εἰσιν ἐντεθειμένα,
Ἀντιστροφῇ συνέμιξαν, βολῇ τε ἀκοντίου.
Τὴν χεῖρα Σεμιράμιδος τρώσας βολῇ καιρίᾳ
Παλίντροπον ἐποίησε τὴν συῤῥαγὴν τῆς μάχης.
Σώζεται δ' ἡ Σεμίραμις τῷ τάχει τῆς καμήλου.

ΠΕΡΙ ΑΤΑΛΑΝΤΗΣ ΚΥΝΗΓΕΤΟΥΣΗΣ ΠΑΡ' ΕΛΛΗΣΙΝ. υνγ'.

Δύο παρὰ τοῖς Ἕλλησιν ὑπῆρχον Ἀταλάνται,
Ἡ μὲν Ἀρκὰς καὶ κυνηγός, Παρθενοπαίου μήτηρ.
Ἡ δ' ἦν παλαιστρικὴ μὲν καὶ τῶν δρομαιοκωτάτων.
Τῷ μὲν Πηλεῖ παλαιστρικῶς ἀνθαμιλλησαμένη,
Δρόμῳ νικῶσα πάντας δὲ ποδῶν τῇ ταχυτῆτι,
Νικᾶται Μελανίωνι, μῆλα χρυσᾶ ῥιπτοῦντι.
Καὶ ταῦτα δὲ συνάγουσα καὶ οὕτως ἡττηθεῖσα,

HIST. 452.

929. In cd. A. est *καμήλον.* Ita patet *καμήλους* esse genuinam lectionem. Ceterum cf. Diod. II, 16.

HIST. 453.

936. Quum Graecitas barbara habeat *δρόμαξ*, *currax*, potuit inde Tzetzes fingere superlativum *δρομακώτατος;* atque *δρομακωτάτων*, non *δρομαιοκωτάτων*, ut est in edit. Bas., videtur esse lectio codicis A. Neque abhorret a Tzetzae ingenio compositum *δρομαιωκὺς*, aut *δρομωκύς*. Hoegero legendum videtur *δρόμῳ ὠκυτάτων.*

Μᾶλλον δὲ τούτου ἔρωτι πολλῷ κατασχεθεῖσα,
Τοῖς καθ' Ἡρὼ καὶ Λέανδρον, ὡς ἔγραψε Μουσαῖος,
Ἡττᾶται Ἱππομέδοντι, οὐχ ᾧ Μουσαῖος λέγει.
Ὡς γράφει δὲ Θεόκριτος οὕτω κατ' ἔπος τάδε,
Καὶ τῶν ἐπῶν κατάκουε λοιπὸν τοῦ Θεοκρίτου·
„Ἱππομένης ὄκα δὴ τὰν παρθένον ἤθελε γᾶμαι,
„Μᾶλ' ἐν χερσὶν ἑλὼν, ἄνυε δρόμον. ἁ δ' Ἀταλάντη,
„Ὡς ἴδεν, ὡς ἐμάνη, ὡς ἐς βαθὺν ἄλλατ' ἔρωτα.

ΠΑΡΟΙΜΙΑ Η ΛΕΓΟΥΣΑ, ΚΑΙ ΕΠΙ ΜΥΣΟΙΣ ΘΑΜΒΟΣ, Η ΙΕΡΑ ΜΑΧΟΜΕΝΗ. υνδ΄.

Δύο Μυσίας εἰπόν σοι πρότερον πεφυκέναι.
Νῦν δὲ Μυσούς μοι νόησον λέγειν τοὺς παρ' Ὀλύμπῳ.
Ἡ Ἱερὰ δὲ σύζυγος ὑπῆρχε τοῦ Τηλέφου,
Ἐφ' ἅρματι δ' ἐμάχετο, καὶ αἱ σὺν ταύτῃ πᾶσαι.

ΚΑΙ ΠΑΡΑ ΚΑΡΣΙΝ Η ΑΡΤΕΜΙΣΙΑ, Η ΑΛΙΚΑΡΝΑΣΣΙΑ, Η ΤΟΥ ΜΑΥΣΩΛΟΥ ΓΥΝΗ. υνέ.

Ἀρτεμισία μία μὲν ἦν Ἀλικαρνασσία,
Ἡ τοῦ Μαυσώλου τοῦ Καρὸς σύνευνος, ἀδελφή τε,
Τῷ Ξέρξῃ συνεμάχει δὲ τῇ κατὰ στόλον μάχῃ.
Κλιθέντος δὲ τοῦ Περσικοῦ, διωκομένη τότε
Φοίνισσαν ναῦν ἐβύθισεν αὔτανδρον τῇ προσκρούσει.
Ὁ οἱ διώκοντες αὐτὴν ἰδόντες Ἀθηναῖοι,
Σύμμαχον εἶναι δόξαντες, ἀπέσχοντο διώκειν.
Ὁ Ξέρξης πολεμίαν δὲ τὴν ναῦν δοκήσας εἶναι,

---

941. Scripsi τούτου pro τούτῳ.
942. Vs. 154.
943. Margo cd. A. ὡς pro ᾧ.
944. Theocrit. III, 40. sqq. — De alia Atalanta vid. Aelian. V. H. XIII, 1. ibique interpr.
945. ἐπῶν pro λοιπῶν e cd. A.
948. Etiam cd. A. ἄλλατ', qui sic adiuvat in Theocrito lectionem ἄλατ'.

HIST. 455.

953. De Artemisia vide Herodot. VII, 99. VIII, 68. 87. 93. 101 — 103. ibique interpretes.

Τὴν δὲ βυθίσασαν εἰδὼς οὖσαν Ἀρτεμισίαν,
Μεγάλως ἀνεβόησεν ἐξ Αἰγαλέου ὄρους.
Οἱ ἄνδρες μου ἐγένοντο γυναῖκες τῇ νῦν μάχῃ,
Αἱ δὲ γυναῖκες ἔμπαλιν ἐξ ἔργων λαμπρῶν ἄνδρες.
Μίαν Ἀρτεμισίαν μὲν ἔχεις τὴν τοῦ Μαυσώλου.
Ἄλλην Ἀρτεμισίαν δὲ τὴν Ἑκατόμνου ἔχεις,
Ἄμφω καὶ στρατηγέτιδας, γενναίας ἀμφοτέρας.

ΠΕΡΙ ΤΟΥ, ΤΑΣ ΦΥΣΕΙΣ ΚΑΙΝΟΤΟΜΩΝ, ΩΣΠΕΡ ΕΚΕΙΝΟΣ Ο ΞΕΡΞΗΣ Ο ΒΑΡΒΑΡΟΣ. υνϛ΄.

Τὴν Ξέρξου ταύτην ἅπασαν εἰς πλάτος ἱστορίαν
Τριακοστὴν δευτέραν τε εὑρήσῃς ἐν ταῖς πρώταις.

ΠΕΡΙ ΤΩΝ, ΟΙΣ ΛΟΓΟΙΣ ΚΑΙ ΕΡΓΟΙΣ ΖΩΝ ΕΛΥΣΙΤΕΛΗΣΕΝ ΑΡΧΙΜΗΔΗΣ, ΚΑΙ ΤΟΙΣ ΣΥΓΓΡΑΜΜΑΣΙΝ ΕΤΙ ΛΥΣΙΤΕΛΕΙ. υνζ΄.

Τὴν Ἀρχιμήδους εὕρῃς δὲ τριακοστὴν καὶ πέμπτην.
Τινὲς βιβλίον λέγουσιν ἓν γράψαι Ἀρχιμήδην,
Ἐγὼ δὲ τούτου ἀναγνοὺς διάφορα βιβλία,
Τὰ κεντροβαρικά, κατόπτρων τὰς ἐξάψεις,
Καὶ τὰ ἐπισίδια, καὶ ἕτερα βιβλία,
Ἐξ ὧν Ἥρων, Ἀνθέμιος καὶ πᾶς μηχανογράφος
Τὰ ὑδρικά τε ἔγραψαν καὶ τὰ πνευματικά δε,
Βαρυολκά τε σύμπαντα καὶ θαλασσοδομέτρας.
Πολλὰ τοιαῦτα ἀναγνοὺς βιβλία Ἀρχιμήδους,
Ἀκούων οἵπερ λέγουσιν ἓν μόνον γεγραφέναι,
Πάσχω καὶ λέγω τὰ αὐτά, ἅπερ ἐκεῖνος εἶπεν,
Ὃς εἶχε Θέκλαν σύζυγον, υἱὸν δὲ τὸν Παυλίτζην,
Ὅταν κατεῖδε τὸν μοιχὸν κείμενον σὺν τῇ Θέκλᾳ.
Ἰδὼν γὰρ τοῦτο, ἐκπλαγεὶς καθ᾽ ἑαυτὸν ἠπόρει,

---

962. De hoc monte vid. Wessel. et Valck. ad Herodot. VIII, 90.

Εἴπερ αὐτός ἐστιν, ἢ ἕτερός τις ἄλλος.
Ἑστὼς οὖν ἐλογίζετο καὶ ἔλεγε τοιαῦτα·
Ἰδοὺ τοῦτο ὁ Παῦλος μὲν ὑπάρχει τὸ παιδίον,
Αὕτη τοῦ Παύλου μήτηρ δέ, ἡ καλουμένη Θέκλα,
Οὗτός εἰμι δὲ ἔγωγε. ἐγὼ δὲ τίς τυγχάνω;
Ταὐτὸ κἀγὼ ταῖς βίβλοις δὲ τοῦ Ἀρχιμήδους λέγω.
Ἰδοὺ αὗται παιδία μὲν ὑπάρχουσιν, οἱ Παῦλοι,
Ἡ δ' Ἀρχιμήδους ἐγγραφὴ μήτηρ αὐτῶν, ἡ Θέκλα,
Οἱ δ' Ἀρχιμήδους λέγοντες ὑπάρχειν ἐν βιβλίον,
Οὗτοι δῆθεν ἐγώ εἰμι. ἐγὼ δέ τίς τυγχάνω;
Καὶ τίνα ἃ ἀνέγνωκα, ἢ ὄναρ ταῦτα εἶδον;
Ἐδόκουν καὶ τὸν Δώριον ἔχειν δὲ χαρακτῆρα,
Καὶ ἅπαν δὲ τὸ γνώρισμα σαφὲς τοῦ Ἀρχιμήδους.

ΠΕΡΙ ΚΑΣΤΟΡΟΣ ΚΑΙ ΠΟΛΥΔΕΥΚΟΥΣ, ΖΩΝΤΩΝ ΕΤΕΡΗΜΕΡΩΝ. υνη'.

(ἐγράφη δέ.)

Ἡ ἱστορία Κάστορος ἅμα καὶ Πολυδεύκους
Ταῖς πρώταις τεσσαρακοστῇ γέγραπται καὶ ὀγδόῃ.

ΠΕΡΙ ΤΟΥ ΗΡΩΔΟΥ ΝΟΣΗΜΑΤΟΣ. υνθ'.

Ἡρώδης, ὃν ἀκούομεν, ὁ βασιλεὺς Ἰούδα,
Ὁ βρεφοκτόνος καὶ αὐτοῦ τρεῖς ἀποκτείνας παῖδας,
CHILIAS XIII. Κύπριδος Ἀραβίσσης ἦν υἱὸς καὶ Ἀντιπάτρου,
Καίσαρος χρόνοις Σεβαστοῦ καὶ χρόνοις Κλεοπάτρας
Καὶ τῇ Χριστοῦ βρεφώδει δὲ σύγχρονος ἡλικίᾳ.
Πατρὸς δ' οὐ ἔφην ἀγενοῦς ὢν παῖς πανουργοτάτου
Πολλῷ νικᾷ τὸν φύσαντα πανουργιῶν τῷ τρόπῳ,
Θωπεύων ὑπερχόμενος πάντας τοὺς ὑπερόχους.

HIST. 457.
984. Videtur excidisse *οὗτος* ante *αὐτός*.

HIST. 459.
Cf. Iosephi Archaeol. XVII. c. 6. Bell. Ind. I. c. 33. II. c. 1. qui locus est repetitus in Trendelenburgii Chrestomath. Flav. p. 55. sqq.

Τὴν Σαμαρέων πόλιν γὰρ αὐτὸς ἐξανακτίσας,
Καίσαρι χαριζόμενος, τῷ Σεβαστῷ ἐκείνῳ,
Ἔθετο κλῆσιν Σεβαστὴν ἀντὶ τῆς Σαμαρείας·
Καὶ Κλεοπάτρᾳ δωρεὰς ἔπεμπε βασιλείους.
Καὶ ὅτε ὁ Ἀντώνιος ἀνὴρ τῆς Κλεοπάτρας
Τὴν ἀδελφὴν τοῦ Καίσαρος ἀφεὶς Ὀκταουΐαν
Καὶ ὅτε ὁ Ἀντώνιος ὁμοῦ καὶ Κλεοπάτρα
Τὸν μέγαν πρὸς τὸν Καίσαρα πόλεμον συνεκρότουν,
Στείλας Ἡρώδης γράμματα, χρήματα καὶ τριήρεις
(Διπλᾶ δ' ἦσαν τὰ γράμματα τὰ τότε δεδομένα,
Τὰ μὲν πρὸς τὸν Ἀντώνιον, πρὸς Σεβαστὸν δὲ ἄλλα)
Τοῖς τῶν χρημάτων κομισταῖς καὶ τῶν γραμμάτων εἶπεν,
Ἐγκαρτερῆσαί τι μικρὸν καὶ κατιδεῖν τὸ τέλος,
Καὶ τῷ νικῶντι παρασχεῖν ἐπιστολὰς καὶ τἄλλα,
Τὰς δὲ πρὸς τὸν ἡττώμενον ἐπιστολὰς συγκρύψαι.
Τίς τῶν Ἡρώδου γράψειε πανουργιῶν τι μέρος;
Κατασχεθεὶς μυρίοις δὲ τῶν νοσημάτων θνήσκει,
Λαβρῷ, δεινῷ τῷ πυρετῷ, κνησμῷ ἐπιφανείας,
Κώλων ὀδύναις καὶ σπασμοῖς καὶ τῶν ποδῶν ὀγκώσει,
Τοῦ ἤτρου σηπεδόνι τε σκώληκας ἐγγεννώσῃ,
Καὶ ὀρθοπνοίᾳ, τῇ ἐμῇ μιαροτάτῃ νόσῳ,
Ὑφ' ἧς καὶ βιαζόμενος πλέον πασῶν τῶν ἄλλων,
Καὶ πρὸ τοῦ δέοντος καιροῦ χρῄζων ἐκπνεῦσαι βίον,
Λαβὼν εἰς χεῖρας μάχαιραν δῆθεν ὡς ξέσων μῆλον,
Τὴν δεξιὰν ἀνέτεινεν ὡς ἑαυτὸν ἀνέλοι.
Ἀνεψιὸς δέ, ὡς δοκῶ, Μετρόηβος τὴν κλῆσιν,
Τὴν μάχαιραν ἀφήρπαξεν ἐκ τῶν χειρῶν ἐκείνου.
Ὕστερον θνήσκει δὲ πικρῶς, ὀδύναις ἀφορήτοις.

---

24. Etiam hic locus confirmat in Iosepho, B. I. 1. 33. §. 5. lectionem *λαβρὸς* pro *οὐ λαβρός*. Sequitur hic Tzetzes Iosephum.

32. A Iosepho vocatur *Ἀχίαβος*.

ΙΣΤΟΡΙΑ Η ΛΕΓΟΥΣΑ, ΤΟΝ ΠΑΡ' ΟΜΗΡΩι ΚΛΥΤΟΠΩΛΟΝ, ΝΥΝ ΕΠΕΓΝΩΝ ΒΡΑΔΥΠΩΛΟΤΑΤΟΝ. υξ'.

Τὸν Ἅιδην Ὁμηρός φησι πολλάκις κλυτόπωλον,
Τὸν Ἅιδην καὶ τὸν θάνατον, ἀπὸ τῶν συμβαινόντων.
Οἱ τοῦ θανάτου ἵπποι γὰρ ἐξάκουστοι τοῖς πᾶσιν.
Εἰσὶ δέ γε ταχύτατοι. τίς γὰρ αὐτοὺς ἐκφύγοι;
Ἄκουε καὶ κατ' ἔπος δὲ εἰ θέλεις, τοῦ Ὁμήρου.
„Εὖχος ἐμοὶ δώσειν, ψυχὴν δ' Ἄϊδι κλυτοπώλῳ.

ΠΕΡΙ ΤΟΥ ΘΡΙΑΜΒΙΚΟΥ ΚΟΥΡΟΥΛΙΟΥ ΔΙΦΡΟΥ. υξά.

Τὰ τοῦ θριαμβικοῦ πάντα τοῦ κουρουλίου δίφρου
Ἔχει τὸ ἐπιστόλιον. τί δὲ δεῖ γράφειν πάλιν;
Ὅπως τὸν θριαμβεύοντα χρίσαντες κινναβάρει
Ἢ καὶ σινωπιδίῳ δὲ ἐφ' ἅρματος ἱστῶσι
Καὶ στέφανον δὲ χρύσεον τῇ κεφαλῇ τιθοῦσιν,
Ὁπόσα κατειργάσατο, φέροντα τυπωθέντα,
Καὶ τῇ χειρὶ διδόασι δάφνινον τούτῳ κλάδον
Καὶ βραχιονιστῆρας δὲ ἐμβάλλουσιν ἐκεῖνοι,
Καὶ πάντας ἀριστεύσαντας στεφάνοις στεφανοῦσιν,
Ἐξ ἀργυρᾶς τῆς ὕλης μὲν γραπτοῖς ταῖς ἀριστείαις,
Καὶ πῶς ἐπὶ τοῦ ἅρματος δημόσιος οἰκέτης
Ὄπισθεν τούτου ἵσταται τὸν στέφανον ἀνέχων,
Καὶ λέγων τούτῳ πρὸς τὸ οὖς· καὶ τὸ κατόπιν βλέπε —
Πάντα τὸ ἐπιστόλιον ἔχει τὰ τῶν καιρίων.

HIST. 460.
38. Inserui γε. Margo cod. A. ἐκφύγῃ. 40. Iliad. V, 654.

ΠΑΡΟΙΜΙΑ Η ΛΕΓΟΥΣΑ, ΟΥ ΓΑΡ ΕΓΩ ΚΡΕΙΤΤΩΝ ΠΕΤΡΟΥ ΚΑΘΕΣΤΗΚΑ, ΕΠΑΘΟΝ ΤΙ ΜΙΚΡΟΠΡΕΠΕΣ. υξβ'.

Τῶν ἀποστόλων ἡ κρηπίς, ὁ κορυφαῖος Πέτρος,
Μικροπρεπές τι πέπονθε πρῶτον ἐν τῇ σταυρώσει,
Καὶ πρὸ φωνῆς ἀλέκτορος. τὰ δ' ἄλλα σιγητέον.
Καὶ μετὰ τὴν ἀνάστασιν πάλιν φορᾷ δευτέρᾳ
Τὸν Ἰησοῦν μου κατιδὼν βαδίζοντα θαλάσσῃ,
Βαλὼν αὐτὸν εἰς θάλασσαν ἀπὸ τῆς ἁλιάδος
Κλύδωσι προσεπάλαιε, καρδίας δισταζούσης.

ΠΕΡΙ ΤΟΥ, ΟΛΙΓΟΠΙΣΤΕ ΕΙΣ ΤΙ ΕΔΙΣΤΑΣΑΣ; ΑΡΑ ΣΟΙ ΕΙΣΚΟΜΕΝ ΑΞΙΟΝ ΕΙΝΑΙ, ΤΡΕΙΣ ΕΝΟΣ ΑΝΤΙ ΠΕΦΑΣΘΑΙ. υξγ'.

Ὁ Ἰησοῦς μὲν ὁ ἐμὸς διστάζοντι τῷ Πέτρῳ,
Ὅτε αὐτὸν ἐνέβαλε κύμασι τῆς θαλάσσης,
Εἰς τί, ὦ ὀλιγόπιστε, ἐδίστασας; εἰρήκει.
Ἐγὼ καὶ ἐξ Ὁμήρου δὲ κόλλησιν παρεθέμην,
Τὸ ἄρα δή τοί γε εἴσκομεν ἄξιον εἶναι.
Καὶ δὴ καὶ παρενέκλινα καὶ τὸ ῥητὸν πρεπόντως,
Τὸ τρεῖς ἀντιπεφάσθαι δὲ ἀντὶ ἑνὸς φημί δε.
Ἤτοι θανόντος μὲν ἑνὸς ἤτοι τοῦ ἡγουμένου,
Τρεῖς τοὺς εὐεργετοῦντάς σε φανῆναι ἀντ' ἐκείνου.
Ὁ Ὅμηρος οὐχ' οὕτω δὲ τοὺς λόγους παρεισφέρει,
Ἀλλὰ Δηΐφοβόν τινα κτείναντα τῶν Ἑλλήνων
Εἰσάγει ἐγκαυχώμενον τῷ ἀνελεῖν ἐκεῖνον.
Τριῶν ἀπὸ τῶν Τρώων δὲ πάλιν ἀνῃρημένων,
Ἢ ἄλλον, εἴτ' οὖν Αἴαντα τὸν μέγαν παρεισφέρει
Τῷ Δηϊφόβῳ λέγοντα ταῦτα κατ' ἔπος οὕτω·
„Δηΐφοβ', ἦ ἄρα δή τοι εἴσκομεν ἄξιον εἶναι,
„Τρεῖς ἑνὸς ἀντὶ πεφάσθαι, ἐπεὶ σύ περ εὔχεαι αὔτως.

HIST. 462.
57. Scripsi τὰ δ' ἄλλα pro τἄλλα. Vs. proximo inserui τήν.

HIST. 463.
62. Μὲν accessit e cd. A.
77. Iliad. XIII, 446. sq.

ΠΑΡΟΙΜΙΑ Η ΛΕΓΟΥΣΑ, ΟΥ ΜΕΝ ΓΑΡ ΒΡΟΤΕΗι ΚΕΦΑΛΗι ΚΑΤΑΓΥΙΑ ΚΕΚΑΣΤΑΙ. υξδ'.

Ἐμπεδοκλῆς τί ὁ θεός, τάδε κατ' ἔπος λέγει·
„Οὐ μὲν γὰρ βροτέῃ κεφαλῇ κατὰ γυῖα κέκασται,
„Οὐ μὲν ἀπαὶ νώτων γε δύο κλάδοι ἀΐσσουσιν,
„Οὐ πόδες, οὐ θοὰ γοῦνα, καὶ μήδεα λαχνήεντα,
„Ἀλλὰ φρὴν ἱερὴ καὶ ἀθέσφατος ἔπλετο μοῦνον,
„Φροντίσι κόσμον ἅπαντα καταΐσσουσα θοῇσιν.

ΠΕΡΙ ΣΤΟΡΓΗΣ ΑΒΔΗΡΙΤΩΝ ΠΡΟΣ ΔΗΜΟΚΡΙΤΟΝ. υξε'.

Ὁ Ἀβδηροδημόκριτος ὁ παῖς Ἡγησιστράτου,
Τοῦ δὲ Λευκίππου μαθητής, τοῦ μαθητοῦ Μελίσσου,
Ὅπως τοῖς Ἀβδηρίταις μὲν ἐστέργετο ἀῤῥήτως
Καὶ οἷος ἦν, ἐγράψαμεν ἐν πλάτει πρὶν συμμέτρῳ,
Ἑξηκοστῇ καὶ πρώτῃ δὲ ἱστοριῶν τῶν πρώτων.

ΠΕΡΙ ΤΑΡΙΧΩΝ ΙΧΘΥΩΝ ΩΞΙΑΝΩΝ. υξς'.

Ὠξιανοὺς ἰχθύας μοι ταρίχους εἶναι νόει,
Οἵπερ βαρβάρως καὶ κοινῶς βερζίτικα καλοῦνται.
Οἱ δὲ Σογδίας κάτοικοι, Χάζαροι καὶ Χερσῶνες,
Ἀπὸ τοῦ Ὤξου ποταμοῦ, ὃς σφῶν τῇ χώρᾳ ῥέει,
Ὠξιανοὶ καλέονται, ἵνα καὶ ἰωνίσω.

ΠΕΡΙ ΛΟΓΟΥ ΤΟΥ ΞΕΡΞΟΥ ΠΕΡΙ ΑΡΤΕΜΙΣΙΑΣ ΡΗΘΕΝΤΟΣ, ΟΙ ΜΕΝ ΑΝΔΡΕΣ ΜΟΥ ΓΥΝΑΙΚΕΣ ΕΓΕΝΟΝΤΟ, ΑΙ ΔΕ ΓΥΝΑΙΚΕΣ ΑΝΔΡΕΣ. υξζ'.

Ἐν ἱστορίαις μὲν ταῖς πρὶν τριακοστὴν δευτέραν
Ἔχεις τὴν Ξέρξου σύμπασαν εἰς πλάτος ἱστορίαν.

HIST. 464.

79. Ed. Sturz, p. 526. Ibi primus versus sic scriptus est: οὔτε γὰρ ἀνδρομέῃ κεφαλῇ κατὰ γυῖα κέκασται. Et versu tertio metro flagitante γοῦν' οὐ μ. λ.

Τοὺς λόγους δ' οὕσπερ ἔλεξε περὶ Ἀρτεμισίας,
Καὶ περὶ ποίας ἔλεξε τούτους Ἀρτεμισίας,
Εἰς τὴν τῶν νῦν τετρακοστὴν πεντηκοστὴν καὶ πέμπτην.

ΠΕΡΙ ΤΟΥ, ΩΣΠΕΡ ΕΚΕΙΝΩι ΠΟΤΕ ΤΩι ΝΕΙΛΕΙ Ο ΜΙΛΗΣΙΟΣ ΑΓΡΟΙΚΟΣ. υξη'.

Τοῦ Κόδρου παῖδες Μέδων τε καὶ ὁ Νειλεὺς ὑπῆρχον.
Καὶ ὁ μὲν Μέδων ἐκ χρησμοῦ τῶν ἐλαιῶν τῶν δύο,
Αἵπερ παρατριβόμεναι σίαλον ἀπετέλουν,
Ἐν γῇ πατρίδος κατοικεῖν ἐτάχθη τῆς οἰκείας.
Νειλεὺς δὲ μαντευόμενος περὶ τῆς ἀποικίας
Ἤκουσεν· ἡ θυγάτηρ σοι τὴν χώραν καταλέξει.
Αἴφνης δ' ἐκείνης ἤκουσεν οὔσης ἀσελγεστάτης,
Παιούσης σφὸν ἐπείσιον καὶ φθεγγομένης τάδε·
Ἐς Κλάρον ἢ ἐς Μίλητον ἄγον Καρσί τι πῆμα.
Λοιπὸν περὶ τὴν Μίλητον ἐκπλέει καὶ Καρίαν.
Καὶ πάλιν δὲ μαντεύεται τοῖς Καρικοῖς μαντείοις.
Χρησμὸς ἐδόθη τούτῳ δέ, χώραν λαβεῖν ἐκείνην,
Ὅπου παράσχοι τις αὐτῷ βῶλον τῶν γῆς βωλίσκων.
Ὁ ὁ Νειλεὺς ἀκηκοώς, ὡς μὲν Λυκόφρων γράφει,
Κίρην χυτρέως Καρικὴν ἠπάτησε πανούργως.
Καὶ βῶλον ἔσχε παρ' αὐτῆς, ἤτοι πηλὸν χυτρέως,
Ὡς ἐνσφραγίσαι μέλλων τι τῷ τούτου δακτυλίῳ.
Ὁ μὲν Λυκόφρων οὑτωσὶ λέγει, λαβεῖν τὴν βῶλον.
Ἄλλοι δὲ ἄρτον λέγουσιν ἀγροίκῳ ἐξαιτῆσαι.
Ὃς ἀγνοῶν τὴν αἴτησιν, ἣν ὁ Νειλεὺς αἰτεῖται,
Γῆς βῶλον τούτῳ δέδωκεν, εἴτε κατ' ἄλλους λίθον.

HIST. 468.

100. Vid. Aelian. Var. Hist. VIII, 5. ibique Interpr. et Paus. VII, 2. Nomini Νειλεὺς in cd. A. superscriptum Αἰγύπτιος.

103. Erat οἰκίας.

108. In scholiis ad Lycophr. est τάξον. Forsitan hic legendum ἄξον.

112. Margo cd. A. παράσχῃ.

113. Cd. A. hic quoque Νειλεύς, non, ut edit. Bas., Νηλεύς. Conf. Lycophr 1378. ibique schol. et interpr.

114. Haec figuli filia in scholiis vocatur Κάειρα. Lectio cd. A. videtur esse Κείρην.

Καὶ οὕτως οὗτος ἐγκρατὴς ἐγένετο τῆς χώρας,
Μάχην συνάψας κρατερὰν Καρσὶ καὶ Μιλησίοις.
Ἄλλοι δ' εἰς ἄλλον λέγουσι τοῦτο μὲν γεγονέναι,
Καὶ ἐν ἑτέρᾳ χώρᾳ δέ, οὐ Μιλητοκαρίᾳ.

ΠΕΡΙ ΤΟΥ, ΚΑΝ ΜΙΑΝ ΩΡΑΝ ΟΥΚ ΙΣΧΥΣΑΤΕ ΑΓΡΥΠΝΗΣΑΙ ΜΕΤ' ΑΥΤΟΥ. υξθ'.

Ἐν τῷ καιρῷ τῷ τοῦ σταυροῦ καὶ πάθει σωτηρίῳ
Τοὺς μαθητὰς ὁ Κύριος ἐφευρηκὼς ὑπνοῦντας
Τάδε φησὶν ὡς πρὸς αὐτοὺς τοῦ ῥαθυμεῖν ἐκτρέπων·
Κἂν μίαν ὥραν μετ' ἐμοῦ ὑμεῖς ἐπαγρυπνῆσαι
Οὐδόλως ἐξισχύσατε. Ἰούδας ἀγρυπνεῖ δέ,
Ὡς Ἰουδαίων ταῖς χερσὶν εἰς φόνον παραδώσει.

ΠΕΡΙ ΑΜΑΣΤΡΙΔΟΣ, ΠΟΘΕΝ ΕΚΛΗΘΗ. υο'.

Ἡ παρ' Ὁμήρῳ Κρῶμνα μὲν νῦν Ἄμαστρις καλεῖται,
Ἀπὸ Ἀμάστριδος παιδὸς κατά τινας τοῦ Ξάνθου,
Κατ' ἄλλους Ὀξυάθρου δέ, Πέρσου τινὸς τῷ γένει,
Ἑτέροις ἐξ ὀνόματός τινος Ἀμαζονίδος.
Καθάπερ καὶ τὴν Ἔφεσον, Σινώπην καὶ τὰς ἄλλας,
Ὁμήρῳ ἡ Σινώπη δὲ Κάσος τὴν κλῆσιν φέρει.

ΙΣΤΟΡΙΑ Η ΛΕΓΟΥΣΑ, ΩΣΠΕΡ ΤΙΣ ΦΑΛΑΡΙΣ ΩΝ, Η ΔΙΟΝΥΣΙΟΣ. υοα'.

Τύραννοι καὶ ἀμφότεροι τῶν Σικελῶν ὑπῆρχον,
Ὁ Φάλαρις παλαίτερος ἐπὶ τοῦ Πυθαγόρου,
Ὁ δέ γε Διονύσιος Πλάτωνι συνεχρόνει.
Πάντες πικροὺς δὲ οἴονται τούτους τυράννους εἶναι.
Κατὰ τὴν δόξαν δὲ αὐτῶν κἀγὼ ταννῦν εἰρήκειν.
Οἷοι οἱ ἄνδρες ἦσαν δὲ καὶ οἵους ἐγὼ κρίνω,

HIST. 470.
131. Iliad. II, 855. Cellar. Not. Orb. Ant. T. II. p. 309. sq.

HIST. 471.
142. Cd. A. in marg. τοίνυν pro ἐγώ.

Τὴν μὲν Φαλάριδος τρανῶς εὑρήσεις ἱστορίαν,
Τριακοστὴν καὶ πρώτην μὲν τῷδε τῷ καταλόγῳ,
Ἐπιγραφὴν δὲ φέρουσαν, ἣν ἂν εὑρεῖν μοι ζήτει,
Περὶ τοῦ Τεύκρου Φάλαρις ὃν εἶχε γραμματέα.
Ἡ τοῦ Διονυσίου δὲ κεῖταί μοι ἱστορία
Ἐν τῷ δευτέρῳ πίνακι τῷ πάνυ σμικροτάτῳ,
Τρίτη ὁμοῦ καὶ εἰκοστὴ καὶ τελευταία οὖσα,
Περὶ τοῦ στίχου λέγουσα τοῦ, τοῦ Διονυσίου.

ΠΕΡΙ ΤΟΥ, ΤΡΑΓΙΚΩΣ ΟΜΟΥ ΚΑΙ ΠΡΑΓΜΑΤΙΚΩΣ. υοβ'.

Τοῖς λόγοις μὲν τὸ τραγικὸν ὁ χάρτης ἐπεδείκνυ,
Ἀνιαρὰ καὶ συμφορὰς καὶ θλίψεις καταγγέλλων.
Πραγματικῶς ἐδείκνυ δὲ ταῦτα καὶ ἐκ τῶν ἔργων,
Ὡς εἰς τὴν Θρῆσσαν ποταμὸν πεσὼν καὶ βεβρεγμένος,
Ὧν μόλις τι βραχύτατον ἀναγνωσθῆναι τούτου.

ΙΣΤΟΡΙΑ Η ΛΕΓΟΥΣΑ, Ο ΠΟΤΑΜΟΣ Ο ΘΗΛΥΣ Η ΘΡΗιΣΣΑ ΤΩι ΟΝΤΙ ΚΑΙ ΒΑΡΒΑΡΟΣ. υογ'.

Θρῆσσα Θρακῶν τις ποταμὸς ἐν θηλυκῇ τῇ κλήσει.
Ὄντως δὲ Θρῆσσαν ἔλεξα καὶ βάρβαρον ἐκεῖνον,
Ὅτι χάρτην τοῖς ὕδασιν ἐσπάραξε καὶ λόγους,
Ὡς πρότερον ἐσπάραξαν αἱ Θρῆσσαι τὸν Ὀρφέα,
Τὰς τελετὰς διδάσκοντα ταῖς κατ' αὐταῖς βαρβάροις,
Καὶ κεφαλὴν ἀπέρριψαν εἰς ποταμὸν ἐκείνην
Καὶ μουσικὴν τὴν θέλγουσαν καὶ θῆρας καὶ τοὺς λίθους,
Ἃ κατασύρει ποταμὸς εἰς μέλανα τὸν πόντον.

HIST. 473.
159. Lucian. adv. indoct. §. 11. sqq.
160. Videtur *καταυταῖς* scribendum esse, idque cum *καθεῖς*, X. 576. comparandum.

Μέλας δὲ πόντος λέγεται πέλαγος Μιτυλήνης.
Ἡ μουσικὴ συμπλέουσα τῇ κεφαλῇ δ' Ὀρφέως
Καὶ κινουμένη τὰς χορδὰς ὑπ' αὐληταῖς ἀνέμοις,
Μέλος ὑπήχει γοερόν, κινοῦν εἰς θρηνῳδίας.

ΠΑΡΟΙΜΙΑ Η ΛΕΓΟΥΣΑ, ΟΙΩΝΟΣ ΔΕΞΙΩΤΑΤΟΣ. ΤΑ ΓΑΡ ΑΝΙΩΝΤΑ ΣΕ ΟΙΧΗΣΟΝΤΑΙ ΣΥΝ ΘΕΩι ΕΙΣ ΟΡΟΣ, Η ΕΙΣ ΚΥΜΑ ΠΟΛΥΦΛΟΙΣΒΟΙΟ ΘΑΛΑΣΣΗΣ. υοδ'.

Τίνες κυρίως οἰωνοὶ καὶ πόθεν δὲ καλοῦνται,
Πρῶτα πρὸ πάντων μάνθανε καὶ καθεξῆς καὶ τἄλλα.
Γῦπες κυρίως οἰωνοί. θῆλυ γὰρ πᾶν τὸ γένος.
Οἷαι καὶ μόναι κύουσαι ᾠὰ μηδ' ἐξ ἀῤῥένων.
Ὠὰ γὰρ ὑπηνέμια γεννῶσιν, ὡς προεῖπον.
Οὕτω κυρίως οἰωνοὶ καλοῦνται μὲν αἱ γῦπες,
Καὶ πάντα δὲ τὰ ὄρνεα καταχρηστικωτέρως.
Οἰωνοσκόποι δὲ οἱ πρὶν τὰς πτήσεις τῶν ὀρνέων
Τὰς δεξιάς τε βλέποντες ἤτοι τὰς ἐκ τῆς ἕω,
Καὶ τὰς ἀπὸ τῆς δύσεως, ὥσπερ λαιὰς ἐκάλουν,
Καὶ τὰς φωνὰς καὶ τὰς βοὰς ἀκούοντες ἐκείνων
Ἔκρινον οἷα μέλλουσι τὰ πράγματα γενέσθαι.
Ἂν οὖν ἐξ ἕω δεξιοὶ ἐφέροντο οἱ ὄρνεις
Καὶ τὰς φωνὰς προέπεμπον εὐσήμους, κεκραμένας,
Καλλίστην τὴν ἀπόβασιν προὔλεγον γεγονέναι.
Ἂν ἐκ μὲν τῆς ἑσπέρας δὲ καὶ σὺν ἀσήμοις ψόφοις,
Φαῦλον τὸν ἀποτέλεσμα προὔλεγον τελεσθῆναι.
Ἓν οἰωνοσκοπίας μὲν, τοῦτο τυγχάνει εἶδος.
Ἄλλο δ' οἰωνοσκόπημα μάθε Λατίνων γένους.
Ὄρνις τινὰς ἀγρίας μέν, πλὴν γένους κριθοφάγου,
Κρατοῦντες ἐτιθάσσευον. καιρῷ δ' οἰωνισμάτων

HIST. 474.

In inscriptione dat cd. A. σὺν θεῷ pro corrupto σκυθῷ. Illud reposui.

173. Margo cd. A. οἱ γῦπες.

Κριθὰς αὐτοῖς ἐτίθεντο πρὸς βρῶσιν, καὶ ἑώρων
Εἴτε αὐτὰς ἐσθίουσιν εὐμαρεστάτῳ τρόπῳ,
Εἴτ' οὖν πληγαῖς ταῖς τῶν ῥαμφῶν ἀποῤῥίπτουσι ταύτας.
Καὶ οὕτω δὲ τὰ μέλλοντα προέλεγον γενέσθαι.
Ἄλλο οἰωνοσκόπημα ὀρνίθων τῶν κατοίκων,
Ἐξ ὧν χώρας καὶ ὄνομα ἐγίνωσκον ἁπάντων,
Νικώντων, ἡττωμένων τε καὶ τῶν λοιπῶν ἁπάντων.
Καὶ τοῦτο δὲ σαφέστατα λέξω τοῖς ἀχαρίστοις.
Κριθὰς ῥίπτοντες ὄρνιθι μιᾷ τῶν κατοικίων,
Ἄλφα καὶ βῆτα καὶ λοιπὰ μέχρι τοῦ ω στοιχείου
Ἐν χάρταις παρενέγραφον καὶ τὰς κριθὰς ἐτίθουν.
Ἐσκόπουν ἔπειτα λοιπὸν τυχὸν περὶ πολέμου,
Ἕλλην ἄρα ὁ νικητὴς εἴτ' οὖν γονὴ βαρβάρων,
Πέτρος ἢ Παῦλος στέφανον λήψεται τῷ ἀγῶνι,
Ἢ καὶ Μαρίαν ἢ Ζωὴν μέλλει λαβεῖν εἰς γάμον.
Ἂν οὖν ἡ ὄρνις ἔλαβε κριθὴν τοῦ ε στοιχείου,
Εἶτα τοῦ λ, Ἕλληνα τὸν νικητὴν ἐδείκνυ.
Καὶ ἡ τοῦ ε ἐδήλου δὲ καὶ μόνη κριθὴ τοῦτο.
Ἂν δὲ τοῦ βῆτα τῆς κριθῆς ἐφήψατο ἡ ὄρνις,
Βαρβάροις προεσήμαινε τὴν νίκην γεγονέναι.
Ταὐτὸ κἀπὶ τῶν ἄλλων δὲ κλήσεων καὶ πραγμάτων.
Ταῦτα οἰωνοσκόπημα κυρίως ἐκαλεῖτο.
Κἂν τούτων σύμπαν μάντευμα καταχρηστικωτέρως
Κληδών, πταρμός, συνάντημα κυνῶν, ἡ ὠρυγή τε
Καὶ σύμπαν τοιουτότροπον. τίς ἀριθμήσοι πάντα;
Εἰς ὄρος δὲ καὶ κύματα θαλάσσης πολυφλοίσβου
Οἰχήσεσθαι προείρηκα τὰς θλίψεις τὰς ἐκείνου,
Ἐκ τοῦ τὸν ταῦτα γράφοντα χάρτην κατακλυσθῆναι
Τοῦ ποταμοῦ τοῖς ῥεύμασιν, ὅνπερ καλοῦσι Θρῆσσαν.
Τὰ ἔπη ταῦτα δέ φησιν Ἑλένη παρ' Ὁμήρῳ
Ὡς πρὸς αὐτὸν τὸν Ἕκτορα, οὕτως ἀρχὴν βαλοῦσα·
„Δᾶερ ἐμεῖο, κυνὸς κακομηχάνου, ὀκρυοέσσης,

219. Iliad. VI, 344. sqq.

„Ὡς μ' ὄφελ' ἤματι τῷ ὅτε με πρῶτον τέκε μήτηρ,
„Οἴχεσθαι προφέρουσα κακὴ ἀνέμοιο θύελλα
„Εἰς ὄρος, ἢ εἰς κῦμα πολυφλοίσβοιο θαλάσσης.

ΠΕΡΙ ΑΓΥΡΤΕΥΤΩΝ. υοέ.

Ἀγύρται τίνες λέγονται καὶ πόθεν, μάνθανέ μοι.
Πρῶτον οἱ ὄντως ἀθληταὶ καὶ τῶν φιλελευθέρων
Ἀγῶνας στεφανίτας μὲν ἦθλουν, οὐχὶ δωρίτας;
Καὶ στέφανον ἐλάμβανον μόνον τῆς νίκης δῶρον.
Εἶτα καὶ τοὺς δωρίτας δὲ μετήρχοντο ἀγῶνας
Τῆς πόλεως ἢ χώρας δὲ εἴτε τινὸς τῶν δήμων,
Τὰ δῶρα τοῖς νικήσασιν νεμόντων ἁρμοδίως,
Εἴτε καὶ ἄρχοντος ἑνός, ὡς Ἀχιλλεὺς Πατρόκλῳ.
Ἐπεὶ δὲ κατελύθησαν πόλεσι, χώραις, δήμοις
Καὶ οὗτοι οὕσπερ ἔλεξα ἀγῶνες οἱ δωρῖται,
Οἱ ἀθληταὶ λαμβάνειν τι χρῄζοντες τοῖς ἀγῶσι,
Μὴ λείρια καὶ ἄνθη δὲ καὶ βοτανῶν στεφάνους,
Νικήσαντες διέτρεχον τὴν ἄγυριν, τὸ πλῆθος.
Καὶ οὕτως συνηράνιζον χρήματα τῇ ἀγύρει,
Καὶ κλῆσιν ἔσχον ἀγυρτῶν, ὡς ἐκ τῶν ἐν ἀγύρει,
Ἀθροίζοντες, λαμβάνοντες δῶρα, τῆς νίκης χάριν.
Ἄλλος γὰρ ἄλλο τι αὐτοῖς ἐδίδου τῶν τοῦ πλήθους,
Ὃ εἶχεν ἡ προαίρεσις καὶ δύναμις ἑκάστου.
Καὶ οὗτοι καταχρήσει μὲν ἐλέγοντο ἀγύρται.
Κυρίως τοὺς ἀγύρτας δὲ καὶ μηναγύρτας νόει,
Κἂν μᾶλλον ἐκ τῶν ἀθλητῶν οὗτοι τὴν κλῆσιν ἔσχον,
Οἷοί εἰσιν οἱ παρ' ἡμῖν σύμπαντες σιγνοφόροι,

---

223. Omissum erat μ', et pro ὅτε scriptum τότε.

HIST. 475.

230. Pro ἁρμοδίων scripsi ἁρμοδίως, quae item cd. A. videtur esse lectio. Etiam Lacisius vertit *concinne*.

245. *Vexillifer.* Glossae Gr. Lat. *Σιγνοφόρος Manipularius.* Tzetzes de circulatoribus, quos ut miraculorum effectores suggillat. *Dufresn.* In margine edit. Basil. haec verba sunt apposita: „*Forte intelligit quos Stationarios vocant.*“

Ὁπόσοι περιτρέχουσι χώρας καὶ προσαιτοῦσι
Καὶ ὅσοι κατ' ἀρχίμηνον τὴν Ἰανουαρίου
Καὶ τῇ Χριστοῦ γεννήσει δὲ καὶ φώτων τῇ ἡμέρᾳ,
Ὁπόσοι περιτρέχουσι τὰς θύρας προσαιτοῦντες
Μετὰ ᾠδῶν ἢ ἐπῳδῶν ἢ λόγοις ἐγκωμίων,
Καὶ δῆθεν ἐν προφάσεσιν ψευδέσιν, εὐαφόρμοις,
Οὗτοι πάντες ἂν λέγοιντο κυρίως μηναγύρται.
Μᾶλλον ἂν σιγνοφόρους μοι σὺ μίξοις τοιουτώδεις,
Καὶ κατ' ἀρχίμηνον καιρὸν νοήσοις περιτρέχειν
Καὶ προσαιτεῖν ἐν τῷ λαβεῖν ἅπερ καλοῦσιν αὐτοί,
Μηναγυρτῶν ἐφεύρηκας τὴν ἁρμοδίαν κλῆσιν.
Οἱ παλαιοὶ ἀγύρται γάρ, ὥσπερ Βαβρίας γράφει,
Ἐν μυθιάμβοις τοῖς χωλοῖς, οὐ τοῖς ἰάμβοις λέγω,
Καὶ σὺν αὐτῷ καὶ ἕτεροι τῶν παλαιῶν καὶ νέων,
Εἰς ὄνον θέντες εἴδωλον θεᾶς αὐτῶν τῆς Ῥέας,
Τυμπάνοις περιήρχοντο τὰς κώμας προσαιτοῦντες,
Μετ' ἐπασμάτων καὶ ᾠδῶν, σελήνης ἀρχιμήνοις.
Ἄκουσον καὶ Βαβρίου δὲ τινῶν χωλῶν ἰάμβων·
„Γάλλοις ἀγύρταις εἰς τὸ κοινὸν ἐπράθη
„Ὄνος τις, οὐκ εὔμοιρος, ἀλλὰ δυσδαίμων.
Εἶτα παρελθὼν καὶ κατωτέρω λέγει·
„Οὗτοι δὲ κύκλῳ πᾶσαν ἐξ ἔθους κώμην
„Περιϊόντες ἔλεγον, τίς γὰρ ἀγροίκων
„Οὐκ οἶδεν Ἄττιν λευκόν, ὡς ἐπηρώθη;
„Τίς οὐκ ἀπαρχὰς ὀσπρίων τε καὶ σίτων
„Ἁγνῷ φέρων δίδωσι τυμπάνῳ Ῥείης;
Ἔγνως δοκεῖ μοι τῶν ἀγυρτῶν τὴν φύσιν,
Τζέτζης ἀφ' ὧν ἔγραψεν ἀκριβεῖ λόγῳ.

---

248. Est festum Epiphaniae, V. Dufresn. s. φῶτα.

256. Etiam cd. A. ut edit. Bas. μηναγερτῶν.

257. In marg. cd. A. Γαβρίας. — Vid. Schneid. fab. Aesop. CLXII. p. 83. et Babrii fab. XIX. p. 126. — De Atti vid. Lucian. de dea Syria §. 15. Deor. Dial. XII, 1. de Sacrif. 7. et schol. ad Iov. Trag. 8.

ΠΕΡΙ ΤΟΥ ΧΟΡΔΕΥΕΙΝ ΚΑΙ ΠΕΡΙ ΜΑΓΔΑΛΙΑΣ, ΚΑΙ ΚΥΝΟΒΟΡΑΣ. ΑΛΛΟ ΔΕ ΠΑΡΑ ΤΗΝ ΚΥΝΟΒΟΡΑΝ Η ΚΙΝΑΒΡΑ ΚΑΙ Ο ΓΡΑΣΟΣ. ΟΣΜΑΙ ΓΑΡ ΕΚΕΙΝΑ. υος'.

Χορδεύειν ἐστὶν ἔντερα προβάτων περιπλέκειν,
Ἄλλως ἡ κωλοφάσσα δέ, τὸ ἀλλαντεύειν νόει,
Μαγδαλιὰ δὲ πλύματα κρεῶν τε καὶ ἰχθύων,
Πλέον ζωμοὶ διάφοροι καὶ πλύματα τοιάδε,
Ἅπερ διδοῦσι χοίροις τε καὶ τοῖς κυσὶν ἐσθίειν.
Ἡ κυνοβόρα δὲ κυνῶν τροφὴ καὶ μόνων,
Ὀστέα καί τι ἕτερον, ὡς αἵματα μακέλλης.
Κινάβραν πάλιν τῶν αἰγῶν εἶναι τὸν βρῶμον νόει,
Γρᾶσον, ὀσμὴν ἀνθρώπων δὲ τὴν περὶ τὰς μασχάλας.

ΠΕΡΙ ΔΕΞΙΟΤΗΤΟΣ ΘΗΡΑΜΕΝΟΥΣ ΚΑΙ ΠΕΡΙ ΑΡΧΙΜΗΔΟΥΣ ΜΗΧΑΝΩΝ. υοζ'.

Τὴν Θηραμένους ἔχεις μοι ἐνταῦθα ἱστορίαν
Κειμένην ἑκκαιδέκατον, τετρακοσιοστήν τε.
Τὴν Ἀρχιμήδους ἔχεις δὲ ταῖς πρώταις ἱστορίαις,
Ὡς πρὸς τριακοστόπεμπτον τόπον ἐγγεγραμμένην.

ΠΑΡΟΙΜΙΑ Η ΛΕΓΟΥΣΑ, ΗΜΕΤΕΡΟΝ ΠΑΝΤΩΣ, ΑΛΛ' ΟΥΧ ΕΤΕΡΟΥ ΤΙΝΟΣ ΠΟΙΗΣΕΙΣ ΕΙΝΑΙ ΤΟΝ ΠΥΡΑΜΟΥΝΤΑ. υοη'.

Ὁ πυραμοῦς τὸ παλαιὸν μελίπηκτον ὑπῆρχον
Ἐκ σίτου τε καὶ μέλιτος ἔχων πως σκευασίαν,
Ὥσπερ τανῦν ὁ σησαμοῦς καὶ ἕτερα μυρία.
Ἡμέτερον ποιήσεις δὲ εἶπον τὸν πυραμοῦντα,
Ἤτοι τὸ νικητήριον, τὴν ἡδονὴν τῆς νίκης,
Εἴτ' οὖν γε καὶ τὸ ἔπαθλον. καὶ γὰρ τοῖς νικηφόροις

Καὶ ἔπαθλα ἐδίδοντο μελίπηκτα ταῖς νίκαις,
Ἀριστοφάνης ὥς φησιν, ἐξ οὗ κἀγὼ εἰρήκειν.

ΠΕΡΙ ΤΡΙΣΑΛΙΤΡΟΥ, ΠΕΡΙ ΤΟΥ ΛΩΠΟΣ, ΠΕΡΙ ΠΕΟΥΣ, ΠΟΔΟΚΑΚΗΣ, ΠΕΡΙ ΧΟΙΝΙΚΩΝ ΚΑΙ ΚΛΟΙΩΝ. υοθ'.

Τὰ τῶν ἀλιτηρίων τε καὶ τὰ τῶν ἀλαστόρων
Ὄπισθεν προεγράφησαν. νῦν δὲ λεκτέον τἄλλα.
Λοπὸς τὸ λέπος γράφεται μικρὸν τὸ τοῦ κρομύου,
Λῶπος δὲ τὸ ἱμάτιον διὰ τοῦ ω μεγάλου,
Ὃ καὶ ἐνταῦθα νῦν δηλοῖ. πέος δὲ τὸ αἰδοῖον,
Κοῦσποι δὲ καὶ κλοιόποδες, οὕσπερ φαμὲν καὶ κλάπους,
Καὶ ὅσα δὲ κακύνουσι τοὺς πόδας, ποδακάκαι.
Τὰ τῶν ποδῶν δὲ σίδηρα, ὡς καὶ Ἀριστοφάνης
Καὶ οἱ λοιποὶ δὲ λέγουσι, χοινίκων φέρει κλῆσιν.
Καὶ πᾶν δὲ τὸ περιφερές, ὡς μόδιον, κοσκίνους,
Καὶ κρίκον, καὶ τὰ ἕτερα, χοίνικας λέγουσί μοι.
Ἐν τοῖς σταθμοῖς καὶ μέτροις δὲ Διοσκουρίδης λέγει
Κοτύλας ἤτοι μίνας τρεῖς τὸν χοίνικα ὑπάρχειν,
Ἤγουν δύο καὶ ἥμισυ σταθμὸν λιτρῶν τυγχάνειν.
Δέκα οὐγγίας οἶνον γὰρ ἑκάστη μίνα ἔχει.
Οὕτω Διοσκουρίδῃ μὲν ὁ χοῖνιξ ὑγρῶν μέτρον.
Ἀριστοφάνης δ' ἀλλαχοῦ μέτρον τι σίτου λέγει,
Τοὺς δύο λέγων χοίνικας, δωδέκατον μεδίμνου,
„Χθὲς ὑπ' ἀλφιταμοιβοῦ παρεκόπην διχοινίκῳ.
Ἔχεις καὶ τὰ τοῦ χοίνικος. τὰ τοῦ κλοιοῦ λεκτέον.
Ἅπας ὁ περὶ τράχηλον δεσμὸς συγκλίνων τοῦτον
Κλοιὸς κατονομάζεται, κλῶν τὸν ἡρμένον τύφῳ.

HIST. 478.
294. Aristoph. Thesmoph. 94.
HIST. 479.
313. Nub. 636. Adde Eccles. 447.
314. Plutarch. Vit. Solon. 24. Xenoph. Hellen. II, 4. 42. III, 3. 11.

ΠΕΡΙ ΤΟΥ, ΑΓΗΛΑΤΕΙ ΤΑΙΣ ΤΙΜΑΙΣ, ΚΑΙ ΠΕΡΙ ΠΛΑΚΟΥΝΤΩΝ, ΚΑΡΥΚΕΙΑΣ, ΚΑΙ ΠΕΜΜΑΤΩΝ. υπ'.

Ἀγηλατεῖ ψιλοῦται μέν, τὸ ἄγαν ἀπελαύνει,
Καὶ δύο δασυνόμενον ἁγηλατεῖ ὑπάρχει,
Τὸ ὥσπερ ἄγος τέ τινα καὶ μίσημα ἐλαύνειν
Καὶ τὸ ὡς ἅγιόν τινα ἐλαύνειν, κατατρέχειν.
Ὅτι δ' ἀγὴς ὁ μισαρός, Ἱππώναξ οὕτω γράφει.
„Ὡς οἱ μὲν ἀγεῖ βουπάλῳ κατηρῶντο.
Ἔχεις τὸ ἁγηλάτημα. λεκτέον μοι τὰ ἄλλα.
Ἐκ μέλιτος ἢ σάκχαρος πᾶν σκεύασμα πλακοῦντες,
Πέμα δ' ἐξ ἄρτων ἅπασα ποικίλη πλαστουργία,
Καὶ ἐκ τοῦ πέττω πέμα δὲ ἓν ἔχει μῦ καὶ μόνον.
Πέμμα δὲ πᾶν στελλόμενον, ὡς ἐκ τοῦ πέμπω πέμψω,
Διὰ τῶν δύο γράφεται, οὐ δι' ἑνὸς τοῦ μῦ δε.
Ἡ δὲ καρύκη, βρῶμα τι ποικίλως ἠρτυμένον.
Ἐξ ἧς ἅπαν εὐάρτητον καὶ ἡδυσμάτων γέμον
Τὴν κλῆσιν κατεπλούτησε φέρειν, τὴν τῆς καρύκης,
Ἣν Τζέτζης ὁ παγχώρικος λεπτῶς εἰπεῖν οὐκ ἔχει,
Ὥσπερ οὐδὲ τὸν μυττωτὸν εἰπεῖν διηρθρωμένως,
Πλὴν ὅτι μόνον ἔδεσμα ποικίλον, ἐκ σκορόδων.
Οἱ δὲ σοφοὶ καὶ τολμηταὶ καὶ μηχανὰς καὶ ταῦτα
Καὶ ἕτερα μυρία δέ, ἅπερ οὐδ' ὄναρ εἶδον,
Καὶ γράφοντες καὶ λέγοντες λήρως καὶ πεφυρμένως
Ἐρυθριῶσιν οὐδαμοῦ. τῆς ἀναιδείας ὅση.

HIST. 480.

Erat in inscriptione *καρυκείας*, et vs. 329. *καρύκκη*.

318. Erat *δασυνόμενα*.

322. Fragm. ed. Welck. p. 27. Lacisius et Plot. de metr. p. 2644. Putsch. vertunt *βουπάλῳ*, *asino*. In schol. ad Lycophr. 436. est scriptum *Βουπάλῳ*.

332. *Rusticissimus*, interpretatur manus docta in marg. edit. Bas. qua utor.

ΠΕΡΙ ΚΑΘΑΡΜΑΤΟΣ, ΤΟΥ ΚΑΙ ΦΑΡΜΑΚΟΥ, ΚΑΙ ΠΕΡΙ ΦΑΡΜΑΚΕΩΣ ΚΑΙ ΦΑΡΜΑΚΟΠΩΛΟΥ. υπά.

Τὴν περὶ τοῦ καθάρματος σύμπασαν ἱστορίαν,
Ὅνπερ καλοῦμεν φαρμακὸν, καὶ περὶ φαρμακίας
Καὶ τῶν λοιπῶν ἐγράψαμεν σαφῶς, ἠκριβωμένως.
Ταῖς νῦν δ' εὑρήσεις εἰκοστὴν καὶ τρίτην ἐγκειμένην,
Καὶ ἄλλοις τόποις δέ τισιν, ὅθεν ἐῶμεν ταῦτα.

ΠΑΡΟΙΜΙΑ Η ΛΕΓΟΥΣΑ, ΚΑΙ ΝΥΝ ΚΑΤΑ ΤΗΝ ΚΟΡΥΦΑΙΟΥ, ΣΙΓΑΤΑΙ ΜΕΝ ΠΕΤΡΟΥ Η ΑΛΥΣΙΣ, ΤΙΜΑΤΑΙ ΔΕ ΚΛΕΠΤΟΥ Η ΚΛΑΠΩΣΙΣ. υπβ'.

Ὁ κορυφαῖος Πέτρος πρὶν ἁλύσει δεδεμένος
Παρενεβλήθη πρὸς εἱρκτὴν δεινήν τε καὶ ζοφώδη.
Ἥνπερ νυκτὸς ὁ ἄγγελος λύει, καὶ Πέτρον σώζει.
Αὕτη ἡ ἅλυσις, σεπτὴ πάντων πιστῶν τῷ γένει.
Ὅμως γυναῖκες εὐγενεῖς καί τινες τῶν ἀρχόντων
Κλεπτῶν ἀββάδων ἔχουσι κλάπους τιμιωτέρους.

ΠΕΡΙ ΤΟΥ, ΑΛΛΟΣ Δ' ΑΛΛΩι ΡΕΖΟΥΣΙ ΚΛΕΠΤΩΝ ΑΙΕΙΓΕΝΕΤΑΩΝ. ΟΥ ΓΑΡ ΠΑΝΤΩΝ ΕΣΤΙΝ ΟΜΟΣ ΘΡΟΟΣ, ΟΥΔ' ΙΑ ΓΗΡΥΣ; ΑΛΛΑ ΓΛΩΣΣΑ ΜΕΜΙΚΤΑΙ, ΠΟΛΥΚΛΕΠΤΟΙ Δ' ΕΙΣΙΝ ΑΝΔΡΕΣ. υπγ'.

Ταῦτα ἐκ τῶν Ὁμήρου μοι κολλήσεις, παρῳδίαι.
Ὅμηρος γὰρ τοῖς ἔπεσιν οὕτως αὐτοῦ εἰρήκει,
„Ἄλλος δ' ἄλλῳ ἔρεζε θεῶν αἰειγενετάων.

HIST. 482.

347. In marg. cd. A. *σεμνὴ* pro *σεπτή*.

349. *Κλάπος*, clavus, ornamentum vestis. Vid. Dufresn. s. h. v. Talem ornatum significat item *κλάπωσις*.

Ἐγὼ δ' ἔφην, ῥέζουσι κλεπτῶν αἰειγενετάων,
Οὐχ ὡς ἐχόντων τῶν κλεπτῶν ἀθάνατον οὐσίαν,
Ἀλλ' ὡς ἀεὶ ἀλλοίων τε καὶ ἄλλων φαινομένων.
Καὶ πάλιν ἄλλοις Ὅμηρος οὕτω που λέγει τόποις·
„Οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος, οὐδ' ἴα γῆρυς,
„Ἀλλὰ γλῶσσ' ἐμέμικτο, πολύκλητοι δ' ἔσαν ἄνδρες.
Ἐγὼ δὲ πάλιν ἔλεξα καὶ ταῦτα παρῳδήσας.
Οὐ γὰρ πάντων ἐστὶν ὁμὸς θρόος, οὐδ' ἴα γῆρυς,
Ἀλλὰ γλῶσσα μέμικται, πολύκλεπτοι δ' εἰσὶν ἄνδρες,
Οἳ πόλιν γὰρ τὴν ἄνασσαν ναίοντες Κωνσταντίνου,
Οὐχὶ μιᾶς φωνῆς εἰσὶ καὶ ἔθνους ἑνὸς μόνου,
Μίξεις γλωσσῶν δὲ περισσῶν, ἄνδρες τῶν πολυκλέπτων,
Κρῆτες καὶ Τοῦρκοι, Ἀλανοί, Ῥόδιοί τε καὶ Χῖοι,
Ἁπλῶς ἔθνους τοῦ σύμπαντος, τῶν ἁπασῶν χωρούντες,
Ἅπαντες οἱ κλεπτίστεροι καὶ κεκιβδηλευμένοι,
Χειροτονοῦνται ἅγιοι τῇ πόλει Κωνσταντίνου.
Ὢ τῆς τοσαύτης ὕβρεως ἀνθρώποις τῶν ἀσκόπων.

ΠΑΡΟΙΜΙΑ Η ΛΕΓΟΥΣΑ, ΕΛΘΕ ΓΟΥΝ, ΕΛΘΕ ΤΗΝ ΤΑΧΙΣΤΗΝ, ΙΝΑ ΚΑΙ ΣΥ ΤΡΙΣΚΑΙΔΕΚΑΤΟΣ ΑΘΛΟΣ ΤΗι ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΓΕΝΗΣΗι, ΚΑΙ ΛΑΒΗιΣ ΠΥΡΑΜΟΥΝΤΑ ΝΙΚΗΤΙΚΩΤΑΤΟΝ. υπδ'.

Ὁ νοῦς οὗτος καθέστηκε τῶν τῇδε λεγομένων.
Ἔλθε καὶ σύ, ὦ πάγκλεπτε, τῇ πόλει Κωνσταντίνου,
Ἅγιος γενησόμενος, ὥσπερ οἱ ἄλλοι κλέπται.
Ἆθλος δὲ τρισκαιδέκατος, ὡς προσθηκῆτζα τάχα.
Ἆθλοι γὰρ πάντες δώδεκα οἱ Ἡρακλέους ἦσαν.

HIST. 483.

353. Iliad. II, 400.
357. Iliad. IV, 437.
362. Erat *γελῶντες*, quod manus docta in edit. Bas. qualiter in *ναίοντες* mutavit.

HIST. 484.

373. Cf. Gerbelii praefat. fol. III. Ed. Bas. Ita a *καρδία* est *καρδίτζα*, *corculum*. Vide Grammat. ling. gr. vulgar. p. XXV. in Glossario Dufresn.

Ὁ ἐκ τῆς Μήλου ἄθεός ποτέ δε Διαγόρας
Εἰς πανδοχεῖον ἀπελθών, χρῄζων φακῆν ἑψῆσαι,
Ὡς ξύλον οὐχ' ἐφεύρισκεν, εὑρὼν τὸν Ἡρακλέα
Ξύλινον ὄντα κάλλιστον ἄγαλμα τῶν ἐντέχνων,
Λεπτὰ λεπτὰ κατατεμὼν τοῦτον ἐν τῇ ἀξίνῃ,
Εἰς τὴν πυρὰν ἐνέβαλε, καὶ πρὸς ἐκεῖνον εἶπε·
Δώδεκα μὲν ἐτέλεσας, ὦ Ἥρακλες, τοὺς ἄθλους,
Ἄγε δὲ τρισκαιδέκατον ἆθλον ἐκπλήρου τοῦτον,
Καὶ τὴν φακῆν νῦν ἕψησον. οὕτως ὁ Διαγόρας
Ἆθλον τὸν τρισκαιδέκατον ὥσπερ προσθήκην εἶπε.
Κἀγὼ τὸ τρισκαιδέκατος οὕτω προσθήκῃ εἶπον.
Προσθήκῃ δ' εἶπον, πλὴν κλεπτῶν πάντων ὁμοιουτο-τρόπων.

ΠΕΡΙ ΤΟΥ, ΤΑΥΤΟ ΕΠΕΠΟΝΘΕΙΝ ΤΗι ΙΕΡΩΝΟΣ ΓΥΝΑΙΚΙ. υπέ.

Ἱέρων πρίν τις βασιλεὺς ἦν τῶν Συρακουσίων.
Ὦζε δὲ τοῦ Ἱέρωνος, οὐ ἔφημεν, τὸ στόμα.
Ὡς δ' ἤκουσε παρά τινος τοῦτο Συρακουσίου,
Ἱέρων, στόμα, λέγοντος, ὄζει τὸ σὸν ἀμέτρως,
Ἱέρων κατεμέμφετο τῇ ἑαυτοῦ συζύγῳ,
Ὡς προειπούσῃ μηδαμῶς ὡς πρὸς ἐκεῖνον τοῦτο.
Ἡ δέ, Ἱέρων, εἴρηκε, πάντων ἀνδρῶν τὸ στόμα
Οὕτως ἐδόκουν δυσωδεῖν, οὐχὶ τὸ σὸν δὲ μόνον.

382. In marg. cd. A. καὶ pro δέ.

HIST. 485.

393. Plutarch. Apophth. T. VIII. p. 89. De cap. ex host. util. T. VII. p. 279. Lucian. Hermotim. 34. de Gelone.

ΠΑΡΟΙΜΙΑ Η ΛΕΓΟΥΣΑ, Ο ΘΕΤΤΑΛΟΣ ΜΙΜΗΣΑΙ ΤΟΝ ΤΟΥ ΠΗΛΕΩΣ ΕΚΕΙΝΟΝ, ΤΟΝ ΘΕΤΤΑΛΟΝ. υπϛʹ.

Ἄλλο Θεσσαλονίκη τε καὶ ἄλλο Θεσσαλία.
Θεσσαλονίκη μὲν ἐστι πόλις ἡ πρώην Θέρμη,
Κεῖται τὰ περὶ ταύτης τε καλῶς δεδιδαγμένα
Εἰς τόπον ἑκκαιδέκατον σὺν τοῖς τριακοσίοις.
Οὕτω Θεσσαλονίκη μὲν πόλις ἡ πρώην Θέρμη.
Ἡ Θεσσαλία χώρα δέ, ἥςπερ πολλαὶ ἂν πόλεις,
Λάρισσα, Φθία, Φάρσαλος, Τρίκκη καὶ ἄλλαι πόσαι,
Ὅπερ εἰσὶ καὶ Θετταλοί, ὡς Ἀχιλλεὺς καὶ ἄλλοι.
Οἱ τὴν Θεσσαλονίκην δὲ πατρίδα κεκτημένοι,
Ὥσπερ καὶ ᾧ ἐγράφησαν ἅπερ φαμὲν ἐνθάδε,
Λέγονται Θεσσαλονικεῖς, οὐ Θετταλοὶ τὴν κλῆσιν.
Οὕτω δὲ αὐτοὺς εἰρήκειν, ὡς γράφουσιν ἐκεῖνοι.
Τί δὲ τὸ μίμημά ἐστιν, ὅπερ μιμεῖσθαι λέγω;
Τουτέστιν, ὑπηρέτησον, πρᾶξον, ἐνέργησόν τι.
Καὶ Ἀχιλλεὺς ἐκεῖνος γὰρ ὁ Θετταλὸς ὁ πάλαι
Αὐτοχειρίᾳ φέρεται κρεοτομῶν, δαιτρεύων,
Ὡς Ὅμηρος παρίστησιν, οὕτω τὰ ἔπη λέγων·
„Τῷ δ' ἔχεν Αὐτομέδων, τάμνε δ' ἄρα δῖος Ἀχιλλεύς.

ΠΕΡΙ ΤΟΥ, ΣΥ ΔΕ ΔΕΞΙΟΣ ΚΟΣΚΙΝΩι ΚΑΘΑΙΡΕΙΝ ΣΙΤΟΝ ΣΥΡΦΕΤΩΔΗ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ. ΚΑΙ ΠΕΡΙ ΤΟΥ ΣΑΚΚΕΛΛΙΣΑΙ, ΜΗ ΔΙΥΛΙΣΑΙ. υπζʹ.

Κόσκινα ὄργανά εἰσι καθάρσια τοῦ σίτου.
Ἔστι καὶ κόσκινον τελοῦν τόπῳ τῆς ἐκκλησίας,

HIST. 486.
412. Iliad. IX, 209.
HIST. 487.
In titulo scripsi duce ed. A. τῆς ἐκκλησίας pro corrupto τῆς ἐκλήτου; nam τῆς ἐκκλήτου huc non quadrat.

Ἐν ᾧ ἁπλοῦντες ὡς πρὸς γῆν πᾶν ἄτακτουν ἐκεῖσε
Πληγαῖς ἀποκαθαίρουσιν ἀταξιῶν τοῦ ῥύπου.
Ὃ πρὸ μικροῦ καὶ δέδρακέ τινι τῶν διακόνων,
Οὐ τῶν ἀσήμων καὶ κοινῶν, οὐδὲ τοῦ κάτω γένους.
Πῶς σακελλίσαι ἔφην δέ, μὴ βιϋλίσαι, μάθε.
Ἠθμός, σακελιστήριον, τρύγοιπος, ὑλιστήρ τε,
Ὄργανον ἓν καθέστηκε, καθαῖρον ῥύπους οἴνων.
Ἐπεὶ δὲ τροπικώτερον περί τινος ἀτάκτου
Κοσκινισθῆναι εἴρηκα ὡς συρφετώδη σῖτον,
Ἤτοι λαβεῖν τὰ πρέποντα τῷ τόπῳ τοῦ κοσκίνου,
Θέλων εἰπεῖν, καὶ ἔγκλεισον αὐτὸν ἐν τῇ σακέλλῃ,
Καὶ τοῦτο τροπικώτερον, ὡς ἐν τρυγίαις οἴνων,
Εἴρηκα ὡς σακέλλισον, ἀλλὰ μὴ διϋλίσῃς.
Τουτέστι σοι πεζαίτερον, οὐ σοφωτέρως λέγω,
Οὕτω δὲ εἶπον τεχνικῶς δεινότητος μεθόδῳ.
Τὸ σακελλίσαι σώζει γὰρ σημαίνειν καὶ τὰ δύο,
Τὸ σακελλίσαι τε αὐτὸν καὶ ἐκκαθᾶραι οἶνον,
Καὶ τὸ κατ' ἔμφασιν αὐτὸ καὶ ἐσχηματισμένον,
Τὸ ἐμβληθῆναι ὃν φημι εἱρκτῇ τῇ τῆς σακέλλης.
Ὁ δὲ ἠθμὸς καὶ τρύγοιπος καὶ ὑλιστὴρ σὺν τούτοις
Ἐπὶ τοῦ οἴνου λέγονται, οὐ μὴν καὶ τῆς σακέλλης.

ΠΑΡΟΙΜΙΑ, ΚΑΝ ΠΕΡΙ ΤΟΥΣ ΕΥΕΡΓΕΤΑΣ ΙΞΙΩΝ ΦΑΙΝΟΜΕΝΟΣ, ΤΙ ΜΕΝ ΟΥΚ ΑΙΩΡΗι; υπη΄.

Δευτέρως ὁ Ἰξίονος ἐγράφη ἱστορία,
Κἂν ἄλλως καὶ ἑτέρως δέ. ὅμως δισσῶς ἐγράφη
Εἰς τόπον ἐνενηκοστὸν καὶ ἔνατον τῶν τῇδε,

---

419. *Σακελλίζειν*, etiam *σακελελίζειν* et *σακλίζειν*, *per sacculum exprimere*. Vid. Dufresn. *Σακελιστήριον*, *colum*. Verbum est *σακκελίζειν*, inde *σακκελιστήριον*.

423. Erat *κοσκισθῆναι*.

HIST. 488.

In inscriptione erat *καιωρῇ*. „Quanquam quum erga munificos Ixion sis, cur non suspenderis?“

Καὶ εἰς διακοσιοστὸν ἑβδομηκοστοτρίτον,
Ὅπου περ καὶ πλατύτερον ἡ ἱστορία κεῖται.

ΠΕΡΙ ΤΟΥ, ΩΣΤΡΑΚΙΣΕ ΚΑΙ ΠΕΡΙ ΦΑΜΟΥΣΩΝ. υπθʹ.

Ὁπόθεν τὸ ὠστράκισεν ἐλέχθη, μάνθανέ μοι,
Καὶ τὸ ἐφυλλοβόλησεν ὡσαύτως δὲ σὺν τούτῳ.
Οἱ Ἀθηναῖοι μέλλοντές τινα ὑπερορίζειν,
Οὐ πρότερον ἐξώριζον ἐκεῖνον τῆς πατρίδος,
Μέχρις ἂν συνετάξαντο ἡμέραν ὡρισμένην.
Καὶ μέχρι ταύτης ἤκουσαν χιλίων κατηγόρων,
Συμποσουμένων ἀριθμῷ τῶν κατ᾽ αὐτοῦ λεγόντων.
Εἰς ὄστρακον γὰρ γράφοντες τὸ ὄνομα ἐκείνου,
Ἐῤῥίπτουν ἐς Κυνόσαργες. τόπος δ᾽ Ἀθήναις τοῦτο,
Οὗ καὶ τοὺς νόθους ἐῤῥίπτον τοῖς χρόνοις τοῖς προτέροις,
Ἐκεῖσε καὶ τὰ ὄστρακα ἐξοριῶν ἐῤῥίπτουν.
Ἂν οὖν ἡμέρᾳ τῇ τακτῇ χίλια ἐφευρέθη,
Ἀσυμπαθῶς ἐστέλλετο πρὸς τὴν ὑπερορίαν.
Εἰ δ᾽ ἦσαν ἀποδέοντα τὰ ὄστρακα χιλίων,
Ἐν τῇ πατρίδι μένων ἦν, ἐπιτυχὼν συγγνώμης.
Ὀστρακισμὸς ἐκλήθη μὲν οὕτως ἡ ἐξορία,
Ἣν καὶ ὁ δικαιότατος ὑπέστη Ἀριστείδης.
Μέλλων δὲ γελοιότατόν τι φράσαι γράφω ταύτην.
Κατ᾽ Ἀριστείδου τῶν πολλῶν τὰ ὄστρακα γραφόντων,
Τὶς μιαρός, ἀγράμματος, μήτι βλαβεὶς ἐκ τούτου,
Ἀλλὰ μηδὲ τὸ τίς ἐστι γινώσκων Ἀριστείδης,
Τῷ Ἀριστείδῃ προσελθὼν καὶ ὄστρακον βαστάζων
Ἐκείνῳ λέγει, γράψον μοι ἐνταῦθα Ἀριστείδης.
Ὁ δ᾽ ὢν ἐπιεικέστατος ἔγραψε τῷ ὀστράκῳ.
Ἐπεὶ δ᾽ εἰς τὸ Κυνόσαργες ἀπέῤῥιψεν ἐκεῖνος,

HIST. 489.

449. Vid. Plut. Vit. Themist. I.

454. Erat ὄστρα καί. Vit. Aristid. c. 7.

Ὑποστραφέντα ἤρετο τοῦτον ὁ Ἀριστείδης·
Ἆρα εἰς σέ τι ἔπραξεν δεινὸν ὁ Ἀριστείδης;
Εἰπόντος δὲ μηδὲ ἰδεῖν μηδὲ γινώσκειν τοῦτον,
Ἀλλ' ὅτι πάντες γράφουσιν, εἶπον ὡς τοῦτον γράψῃς.
Νεύσαντος δὲ καὶ δείξαντός τινος ἐκ τῶν παρόντων,
Ὅτι ᾧ διαλέγεται ἐστὶν ὁ Ἀριστείδης,
Εἶπεν, ἀπέλθω καὶ ἄρω τὸ ὄστρακον ἐκεῖθεν.
Ὁ Ἀριστείδης εἶργε δὲ τοῦτο πεποιηκέναι,
Ἐζήτει δὲ καὶ δεύτερον ὄστρακον ὑπογράψαι,
Ὡς θᾶττον γένοιτο μακρὰν ὀστρακισθεὶς τοιούτων.
Ἡ ἐξορία οὕτω μὲν ὀστρακισμὸς ἐκλήθη.

Ἐκφυλλοφόρησιν δ' αὐτὴν οὕτω καλοῦμεν πάλιν.
Ἐν τόποις, οἷς οὐχὶ παρῆν ἐφεύρεσις ὀστράκων,
Εἰς φύλλα παρενέγραφον, ὥσπερ ἐν τοῖς ὀστράκοις.
Καὶ τὰ λοιπὰ ἐτέλουν δέ, ὡς ἐν ὀστράκοις ἔφην.
Μόνον ἐς τὸ Κυνόσαργες τὰ φύλλα οὐκ ἐῤῥίπτουν,
Εἰς τόπον στέγειν φύλλα δὲ δυνάμενον καὶ κρύπτειν.

Εἶτ' οὖν ἐκφυλλοφόρησίν φαμεν τὴν ἐξορίαν,
Οὐκ ἀπὸ φύλλων καὶ γραφῆς, ἥνπερ τανῦν εἰρήκειν·
Ἀλλ' ἐκ τῶν ἀπὸ δένδρων μὲν ἐκφυλλοφορουμένων,
Ἐν φθινοπώρῳ τῷ καιρῷ καὶ ταῖς πνοαῖς ἀνέμων.

Φάμουσα δέ μοι λέγεσθαι τοῖς νομογράφοις νόει
Τὰ ἔγγραφα ληρήματα κατὰ τῶν ὑπερόχων,
Ἅπερ λαθραίως καὶ κρυφῇ ταῖς ἀγοραῖς ῥιπτοῦνται,
Εἴτε καὶ μέσοις τοῖς ναοῖς, εἴτ' οὖν ἑτέροις τόποις.
Οἱ νόμοι τιμωροῦνται δὲ τοὺς ταῦτα γεγραφότας.

---

469. τοῦτον e marg. cd. A. pro ταῦτα.

ΠΑΡΟΙΜΙΑ Η ΛΕΓΟΥΣΑ, ΟΥ ΜΥΝ ΠΤΟΟΥΜΕΝΟΙΣ, ΤΗΝ ΟΡΜΗΝ Δ' ΑΠΟΤΡΕΠΟΥΣΙΝ. υϟ.

Τοῖς μύθοις τοῖς Αἰσώπου τε καὶ στίχοις τοῦ Βαβρίου
Λέων καθεύδων πλάττεται, οὗ μῦς δραμὼν αὐχένι
Ἐξ ὕπνου τοῦτον ἤγειρεν ἐντεθορυβημένον.
Ἀλώπεκος γελώσης δέ, ὁ λέων ἀπεκρίθη,
Οὐ μῦν πτοοῦμαι, τὴν δὲ ὁρμὴν ἐκτρέπω.

ΠΑΡΟΙΜΙΑ Η ΛΕΓΟΥΣΑ, ΕΙ ΕΝ ΤΩι ΞΗΡΩι ΞΥΛΩι ΤΟΙΑΥΤΑ ΤΕΤΟΛΜΗΚΕΝ. υϟά.

Κἂν ξύλῳ ἔχῃ τῷ ξηρῷ, κἂν τῷ ὑγρῷ τῷ ξύλῳ,
Δύναμίς ἐστιν ἡ αὐτὴ τοῦ λόγου μοι καὶ μάθε.
Ὁ μὲν Χριστὸς περὶ αὐτοῦ λέγων εὐαγγελίοις,
Ξύλον αὐτὸν ὠνόμασεν ὑγρὸν οὕτω πως λέγων·
Εἰ ἐν τῷ ξύλῳ τῷ ὑγρῷ ἐτόλμησαν τοιαῦτα,
Τί ἂν οὐχὶ ποιήσουσιν ἐν τῷ ξηρῷ τῷ ξύλῳ;
Κἀκεῖνος ξύλον μὲν ὑγρὸν αὐτὸν κατονομάζει,
Οἷα θεὸν καὶ εἴσαεὶ ζῶντα καὶ πεφυκότα.
Τὸ δὲ θνητὸν ἅπαν ξηρὸν καὶ παραῤῥέον ξύλον.
Κἂν ἐπ' ἐμοῦ δὲ εἴποιμεν ἐν τῷ ὑγρῷ τῷ ξύλῳ,
Εἰ ἐν ἐμοὶ τῷ δυνατῷ καὶ πολυγνώστῳ, νόει.
Ξηρὸν δὲ ξύλον νόησον τοὺς ἀσθενεῖς μοι τότε,
Κἂν εἰ ἐν τῷ ξηρῷ ξύλῳ κεῖται, τολμᾷ τοιαῦτα.
Καὶ τὸ ξηρὸν τὸ ξύλον δὲ ἀντὶ ἡμῶν νοῆται.
Καὶ οὕτως οὐ λυμαίνεται τὸ τῆς γραφῆς οὐδόλως.
Δηλοῖ γάρ, ᾧ οὐ πρόσεστιν ἰκμὰς αἰτιαμάτων,
Ἤγουν τυχοῦσα ἀφορμὴ εἰς τὸ ληρεῖν τοιαῦτα,
Ξύλοις τί δράσει τοῖς ὑγροῖς, οἷς ἀφορμῶν ἰκμάδες.

HIST. 490. CXLV. pag. 74. Babrii versus
492. Ed. I. G. Schneider. habet Suidas s. v. φριξότριχα.

Ἐν τούτῳ δὲ πεπλήρωκα καὶ ὅπερ ἠβουλόμην,
Νοήματι χρησάμενος δεινῷ Παιανιέως,
Τοὺς δικαστὰς ὑπὲρ αὐτῶν πεποιηκὼς σκοπεῖσθαι,
Ὥσπερ εἰ ἐδικάζοντο αὐτοὶ ἠδικημένοι,
Καὶ μὴ δοκεῖν ἀλλότριον τὴν δίκην πεφυκέναι,
Εἰς τιμωρίαν σπεύδειν τε τοῦ κατ' ἐμοῦ ληροῦντος
Καὶ ἐπιτρέχειν πρὸς αὐτὸ πλέον ἐμοῦ μυρίως.

ΛΕΞΙΣ ΙΣΤΟΡΙΩΔΗΣ, ΤΙΣ Ο ΣΕΙΡΟΜΑΣΤΗΣ ΚΥΡΙΩΣ. υϘβ'.

Πολλοὶ μὲν τὸ ἀκόντιον καλοῦσι σειρομάστην,
Ὥσπερ κἀν τῇ τοῦ Φινεὲς νοεῖται ἱστορίᾳ,
Ἐν ᾗ Ζαμβρῆν ἀπέκτεινεν ἐν τούτῳ καὶ τὴν Χάσβην.
Κυρίως δὲ σιδήριον τῶν τελωνῶν ὑπάρχει,
Ὡς μέγας ὀβελίσκος τις, ᾧ πλήττοντες τοὺς σάκκους
Τὰ κλεπτοτελωνούμενα νοοῦσι καὶ κρατοῦσιν.
Ἔγνως λοιπὸν καὶ τίς ἐστι κυρίως σειρομάστης.
Τοῦ Φινεὲς δὲ κεῖταί σοι καλῶς ἡ ἱστορία
Τόπῳ τριακοσιοστῷ ἐνενηκοστοπρώτῳ.

ΠΕΡΙ ΟΛΟΦΥΡΣΕΩΣ ΚΑΙ ΟΛΟΛΥΓΜΟΥ, ΤΙΝΙ ΔΙΑΦΕΡΟΥΣΙΝ. υϘγ'.

Ὀλοφυρμὸς ὁ θρῆνος μέν, ὀλολυγμος εὐχή δε,
Ὡς Εὐριπίδης, Ὅμηρος καὶ ἕτεροι μυρίοι
Διδοῦσι παραδείγματα μυρία μοι πρὸς τοῦτο.
Ἑβδομηκονταδύο δὲ ἑρμηνευταῖς Ἑβραίων,
Ἐκ λήθης οἶμαι λέξασιν, ὀλολυζέτω πίτυς
Ἀντὶ τοῦ ὀλοφύρεσθαι, ἐκράτησεν ὁ λόγος,

HIST. 491.

516. Hoeger *παιανιέως* intelligit de Demosthene, qui fuit *τὸν δῆμον Παιανιεύς.* Cf. Plut. Vit. X. orat. ῆ. T. XII. p. 258. Hanc rationem probo.

HIST. 492.

530. *Ἐν* versus initio delevi.

Καὶ δόγμα γέγονε κοινὸν κανών τε πεπηγμένος,
Ἀντὶ τοῦ ὀλοφύρεσθαι τὸ ὀλολύζειν λέγειν.
Χάρις πολλὴ δὲ τῷ θεῷ, ὅτι οὐχ εὗρον οὗτοι
Εἴτε Ἀθανασίου μὲν εἴτε τινὸς ἑτέρου
Τὴν πρὸς τὸν Ἰουλιανὸν ἐπιστολὴν ἐκείνην,
Ἐν ᾗ τὸ προῦπτον ἔγραψεν ἀντὶ ἀφανεστάτου,
Ἀντὶ τοῦ φροῦδον γεγράφως τὸ προῦπτον, ὡς νομίζω,
Ἐκ λήθης πάντως δὲ δοκῶ· διὸ καὶ σύρει τοῦτον
Ἐκεῖνος ὁ Κασσίταυρος, καὶ γράφει τούτῳ τάδε·
Χάρις θεοῖς, κωλύσασι σὲ φίλον μοι γενέσθαι,
Τοιοῦτον ἀμαθέστατον, ὃς γράφεις μοι τὸ προῦπτον,
Ἀντὶ τοῦ ἀφανέστατον. ποῦ τοῦτό που ἐφεῦρες;
Ὡς οὖν ἐνταῦθα γέγονεν ἡ λήθη τῷ ἁγίῳ,
Καὶ ἀντὶ φρούδου γέγραφε τὸ προῦπτον, ὡς νομίζω,
Καὶ ἄλλα δὲ πολλά, τίς ἂν ἐρεῖ τὰ πάντα;
Οὕτως ἀντ' ὀλοφύρσεως, ὀλολυγμὸς ἐτέθη.
Μετάθεσις δ' οὐ γίνεται νόμου τοῖς ἀμαθέσιν,
Ὀλολυγμὸν δὲ λέγουσι, νοοῦσί τε τὸν θρῆνον.
Χάρις μεγίστη δὲ θεῷ, ὅτι οὐχ εὗρον οὗτοι
Καὶ προῦπτον, ὅπερ ἔφημεν, τὸ ἀφανὲς ἐκ λήθης.
Καὶ τοῦτο γὰρ ἂν πάγιον ἐδέξατο κανόνα,
Προῦπτον κατονομάζεσθαι τὸ ἀφανὲς τοῖς πᾶσι.
Πᾶς δὲ κανόνων ἐραστὴς καὶ τέχνης ζυγοστάτης
Μάτην βαναύσοις ἀκοαῖς ἦν λέγων τὰ τοιαῦτα.

ΠΕΡΙ ΙΟΥΛΟΥ ΚΑΙ ΠΟΣΑ ΣΗΜΑΙΝΕΙ. ΚΑΙ ΠΕΡΙ ΟΥΛΟΥ. υϙδʹ.

Ἴουλός ἐστι μὲν ἰχθὺς καὶ σκώληξ μυριόπους,
Καὶ ἡ ἐξάνθησις τριχῶν αὐτῶν τῶν τοῦ γενείου.
Καὶ ἴουλος ὁ ὕμνος μὲν πλὴν θηλυκῇ τῇ κλήσει,
Ὡς ἐν Ἑρμῇ διδάσκει μοι καλῶς Ἐρατοσθένης·

HIST. 493.
551. Desunt duae syllabae.
HIST. 494.
564. Cf. Uckert, Geograph. der Griech. u. Röm. I. Th. 2. Abth. p. 133. E Tzetza corriges Etymol. M. s. v. Ἴουλος, ubi est θεὸς pro ἔριθος et ἐλεῶνος pro πυλεῶνος.

„Ἡ χερνῆτις ἔριθος ἐφ᾽ ὑψηλοῦ πυλεῶνος,
„Δανδαΐτις στείχουσα, καλὰς ἤειδεν ἰούλους.
Ταῦτα περὶ ἰούλου μέν. ἐξ δὲ δηλοῖ τὸ οὖλον,
Τὸ ὑγιές, ἀκέραιον, ὀλέθριον, σγουρόν τε,
Καὶ σὺν αὐτοῖς τὸ μαλακὸν καὶ στόματος τὸ μέρος.
Αὐτὸς τὰ δύο ταῦτα δὲ τοῖς ἄλλοις προσεθέμην,
Καὶ χρήσεις τούτων δέδωκα Ὁμήρου καὶ Αἰσχύλου.
Οἱ παλαιοὶ γὰρ ἔλεγον τὰ τέσσαρα καὶ μόνα.

ΠΑΡΟΙΜΙΑ Η ΛΕΓΟΥΣΑ, ΠΑΡΕΜΦΕΡΗΣ ΦΥΤΩΝ ΕΑΡΩι, ΟΠΟΙΩι ΟΜΗΡΟΣ ΕΙΚΑΖΕΙ ΤΟΝ ΕΥΦΟΡΒΟΝ. υϞέ.

Εὔφορβος ὡραιότατος ἦν τις τοῦ Τρώων γένους,
Υἱὸς Πάνθου καὶ Φρόντιδος, ὡς Ὅμηρός μοι λέγει,
Ὀρφεὺς δὲ Βουκολίωνος καὶ τῆς Ἀβαρβηρέης.
Ὑπὸ τοῦ Μενελάου δὲ τούτου ἀνῃρημένου,
Κατ᾽ ἔπος ταῦτα Ὅμηρος περὶ αὐτοῦ μοι λέγει·
„Ὡς δ᾽ ὅτε τις τρέφει ἔρνος ἀνὴρ ἐριθηλὲς ἐλαίης
„Χώρῳ ἐν οἰοπόλῳ, ὅθ᾽ ἅλις ἀναβέβρυχεν ὕδωρ,
„Καλόν, τηλεθάον· τὸ δέ τε πνοιαὶ δονέουσι
„Παντοίων ἀνέμων, καί τε βρύει ἄνθεϊ λευκῷ·
„Ἐλθὼν δ᾽ ἐξαπίνης ἄνεμος σὺν λαίλαπι πολλῇ
„Βόθρου τ᾽ ἐξέστρεψε καὶ ἐξετάνυσσ᾽ ἐπὶ γαίῃ·
„Τοῖον ἄρα Πάνθου υἱὸν ἐυμελίην Εὔφορβον
„Ἀτρείδης Μενέλαος ἐπεὶ κτάνε, τεύχε᾽ ἐσύλα.

ΛΕΞΙΣ ΙΣΤΟΡΙΩΔΗΣ, Η ΛΕΓΟΥΣΑ, ΚΩΜΟΥΣ ΥΜΕΝΑΙΩΝ ΑιΔΕΙΝ ΕΔΟΚΟΥΝ. υϞς′.

Κῶμος καὶ πότος μετ᾽ ᾠδῶν συμπόσια καὶ τέρψεις,
Ὑμέναιος ὁ γάμος δέ, μᾶλλον οἱ ὕμνοι τούτου.
Ὑμέναιος δὲ λέγεται, ὡς οἱ ἐτυμολόγοι,

HIST. 495. 578. Iliad. XVII, 53. sqq.

Ἢ ἐκ τῆς διαῤῥήξεως παρθενικοῦ ὑμένος,
Ἢ ὅτι ὕμνος νέος τις. ψευδῆ δὲ καὶ τὰ δύο.
Ὁ χηρικὸς οὐκ ἔχει γὰρ διάῤῥηξιν ὑμένος,
Λοιπὸν οὐδὲ ὑμέναιος τυγχάνει κατὰ τούτους.
Πάλιν εἰ ὕμνος νέος δὲ ὑπῆρχεν, ὥς φασί μοι,
Τὸν ε ψιλὸν ἂν ἔγραφες, οὐ μὴν διὰ διφθόγγου.
Ψευδῆ ταῦτα καθέστηκε τὰ δύο, ἃ νῦν εἶπον.
Ἄλλοι κρειττόνως δέ φασι, καὶ τοῦτο τιμητέον,
Παρὰ τὸ ἅμα ναίειν τε νυμφίον καὶ τὴν νύμφην.
Ἀφ' ἱστορίας ἕτεροι διδοῦσι δὲ τοὺς λόγους.
Οἱ μὲν Ἀργεῖον λέγοντες Ὑμέναιον τυγχάνειν,
Παῖδα τῆς Τερψιχόρης δὲ παστοῦ ἠφανισμένον,
Οἱ δ' Ἀττικὸν Ὑμέναιόν φασιν, οὐχὶ Ἀργεῖον,
Εὑρεῖν παρθένους δέ τινας λησταῖς ἀφηρπαγμένας.
Οὕσπερ ἐν γάμοις ἔπεισε νομίμοις ἁρμοσθῆναι.
Ἔκ τοτε δ' οἱ ὑμέναιοι τῷ γένει τῶν Ἑλλήνων
Εἰώθασιν ἐπᾴδεσθαι τοῖς χρόνοις τοῖς τῶν γάμων,
Τοῦ μὲν ἐξαπευχόμενοι ἀφάνισιν παστάδος,
Τὴν δ' Ἀττικοῦ εὐχόμενοι ἔννομον συζυγίαν.
Ταῦτα ἐποίουν Ἕλληνες τοῖς χρόνοις τοῖς τῶν γάμων,
Καλοῦντες τὸν Ὑμέναιον τὸν Ἀττικὸν ἐκεῖνον,
Καὶ γάμον νόμιμον αὐτοῖς, ὃν ἔπραξεν ἐκεῖνος.
Ὡς οὖν τοῦτον οἱ Ἕλληνες καλοῦσιν ἐν τοῖς γάμοις,
Καλεῖ καὶ τὸν Ταλάσιον τὸ γένος τῶν Λατίνων.
Ἔχεις τὸ χρέος ἅπαν σοι ἀποφληθὲν τελέως·
Πάσας τὰς τῶν πινάκων γὰρ εἴπομεν ἱστορίας,
Εἰ καὶ τῷ φόβῳ περισσὰς στενῶς συνεγραψάμην,
Μήπως οὐχὶ χωρήσωσι τῇ βίβλῳ συγκλεισθῆναι.
Ἐπεὶ δὲ ταύτας ἔγραψα, καὶ τόπος ἐστὶ χάρτου,
Δέον τοὺς εὐεργέτας δὲ ἀναστηλοῦν ἐν λόγοις,

HIST. 496.
609. Inserui τόν.
612. De Talassio vid. Livius I. 9. Plut. Vit. Rom. 15. Vit. Pomp. 4. Quaest. Rom. 31. Tom. VIII. p. 830.

Καὶ πάντας ὅπως δή ποτε λυσιτελεῖς φανέντας,
Φέρε ὡς ἐπὶ κύρβεων, εἴτε τινῶν ἀξόνων,
Καὶ γένος τὸ Ὁμήρειον ἀναστηλώσω τῇδε.
Πλὴν δὲ πάνυ στενότατα, ἕνεκα μόνου τούτου,
Τοῦ γνῶναί σε, τίς σύζυγος Ὁμήρου τε καὶ παῖδες,
Τῇ τῆς Αὐγούστης βίβλῳ γὰρ τἄλλα μοι προσεγράφη,
Ὥνπερ τὰ καιριώτερα καὶ τῇδε παρεγγράψω.
Ὁ Ὅμηρος ὁ πάνσοφος, ἡ θάλασσα τῶν λόγων,
Πλὴν γέμουσα τοῦ νέκταρος, οὐχ ἁλμυρῶν ὑδάτων,
Ἑπτὰ πατρίδων λέγεται τυγχάνειν ἀμφιβόλων.
Ἑπτὰ πατέρων γέννημα, καὶ τούτων ἀμφιβόλων.
Σὺ δὲ Σμυρναῖον γίνωσκε τὸν Ὅμηρον ὑπάρχειν,
Υἱὸν δὲ δὴ τοῦ Μέλητος ὄντα, καὶ Κριθηΐδος.
Ἐῶ τὰ μυθωδέστερα γονῆς τῆς τούτου λέγειν.
Διδάσκαλον Ὁμήρου δὲ τὸν Πορναπίδην νόει.
Σύνευνος ἦν Ὁμήρου δὲ τὴν κλῆσιν Εὐρυδίκη,
Γνώστορος εἴτε Πάστορος θυγάτηρ τοῦ Κυμαίου.
Σερίφων καὶ Θεόλαος υἱοὶ δὲ τοῦ Ὁμήρου,
Θυγάτηρ Ἀρσιφόνη δέ, ἣν ἔγημε Στασῖνος,
Στασῖνος ὁ τὰ Κύπρια συγγράμματα ποιήσας,
Ἅπερ οἱ πλείους λέγουσιν Ὁμήρου πεφυκέναι,
Εἰς προῖκα δὲ σὺν χρήμασι δοθῆναι τῷ Στασίνῳ.
Ἀρκτῖνος ὁ Μιλήσιος ἦν μαθητὴς Ὁμήρου,
Καὶ δοῦλος δὲ τῷ ποιητῇ κλῆσιν ὑπῆρχε Βύκκων,
Ὃν βίκωνα καὶ φλάσκωνα παίζων ὁ Τζέτζης λέγει.
Βιβλία τοῦ Ὁμήρου δὲ τρία εἰσὶ καὶ δέκα.
Ὁ χρόνος τούτου σύγχρονος ἦν ἐκστρατείαις δύο,
Θηβαϊκῇ καὶ Τρωϊκῇ, κατὰ πολλοὺς ἑτέρους.
Ὁ δ' Ἀπολλόδωρος αὐτὸς ὁ χρονογράφος λέγει
Τελεῖν μετ' ὀγδοήκοντα ἔτη τῆς Τρώων μάχης.

---

631. Margo cd. A. *Κρηθηΐδος.*

643. *φλάσκων.* Galli *Flacon* dicunt. Hesychius: *ἀρυβάσσαλον, Κοτύλη ἢ φλάσκων· φλάσκων δὲ εἶδος ποτηρίου.* Ita emendat Meursius pro *φάσκων. Dufresn. Βίκων* i. q. *βῖκος.* In marg. edit. Basil. additum est *urnam et lagenam.*

[illegible] ἐν ἄλμας,
[illegible] Σιμωνίδα.
[illegible] ἐπέβη.
[illegible] ἠρτημένος
[illegible]
[illegible] ἐς γῆρας,
[illegible] ἐγγράψαι;)
[illegible] Ἑλλάδος,
[illegible]
[illegible] Κρωμύλου,
[illegible]
[illegible] τι;
[illegible] ἰδούντες,
[illegible] σὺ εἶλον,
[illegible] ταῦτα.
[illegible] ἐς πέτραν
[illegible] κραταιός.
[illegible] ἐνθάδε,
[illegible] τὰς Μούσας,
[illegible] πλέον,
[illegible] τὸν μέγαν,
[illegible]
[illegible] τούτου,
[illegible] ἐνθήσει.
[illegible] θέντες,
[illegible] τῆς [illegible]λου.

[illegible] τοῦ [illegible], τὰς δὲ φρι-
[illegible] ἐν [illegible] πολιτι-
[illegible] ἀρχαίοις [illegible]

[illegible] 659. In marg. cd. A. περί pro
[illegible] ἐπί.

ΤΟΥ
ΑΥΤΟΥ ΙΩΑΝΝΟΥ ΤΟΥ ΤΖΕΤΖΟΥ
ΣΤΙΧΟΙ ΙΑΜΒΙΚΟΙ *).

Ἡ βίβλος Ἄλφα Τζετζικῶν πονημάτων,
Μούσης μέτρα φέρουσα τῆς ἀγυρτίδος,
Ἡ τὴν ποδῶν εὔρυθμον οὐ τηρεῖ βάσιν,
Πάσας δὲ μισεῖ διχρόνους καὶ τριχρόνους,
Κανὼν δὲ τέχνης οὐδαμῶς αὐτῇ φίλος.
Καὶ τί γὰρ ἄν τις τεχνικῷ γράφοι μέτρῳ,
Πόδας τε τηροῖ πανταχοῦ καὶ διχρόνους,
Καὶ πάντα λεπτῶς ὡς χρεὼν ἀποξέοι,
Ἴσων δοκούντων τεχνικῶν καὶ βαρβάρων;
Μᾶλλον δὲ πολλοῦ βαρβάρων τιμωμένων
Καὶ τῶν ἀτέχνων ὡς σοφῶν κροτουμένων;
Καὶ ταῦτα ποίοις; τοῖς δοκοῦσι πανσόφοις.
Οὕτω τὸ καλὸν ἐξαπέπτη τοῦ βίου,
Οὕτω κατεκράτησεν ἡ χυδαιότης.
Ἀλλ' ἐκδιδακτέον μοι τοῖς φυτοσπόροις,
Καὶ μᾶλλον αὐτῶν οἷς φιλόστοργος φύσις,
Ἣν νῦν ἀγωγὴν ἐκδιδάσκειν χρὴ τέκνα,

---

*) Videtur hoc esse velut auctarium libri Alpha dicti, quamquam neque sic respondet versuum numerus. *E margine edit. Bas.* Versus primi viginti duo continent Tzetzae praefationem. Ex iis XIV. latinis numeris reddidit *Ioach. Camerarius* in Epist. familiarib. p. 414. ed. Francof. 1583. 8.

7. Erat τηρῇ.

11. Margo ed. A. κρατουμένων. Κροτεῖσθαι h. l. est *plausu excipi.*

15. Erat με.

Ὡς εὐροῶσι τῇ φορᾷ τῇ τοῦ βίου,
Τερπνήν, πλατεῖαν, εὐχερῆ, τῶν συντόμων
Ὁδὸν τραπέντες καὶ τυφλοῖς ἐγνωσμένην,
Μὴ τὴν μακράν πως καὶ στενὴν ὡδευκότες,
Πόνους μόνον λάβωσι τῶν ἀνηνύτων **).

Τὸ εἶδος τοῦ λόγου συμβουλευτικόν. Ἡ κυρίως ἰδέα τούτου βαρύτης α). *εἰ γὰρ καί φησιν ὁ ῥήτωρ, οὕτως ἀπάγειν τοὺς παῖδας, σχήματι μόνον φησί. βούλεται γὰρ πᾶν τοὐναντίον ἐν ταῖς ὑποφοραῖς ὑπερορίας ἀξίους δεικνὺς τοὺς τοιούτους φαύλους, καὶ μακαρίζων τὸν Φίλιππον, πάντας πονηροὺς καὶ μοιχοὺς εἰς πονηρόπολιν συνοικίσαντα καὶ μοιχόπολιν, ἣ βινηρία καλεῖται. ταῦτα μὲν οὕτως. Ἡ δὲ στάσις πραγματική, ἐσχηματισμένως μελετηθεῖσα κατὰ τὸ πλάγιον τοῖς ἐξ αὐτῆς κεφαλαίοις. Καὶ ὡς μὲν οἰκεῖα ὁ ῥήτωρ εἰσάγει, εἰ καὶ μόνον δοκήσει τὸ συμφέρον, τὸ δυνατὸν καὶ τὸ ἐκβησόμενον. Ἐν δὲ ταῖς ὑποφοραῖς τοῦ ἀντιδίκου λέγοντος ἄνομον, ἄδικον, ἄδοξον τοῦτο, αὐτὸς κατασκευάζων δῆθεν ἔννομον, δίκαιον τοῦτο καὶ ἔνδοξον, ἀσθενέστερα ἑκὼν τὰ οἰκεῖα κεφάλαια τοῦ ἀντιδίκου εἰσάγει. τοῦτο γὰρ ἀρετὴ* β) *τῶν ἐσχηματισμένων ἐστί. Τοῖς ἀσχηματίστοις δὲ ἀρετὴ τοὐναντίον. Ἔγνως τὸ εἶδος, τὴν ἰδέαν, τὴν στάσιν, καὶ ὅτι τοῖς ἐξ κεφαλαίοις ἐμελετήθη, τοῦ Δημοσθένους πολλάκις μόνῳ τῷ συμφέροντι μελετήσαντος. ἄκουε λοιπὸν καὶ τὰ τοῦ λόγου ὀκτὼ μόρια· ἡ ἔννοια, καθαρὰ καὶ ἡ μέθοδος. ἀπὸ γὰρ αὐτοῦ τοῦ πράγματος ἄρχεται καὶ ἀφηγηματικῶς. ἡ λέξις ὁμοίως, σχήματά τε καὶ κῶλα καὶ* γ) *τὰ λοιπὰ τρία, ἃ καὶ πάρεργά εἰσι, ζήλῳ δὲ ποιητῶν*

**) Argumentum esse hoc videtur subsequentis orationis, versibus descriptae iambicis, in qua mores hominum deplorat atque vituperat elegantissime. *E margine edit. Basil.*

α) Ita cd. A. pro *βραχύτης*.

β) Erat *ἀρετῇ*.

γ) Accessit *καὶ* e cd. A.

τίθενται, ἀνάπαυσις, βάσις καὶ ῥυθμός. ταῦτα πάντα συνόλως εἰπεῖν καθαρά εἰσιν· ὅπῃ δέ τινα καὶ ἑτέρων ἰδεῶν.

ΠΑΙΔΩΝ ΑΓΩΓΗ ΣΥΝΤΕΛΗΣ ΤΩι ΝΥΝ ΒΙΩι.

Σύμπας πατὴρ ἄκουε τῶν Τζέτζου λόγων,
Ὅπως χρεὼν σε νῦν διδάσκειν τὰ τέκνα,
Καὶ μητέρες πᾶσαι δὲ σὺν τοῖς πατράσιν
Ἀκουέτωσαν τῶν ἐμῶν διδαγμάτων.
Οἱ μὲν παλαιοὶ τὰς βαναύσους καὶ λόγων
Τέχνας ἐφεῦρον πρὸς τὸ χρήσιμον βίου.
„Εἰσὶ γάρ, εἰσίν, ὡς ὁ Κροῖσος πρὶν ἔφη,
„Μαιεύτριαι βίου τε καὶ καλῶν βρύσεις,
Ἀτεχνίαι δῆλον δὲ πᾶν τοὐναντίον.
Ἐπεὶ δὲ τοῦτο τοῖς βαναύσοις καὶ μόνοις
Μένει πεπηγὸς καὶ κρατεῖ τὰ τῶν νόμων
Καὶ μέχρις αὐτῶν τῶν τεχνῶν τῶν ἐσχάτων,
Εἴ τις παραπταίσειεν εἰς βραχὺ μέρος,
Σκυτεύς, ταριχεύς, ὁ δυσγενὴς ἐργάτης
Καὶ κοπραγωγῶν τῶν δυσόδμων ἐργάτης,
Τωθάζεταί τε καὶ κακὸς κλῆσιν φέρει·
Τὰ τῶν λόγων ἔχει δὲ πᾶν τοὐναντίον·
(Ὅσοι γάρ εἰσι τῶν ἀτέχνων, βαρβάρων,
Στέγαις τε πορνῶν δυσγενῶς τεθραμμένοι
Καὶ ταῖς καπήλων παιδιαῖς ἠσκημένοι,
Τοιχωρυχοῦντες καὶ τομεῖς βαλαντίων,
Μᾶλλον δοκοῦσι τεχνικοὶ πεφυκέναι,
Παρεισφοροῦνται δ' εἰς ἀνάκτορα κρότοις
Συγκλητικοῖς, καὶ ταῦτα τοῖς περὶ λόγους)
Σύμβουλος ἥκω νουθετῶν τὸ συμφέρον·
Χρὴ τὸν πολίτην εὐνοεῖν γὰρ πατρίδι.

---

31. Sic cd. A. pro *τοὐναντίου.*

36. Post *δυσγενὴς* videtur excidisse *πᾶς.*

Ἐπεὶ διηρθρώθησαν ὑμῖν ἃ λέγω,
Νῦν τῆς ἀγωγῆς ὡς χρεὼν καταρκτέον.

Ἐπὰν ὁ παῖς τέταρτον ἐκδράμῃ χρόνον
Ἐκ τῆς γενέθλης καὶ βρεφῶν τῶν σπαργάνων,
Ζητεῖν ἐᾶτε δεξιοὺς διδασκάλους,
Σοφοὺς κατ᾽ ἄμφω καὶ λόγοις καὶ πράγμασι,
Τὸ κόσμιον φέροντας ἐς μέχρι θέας.
Πόρνης δ᾽ ἐν οἴκοις δεξιᾶς ὀρχηστρίδος
Ἄγοντες αὐτὸν ὡς διδασκάλοις δότε,
Μένειν ἐκείναις ταῖς σοφαῖς κατοικίαις,
Ἔχοντα χόρτον καὶ λιθόστρωτον κλίνην
Κόσμον λαβοῦσαν ὀστρέων τοῖς ὀστράκοις.
Οὕτως ἐκείναις ἐγκαθευδέτω στέγαις,
Ὡς ἂν τυπῶτο κἂν λόγοις μόνοις τέως,
Ἕως τονωθῇ πρὸς τὸ δρᾶν τὰ τῆς τέχνης.
Κἂν μὲν κατορθώσωμεν, εὖ εὐβουλίας·
Εἰ δ᾽ αὖ σφαλῶμεν, καὶ πάλιν εὐβουλίᾳ.
Τίς γὰρ ἀναχθεὶς οἷσπερ εἴπομεν τρόποις,
Στρωμνήν τε τὴν γῆν ἐνλαχὼν μετ᾽ ὀστρέων,
Τύχης πτοηθῇ συστροφῶν καταιγίδας;

Μένων δὲ πόρναις καὶ καπήλων ταῖς θύραις
Καὶ γραμματισταῖς βαρβάροις παρερπέτω,
Ὡς καὶ δοκήσεις τῶν λόγων ἀποτρέπειν.
Οὕτως ἐκεῖνος δεξιῶς τεθηγμένος
Οἴκοις τε πορνῶν καὶ καπήλων ταῖς θύραις,
Καὶ δὴ σὺν αὐτοῖς βαρβάροις διδασκάλοις,
Ἣν ἂν μετέλθῃ τοῦ βίου τρίβον τότε,
Θυηπολούντων ἢ μονοτρόπων τέχνην,
Ἢ τὴν λόγους στέργουσαν, ἢ μάχης κρότους,
Πάντας ὑπερπτῇ καὶ φανῇ νικηφόρος,
Πολλοῦ πόνου δίχα τε καὶ βραχεῖ χρόνῳ.
Ἡ σύντροφος γὰρ βαρβάρων κουστωδία.
Πόρνη μὲν ἔνθεν ἐκδραμοῦσα συντόνως,
Ἐκεῖθεν ἐλθὼν δεξιὸς τοιχωρύχος,

Ἐντεῦθεν ἄλλος ἐκτομεὺς βαλαντίων,
Καί τις ποθὲν στόμαργος, αἰσχρὸς ἐν λόγοις,
Ὅλους φάρυγγος οἰνεῶνας ἐκπνέων,
Οἱ πάντες εἰς ἓν συνδραμόντες, εὐτόνως.
Εἰς οὐρανοὺς ἄρουσιν ὡς αὐτοῖς φίλον·
Τοὺς δεξιοὺς δὲ καὶ σοφοὺς καὶ κοσμίους
Πλυνοῦσιν αἰσχρῶς σφῶν καταπτύστοις λόγοις.

Καί πού τις ἀνὴρ εὐγενής, σεμνὸς τρόποις,
Κἂν οἶδεν αὐτὸν ἐμφανῶς τοιχωρύχον,
Ἄνθρωπον ἐξάγιστον, αἰσχύνην βίου,
Ὅμως σιωπὴν παντελῶς ἄγει λόγοις,
Ἢ καὶ συνιστᾷ τοῖς σοφοῖς ἀνακτόροις,
Δεινῶς πτοηθεὶς τὰς βολὰς τῶν βαρβάρων.

Πόσους παλαιοὺς ἔκ τε τῶν νέων πόσους
Τοιούςδε δεινοὺς ἐκτομεῖς βαλαντίων
Καὶ πᾶσαν ἐξάγιστον ἀσκοῦντας τέχνην
Οἶδας πρὸς οὖρον εὐροοῦντας ταῖς τύχαις,
Τῶν δεξιῶν δύστηνον ἀντλούντων βίον;
Ὁρᾷς ἐκεῖνον, τουτονὶ βλέπεις πάλιν·
Ἐκ τῆς ἑώας ὡς πρὸς ἑσπέραν τρέπου,
Ἄθρει πρὸς ἄρκτον, εἴς τε τὸν νότον βλέπε,
Ἕλισσε κύκλῳ τὰς βολὰς τῶν ὀμμάτων,
Ἅπαν τὸ γῆς διελθὲ λεπτῶς μοι πλάτος,
Καὶ λέξον, οἷον εἰσορᾷς πολὺ πλέον,
Τὸ δεξιῶν τε καὶ σοφῶν καὶ κοσμίων,
Ἢ τοὺς χυδαίους καὶ δοκοῦντας πανσόφους,
Φήμαις φιλητῶν καὶ χοροῖς ὁμοτρόπων;

Εἰ γοῦν ἀγωγὴν συμφέρει τοιάνδ' ἄγειν,
Καὶ ῥᾳστόν ἐστι καὶ βραχεῖ κτᾶται πόνῳ,
Ποιεῖ δὲ τιμαῖς καὶ σοφῶν ὑπερφέρειν,
Τί μὴ κατ' αὐτὴν τὰ τέκνα παιδεύομεν;

---

94. Erat ἢ pro ἤ.

109. Pro *χοροῖς* potius *χοίροις*.

Ἄφρων ὁ ῥάστου τοὺς μακροὺς τιμῶν πόνους,
Καὶ τῶν ἀκερδῶν σὺν μακρῷ πεφυκότας.

Τοιάνδε χρὴ παίδευσιν ἀσκεῖν τὰ τέκνα.
Ἥξει λόγος τάχα δέ τις ἐξ ἀσκόπων,
Ὡς τοῦ παλαιῶν ἐκτρέχει τουτὶ νόμου,
Δίκης τε πόῤῥω, τῇ κρατίστῃ τ' αὖ πόλει
Ὄνειδος αἰσχρὸν ἐξ ἀδόξου τοῦ τρόπου.
Καὶ σχετλιάζων ἐμπαθῶς εἴποι τάδε·
Φεῦ τῆς τοσαύτης ἐκτροπῆς τῶν πραγμάτων.
Ἐν ταῖς βαναύσοις τῶν τεχνῶν μένει νόμος,
Καὶ πᾶς ἐκείνων μὴ φυλάττων τοὺς νόμους
Τωθάζεταί τε καὶ δοκεῖ τέχνης ἄπο·
Ἐν ταῖς λόγων τέχναις δὲ πᾶν τοὐναντίον.
Οἱ γὰρ βαναύσως ἐκμαθόντες τι λόγου,
Μᾶλλον δοκοῦσι τῶν σοφῶν ὑπερφέρειν,
Καλῶν τε πάντων πανταχοῦ τῶν χειρόνων
Κρεῖττον φερόντων ἐν βροτοῖς τἀναντία.
Καὶ συμφορᾶς φεῦ, φεῦ πικρᾶς δυσμορίας·
Ἂν ἵππος ἐστὶ τεχνικῶς τρέχων δρόμους,
Ἢ καὶ κύων τις δεξιὸς θηραγρέτης,
Καὶ χοῖρος αὐτὸς τοῦ κακίστου βελτίων,
Καὶ πᾶσιν ἄλλοις συντομῇ φράζειν δέον,
Πᾶν κρειττονεῦον λῷόν ἐστι χειρόνων,
Καὶ χοῖρος αὐτός, κἂν τρέφηται βορβόροις,
Τιμᾷ τὸ λῷον, οὐ πατεῖ τὰ βελτίω,
Καὶ τάξιν οἶδε μηδαμῶς παρατρέχειν.
Χοιρίσκος ὁ πρῶτος γὰρ εἰ μυζᾶν θέλει,
Μαστὸν κρατεῖ τὸν πρῶτον, ὡς πρῶτος χρόνῳ,
Οἱ δ' αὖ μετ' αὐτὸν τοὺς ἐφεξῆς ἀξίως.

Οὕτω τὰ κρείττω πανταχοῦ τιμητέα·
Ἐν τοῖς βροτοῖς ἅπαν δὲ φεῦ τοὐναντίον.

---

131. Margo cd. A. δυσμοιρίας.

136. Sic cd. A. In edit. Bu. κρεῖττον εὐσῃ.

Μᾶλλον γὰρ ἡμῖν πᾶς ἔνι τιμητέος
Ἄμουσος, αἰσχρός, καὶ σοφοῦ φήμην φέρει·
Εἴ τις δὲ Μουσῶν τεχνικῶς ἔγνω λόγους
Καὶ τάξιν ἀσκεῖ, δευτερεύει βαρβάρων.

Τοιαῦτα φαίη σχετλιάζων τις πόσα,
Αἰσχροὺς καλῶν τούτους τε καὶ λωπεκδύτας,
Οἰκήτοράς τε προσφυεῖς γῇ βατράχων,
Ἀλλ' οὐ κατοικεῖν εἰς περίβλεπτον πόλιν,
Ὡς λυμεῶνας τῶν τεχνῶν καὶ βορβόρους
Τεχνῶν ἐκείνων τῶν σοφῶν καὶ κοσμίων.
Φίλιππον αἰνέσει τε τὸν μέγαν λόγοις,
Ὃς ἐξ ἁπάντων ἐξελὼν πολισμάτων
Μοιχούς, πονηροὺς καὶ κακῶν ἅπαν γένος,
Ἔστειλεν οἰκεῖν εἰς πολίσματα δύο,
Ἐκεῖνος αὐτὰ τοῖς κακοῖς τούτοις κτίσας.
Κλῆσις ἑνὶ μὲν τῶν πονηρῶν ἦν πόλις,
Πόλει δὲ μοιχῶν κλῆσις ἦν βινηρία.
Οὕτως ἐκεῖνος δεξιᾷ κρίσει τότε
Σεμνῶν διεῖλε τοὺς κακοὺς πολισμάτων,
Ὡς πρὶν νόμος Σόλωνος εἶπεν εἰργνύειν
Τῶν σωφρονουσῶν πορνικῶν σύμπαν γένος.
Ἐχρῆν δὲ καὶ νῦν τὴν σοφὴν ταύτην κρίσιν
Ἔχειν τὸ κῦρος καὶ τελεῖσθαι τὸν νόμον
Καὶ τοὺς κακίστους ἐξελαύνειν ὡς τότε.

Τοιοῦτος ἥξει τις ἀπ' ἀσκόπων λόγος,
Ὡς ἔκνομον τὸ πρᾶγμα καὶ πόῤῥω δίκης,
Ἀδοξία τε τῇ περιβλέπτῳ πόλει,
Καὶ σχετλιασμὸς οὐ βραχὺς τῶν πραγμάτων.
Ῥᾷστον δ' ἐκείνων ἐξελέγξαι τὸν λόγον,
Δεῖξαι τε σαθρὸν καὶ ψευδόμενον μάτην.

---

151. Cd. A. ματράχων, ut edit. Bas. E cuius margine reposui βατράχων.

155. Plutarch. de curios. §. 10. T. X. p. 141.

174. E marg. cd. A. pro φουμενον.

Ἀεὶ νόμοι γὰρ καὶ τὰ πάντα τοῦ βίου
Τρεπτὴν φορὰν ἔχουσι καὶ τῶν εὑρόων
Καὶ καινὰ καινοῖς γίνεται καθημέραν.

Κομῶντα τὸ πρὶν ἦσαν Ἀργείων γένη·
Κείραντες αὐτῶν τὰς κόμας ἡττημένοι
Ἔθεντο θεσμὸν μὴ κομᾶν ἔτι βίῳ.
Λάκων καθεῖλε πανσελήνῳ τοὺς νόμους,
Τιμῆς στερηθεὶς οὐ μικρᾶς ἐκ τῶν νόμων.
Κείρει Μακηδὼν τὰς πεδίλων γλωσσίδας,
Ταύταις ποδισθεὶς καὶ πεσὼν ἐν ἀμπέλοις,
Καὶ τὴν γενειάδα δὲ πρὸς τὸ συμφέρον
Ἔξυρε λεπτῶς, ὡς βαρύνουσαν μάχαις.

Ἄνπερ δὲ καὶ νῦν τις σκοπῶν τὸ συμφέρον
Τὸ φορτιῶδες εἷλε τῶν νόμων βάρος,
Ἄλλον δ' ἐλαφρὸν ἐμπαρῆξε τῷ βίῳ,
Ὡς οἱ τὰ πάντα δεξιοὶ νεανίαι,
Τὰς φορτιώδεις ἐξελόντες διχρόνους,
Καὶ συμπατοῦντες χοιρικὴν ὥσπερ κόπρον,
Εἴ τις κανών τε συνταράσσων τὰς φρένας
Τῆς μετρικῆς τέχνης τε καὶ τῶν ῥητόρων,
Τί καινὸν ἐξείργαστο, τί ψέγειν ἔχον,
Ἄλλως τε ποῖον νῦν καλεῖς νόμον λέγε.
Ἔχεις νόμον τεθέντα τοῦ πρὶν καλλίω,
Σαφῆ γυναιξὶ καὶ σοφοῖς καὶ βαρβάροις.
Ἔθος δ' ἂν αὐτὸς τοῦτο φῇς καὶ μὴ νόμον,
Ἰσοσθενοῦν ἔθος τε καὶ νόμον νόει. —

Δίκης δ' ἂν ἐκτὸς τοῦτο σὺ λέγῃς, μάθε·
Πολὺ δικαίου κρειττονεύει συμφέρον.
Μικρὸν γὰρ ἠδίκησεν, ὡς φῄς, τοὺς λόγους.

---

178. Herodot. I, 82. Plutarch. Vit. Lysandr. I.

181. Herodot VI, 106. Paus. I, 28. Videtur scribendum *πανσελήνου*.

186. Margo cd. A. *ἀλώσιμον* pro *βαρύνουσαν*.

195. Margo cd. A. *φαῦλον* pro *καινόν*.

Ἀλλ᾽ ἰσομοίρως νῦν γυναῖκες καὶ βρέφη
Καὶ πᾶς βάναυσος καὶ γοναὶ τῶν βαρβάρων
Δοκοῦσιν ἴσοι μετρικοῖς λογογράφοις,
Τῷ πάντα φόρτον ἐξελεῖν τοῦτον νόμου.
Τούτου δ᾽ ἂν εὗρέ τίς τι κάλλιον, λέγε.
Ἀδοξίαν ποίαν δὲ τῇ πόλει λέγεις.
Τὸ κέρδος ἐκβὰν, κρεῖττον ἐνδόξῳ τρόπῳ,
Ῥᾷστα δοκοῦσιν ὧδε μανθάνειν λόγους.
Καὶ πᾶς νομίζει δεξιοὺς τοὺς ἐν πόλει.
Τί δ᾽ αὖ παρεισφρεῖς τὰς βαναύσους μοι τέχνας,
Ὅπως ἐκεῖναι μὲν φυλάττουσι νόμους,
Αἱ τῶν λόγων δ᾽ ἔχουσι πᾶν τοὐναντίον;
Ὡς δυσμαθὴς εἶ καὶ λόγων πολλῶν δέῃ.
Γυναῖκα πολλοῖς συμμιγεῖσαν ἀνδράσιν
Ἔθνος τι τιμᾷ καὶ στυγεῖ τὰς κοσμίους.
Ἄλλοι, τεκουσῶν τῶν ἐκείνων συζύγων,
Κεῖνται κλινήρεις, ὡς τεκόντες τὰ βρέφη·
Τούτοις δ᾽ ἐκεῖναι μᾶλλόν εἰσι τῷ τότε
Λάτρις, πονοῦσαι τῇ κενῇ κατακλίσει.
Μισεῖ τὸ λευκὸν, ὥσπερ οἶδας, Αἰθίοψ,
Μέλαν δὲ κρεῖττον μυρίων λευκῶν ἔχει.
Καὶ φύρεται σταῖς τοῖς ποσὶν Αἰγυπτίοις,
Χερσὶ δ᾽ ἐκείνοις πηλὸς ἐκπαλάσσεται.
Ἐν δ᾽ αὖ Ἀθήναις ἦσαν οἱ δικασπόλοι
Ἐκ τῶν ἀμούσων, οἱ σοφοὶ δ᾽ ἐπηρέμουν.
Ἴσως ἐκεῖθεν πᾶν μετῆξαν ἐνθάδε.
Αἰσχρῶν δὲ τιμὴν δυσμαθῶν τί μοι λέγεις;
Οὐ νῦν ἐπανθεῖ πρῶτον ἐν βίῳ τόδε·
Ἀεὶ δὲ τιμὴ τῶν κακούργων ἦν βίῳ.

---

217. Citat Hoeger. Herodot. I, 93. cl. Aelian. V. H. IV, 1. ubi sermo de Lydorum puellis, Herodot. I, 199. ubi de Babylonior. uxoribus; Herodot. IV, 172. ubi de Nasamonum mulieribus; Herodot. V, 6. ubi de Thracicis puellis.

219. Diodor. Sic. V, 14. ibique Wessel.

225. Herodot. II, 36.

Ὡς εὐροῶσι τῇ φορᾷ τῇ τοῦ βίου,
Τερπνήν, πλατεῖαν, εὐχερῆ, τῶν συντόμων
Ὁδὸν τραπέντες καὶ τυφλοῖς ἐγνωσμένην,
Μὴ τὴν μακράν πως καὶ στενὴν ὡδευκότες,
Πόνους μόνον λάβωσι τῶν ἀνηνύτων **).

Τὸ εἶδος τοῦ λόγου συμβουλευτικόν. Ἡ κυρίως ἰδέα τούτου βαρύτης a). *εἰ γὰρ καί φησιν ὁ ῥήτωρ, οὕτως ἀπάγειν τοὺς παῖδας, σχήματι μόνον φησί. βούλεται γὰρ πᾶν τοὐναντίον ἐν ταῖς ὑποφοραῖς ὑπερορίας ἀξίους δεικνὺς τοὺς τοιούτους φαύλους, καὶ μακαρίζων τὸν Φίλιππον, πάντας πονηροὺς καὶ μοιχοὺς εἰς πονηρόπολιν συνοικίσαντα καὶ μοιχόπολιν, ἣ βινηρία καλεῖται. ταῦτα μὲν οὕτως. Ἡ δὲ στάσις πραγματική, ἐσχηματισμένως μελετηθεῖσα κατὰ τὸ πλάγιον τοῖς ἓξ αὐτῆς κεφαλαίοις. Καὶ ὡς μὲν οἰκεῖα ὁ ῥήτωρ εἰσάγει, εἰ καὶ μόνον δοκήσει τὸ συμφέρον, τὸ δυνατὸν καὶ τὸ ἐκβησόμενον. Ἐν δὲ ταῖς ὑποφοραῖς τοῦ ἀντιδίκου λέγοντος ἄνομον, ἄδικον, ἄδοξον τοῦτο, αὐτὸς κατασκευάζων δῆθεν ἔννομον, δίκαιον τοῦτο καὶ ἔνδοξον, ἀσθενέστερα ἑκὼν τὰ οἰκεῖα κεφάλαια τοῦ ἀντιδίκου εἰσάγει. τοῦτο γὰρ ἀρετὴ* β) *τῶν ἐσχηματισμένων ἐστί. Τοῖς ἀσχηματίστοις δὲ ἀρετὴ τοὐναντίον. Ἔγνως τὸ εἶδος, τὴν ἰδέαν, τὴν στάσιν, καὶ ὅτι τοῖς ἓξ κεφαλαίοις ἐμελετήθη, τοῦ Δημοσθένους πολλάκις μόνῳ τῷ συμφέροντι μελετήσαντος. ἄκουε λοιπὸν καὶ τὰ τοῦ λόγου ὀκτὼ μόρια· ἡ ἔννοια, καθαρὰ καὶ ἡ μέθοδος. ἀπὸ γὰρ αὐτοῦ τοῦ πράγματος ἄρχεται καὶ ἀφηγηματικῶς. ἡ λέξις ὁμοίως, σχήματά τε καὶ κῶλα καὶ* γ) *τὰ λοιπὰ τρία, ἃ καὶ πάρεργά εἰσι, ζήλῳ δὲ ποιητῶν*

**) Argumentum esse hoc videtur subsequentis orationis, versibus descriptae iambicis, in qua mores hominum deplorat atque vituperat elegantissime. *E margine edit. Basil.*

a) Ita cd. A. pro *βραχύτης*.

β) Erat *ἀρετῇ*.

γ) Accessit *καὶ* e cd. A.

τίθενται, ἀνάπαυσις, βάσις καὶ ῥυθμός. ταῦτα πάντα συνόλως εἰπεῖν καθαρά εἰσιν· ὅπη δέ τινα καὶ ἑτέρων ἰδεῶν.

ΠΑΙΔΩΝ ΑΓΩΓΗ ΣΥΝΤΕΛΗΣ ΤΩι ΝΥΝ ΒΙΩι.

Σύμπας πατὴρ ἄκουε τῶν Τζέτζου λόγων,
Ὅπως χρεών σε νῦν διδάσκειν τὰ τέκνα,
Καὶ μητέρες πᾶσαι δὲ σὺν τοῖς πατράσιν
Ἀκουέτωσαν τῶν ἐμῶν διδαγμάτων.
Οἱ μὲν παλαιοὶ τὰς βαναύσους καὶ λόγων
Τέχνας ἐφεῦρον πρὸς τὸ χρήσιμον βίου.
„Εἰσὶ γάρ, εἰσίν, ὥς ὁ Κροῖσος πρὶν ἔφη,
„Μαιεύτριαι βίου τε καὶ καλῶν βρύσεις,
Ἀτεχνίαι δῆλον δὲ πᾶν τοὐναντίον.
Ἐπεὶ δὲ τοῦτο τοῖς βαναύσοις καὶ μόνοις
Μένει πεπηγὸς καὶ κρατεῖ τὰ τῶν νόμων
Καὶ μέχρις αὐτῶν τῶν τεχνῶν τῶν ἐσχάτων,
Εἴ τις παραπταίσειεν εἰς βραχὺ μέρος,
Σκυτεύς, ταριχεύς, δυσγενὴς ἐργάτης
Καὶ κοπραγωγῶν τῶν δυσόδμων ἐργάτης,
Τωθάζεταί τε καὶ κακὸς κλῆσιν φέρει·
Τὰ τῶν λόγων ἔχει δὲ πᾶν τοὐναντίον·
(Ὅσοι γάρ εἰσι τῶν ἀτέχνων, βαρβάρων,
Στέγαις τε πορνῶν δυσγενῶς τεθραμμένοι
Καὶ ταῖς καπήλων παιδιαῖς ἠσκημένοι,
Τοιχωρυχοῦντες καὶ τομεῖς βαλαντίων,
Μᾶλλον δοκοῦσι τεχνικοὶ πεφυκέναι,
Παρεισφοροῦνται δ' εἰς ἀνάκτορα κρότοις
Συγκλητικοῖς, καὶ ταῦτα τοῖς περὶ λόγους)
Σύμβουλος ἥκω νουθετῶν τὸ συμφέρον·
Χρὴ τὸν πολίτην εὐνοεῖν γὰρ πατρίδι.

---

31. Sic cd. A. pro τοὐναντίου.

36. Post δυσγενὴς videtur excidisse πᾶς.

Ὡς εὑρῶσι τῇ φορᾷ τῇ τοῦ βίου,
Τερπνὴν, πλατεῖαν, εὐχερῆ, τῶν συ
Ὁδὸν τραπέντες καὶ τυφλοῖς ἐγνωσ
Μὴ τὴν μακρὰν πως καὶ στενὴν
Πόνους μόνον λάβωσι τῶν ἀνηνύτ

Τὸ εἶδος τοῦ λόγου συμβο
τούτου βαρύτης a). εἰ γὰρ καὶ
γειν τοὺς παῖδας, σχήματι μό
τοὐναντίον ἐν ταῖς ὑποφοραῖς
τοιούτους φαύλους, καὶ μ
πονηροὺς καὶ μοιχοὺς εἰς π
χόπολιν, ἢ βινηρία κα
στάσις πραγματική, ἐσ
πλάγιον τοῖς ἐξ αὐτῆς
ῥήτωρ εἰσάγει, εἰ καὶ
τὸν καὶ τὸ ἐκβησόμ
δίκου λέγοντος ἄνομ
σκευάζων δῆθεν ἐν
νέστερα ἑκὼν τὰ
τοῦτο γὰρ ἀρετὴ
ματίρτοις δὲ ἀρ
τὴν στάσιν,
Δημοσθένους
ἄκουε λοιπὸν
θαρὰ καὶ ἡ
καὶ ἀφηγη
καὶ γ) τὰ

υστρέων,
δας;
κήλων ταῖς θύραις
οις παρερπέτω,
γων ἀποτρέπειν.
τεθηγμένος
αὶ καπήλων ταῖς θύραις,
ις βαρβάροις διδασκάλοις,
τοῦ βίου τρίβον τότε,
ἢ μονοτρόπων τέχνην,
υς στέργουσαν, ἢ μάχης κρότους,
περπτῇ καὶ φανῇ νικηφόρος,
πόνου δίχα τε καὶ βραχεῖ χρόνῳ.
ντροφος γὰρ βαρβάρων κουστώδία.
νη μὲν ἔνθεν ἐκδραμοῦσα συντόνως,
κεῖθεν ἐλθὼν δεξιὸς τοιχωρύχος,

**) videtur
versib
qua
atque
E m

...μεὺς βαλαντίων,
..., αἰσχρὸς ἐν λόγοις,
...πνέων,
...εὐτόνως.
...λον·
...ους
...οις.

...ρων.
...ων πόσους
...ντίων
...τας τέχνην
...ντας ταῖς τύχαις,
...αντλούντων βίον;
...νὶ βλέπεις πάλιν·
πρὸς ἑσπέραν τρέπου,
...ρκτον, εἶς τε τὸν νότον βλέπε,
...λῳ τὰς βολὰς τῶν ὀμμάτων,
γῆς διελθὲ λεπτῶς μοι πλάτος,
...έξον, οἷον εἰσορᾷς πολὺ πλέον,
δεξιῶν τε καὶ σοφῶν καὶ κοσμίων,
...ι τοὺς χυδαίους καὶ δοκοῦντας πανσόφους,
Φήμαις φιλητῶν καὶ χοροῖς ὁμοτρόπων;
Εἰ γοῦν ἀγωγὴν συμφέρει τοιάνδ' ἄγειν,
Καὶ ῥᾷστόν ἐστι καὶ βραχεῖ κτᾶται πόνῳ,
Ποιεῖ δὲ τιμαῖς καὶ σοφῶν ὑπερφέρειν,
Τί μὴ κατ' αὐτὴν τὰ τέκνα παιδεύομεν;

---

94. Erat ἢ pro ἦ.

109. Pro χοροῖς potius χοίροις.

Ἐπεὶ διηρθρώθησαν ὑμῖν ἃ λέγω,
Νῦν τῆς ἀγωγῆς ὡς χρεὼν καταρκτέον.
Ἐπὰν ὁ παῖς τέταρτον ἐκδράμῃ χρόνον
Ἐκ τῆς γενέθλης καὶ βρεφῶν τῶν σπαργάνων,
Ζητεῖν ἐᾶτε δεξιοὺς διδασκάλους,
Σοφοὺς κατ' ἄμφω καὶ λόγοις καὶ πράγμασι,
Τὸ κόσμιον φέροντας ἐς μέχρι θέας.
Πόρνης δ' ἐν οἴκοις δεξιᾶς ὀρχηστρίδος
Ἄγοντες αὐτὸν ὡς διδασκάλοις δότε,
Μένειν ἐκείναις ταῖς σοφαῖς κατοικίαις,
Ἔχοντα χόρτον καὶ λιθόστρωτον κλίνην
Κόσμον λαβοῦσαν ὀστρέων τοῖς ὀστράκοις.
Οὕτως ἐκείναις ἐγκαθευδέτω στέγαις,
Ὡς ἂν τυπῶτο κἂν λόγοις μόνοις τέως,
Ἕως τονωθῇ πρὸς τὸ δρᾶν τὰ τῆς τέχνης.
Κἂν μὲν κατορθώσωμεν, εὖ εὐβουλίας·
Εἰ δ' αὖ σφαλῶμεν, καὶ πάλιν εὐβουλίᾳ.
Τίς γὰρ ἀναχθεὶς οἷσπερ εἴπομεν τρόποις,
Στρωμνήν τε τὴν γῆν ἐνλαχὼν μετ' ὀστρέων,
Τύχης πτοηθῇ συστροφῶν καταιγίδας;
Μένων δὲ πόρναις καὶ καπήλων ταῖς θύραις
Καὶ γραμματισταῖς βαρβάροις παρερπέτω,
Ὡς καὶ δοκήσεις τῶν λόγων ἀποτρέπειν.
Οὕτως ἐκεῖνος δεξιῶς τεθηγμένος
Οἴκοις τε πορνῶν καὶ καπήλων ταῖς θύραις,
Καὶ δὴ σὺν αὐτοῖς βαρβάροις διδασκάλοις,
Ἣν ἂν μετέλθῃ τοῦ βίου τρίβον τότε,
Θυηπολούντων ἢ μονοτρόπων τέχνην,
Ἢ τὴν λόγους στέργουσαν, ἢ μάχης κρότους,
Πάντας ὑπερπτῇ καὶ φανῇ νικηφόρος,
Πολλοῦ πόνου δίχα τε καὶ βραχεῖ χρόνῳ.
Ἡ σύντροφος γὰρ βαρβάρων κουστωδία.
Πόρνη μὲν ἔνθεν ἐκδραμοῦσα συντόνως,
Ἐκεῖθεν ἐλθὼν δεξιὸς τοιχωρύχος,

Ἐντεῦθεν ἄλλος ἐκτομεὺς βαλαντίων,
Καί τις ποθὲν στόμαργος, αἰσχρὸς ἐν λόγοις,
Ὅλους φάρυγγος οἰνεῶνας ἐκπνέων,
Οἱ πάντες εἰς ἓν συνδραμόντες, εὐτόνως.
Εἰς οὐρανοὺς ἄρουσιν ὡς αὐτοῖς φίλον·
Τοὺς δεξιοὺς δὲ καὶ σοφοὺς καὶ κοσμίους
Πλυνοῦσιν αἰσχρῶς σφῶν καταπτύστοις λόγοις.

Καί πού τις ἀνὴρ εὐγενής, σεμνὸς τρόποις,
Κἂν οἶδεν αὐτὸν ἐμφανῶς τοιχωρύχον,
Ἄνθρωπον ἐξάγιστον, αἰσχύνην βίου,
Ὅμως σιωπὴν παντελῶς ἄγει λόγοις,
Ἢ καὶ συνιστᾷ τοῖς σοφοῖς ἀνακτόροις,
Δεινῶς πτοηθεὶς τὰς βολὰς τῶν βαρβάρων.

Πόσους παλαιοὺς ἔκ τε τῶν νέων πόσους
Τοιούςδε δεινοὺς ἐκτομεῖς βαλαντίων
Καὶ πᾶσαν ἐξάγιστον ἀσκοῦντας τέχνην
Οἶδας πρὸς οὖρον εὐροοῦντας ταῖς τύχαις,
Τῶν δεξιῶν δύστηνον ἀντλούντων βίον;
Ὁρᾷς ἐκεῖνον, τουτονὶ βλέπεις πάλιν·
Ἐκ τῆς ἑώας ὡς πρὸς ἑσπέραν τρέπου,
Ἄθρει πρὸς ἄρκτον, εἴς τε τὸν νότον βλέπε,
Ἕλισσε κύκλῳ τὰς βολὰς τῶν ὀμμάτων,
Ἅπαν τὸ γῆς διελθε λεπτῶς μοι πλάτος,
Καὶ λέξον, οἷον εἰσορᾷς πολὺ πλέον,
Τὸ δεξιῶν τε καὶ σοφῶν καὶ κοσμίων,
Ἢ τοὺς χυδαίους καὶ δοκοῦντας πανσόφους,
Φήμαις φιλητῶν καὶ χοροῖς ὁμοτρόπων;

Εἰ γοῦν ἀγωγὴν συμφέρει τοιάνδ' ἄγειν,
Καὶ ῥᾷστόν ἐστι καὶ βραχεῖ κτᾶται πόνῳ,
Ποιεῖ δὲ τιμαῖς καὶ σοφῶν ὑπερφέρειν,
Τί μὴ κατ' αὐτὴν τὰ τέκνα παιδεύομεν;

---

94. Erat ἧ pro ᾗ. 109. Pro χοροῖς potius χοίροις.

Ἄφρων ὁ ῥᾴστου τοὺς μακροὺς τιμῶν πόνους,
Καὶ τῶν ἀκερδῶν σὺν μακρῷ πεφυκότας.

Τοιάνδε χρὴ παίδευσιν ἀσκεῖν τὰ τέκνα.
Ἥξει λόγος τάχα δέ τις ἐξ ἀσκόπων,
Ὡς τοῦ παλαιῶν ἐκτρέχει τουτὶ νόμου,
Δίκης τε πόῤῥω, τῇ κρατίστῃ τ' αὖ πόλει
Ὄνειδος αἰσχρὸν ἐξ ἀδόξου τοῦ τρόπου.
Καὶ σχετλιάζων ἐμπαθῶς εἴποι τάδε·
Φεῦ τῆς τοσαύτης ἐκτροπῆς τῶν πραγμάτων.
Ἐν ταῖς βαναύσοις τῶν τεχνῶν μένει νόμος,
Καὶ πᾶς ἐκείνων μὴ φυλάττων τοὺς νόμους
Τωθάζεταί τε καὶ δοκεῖ τέχνης ἄπο·
Ἐν ταῖς λόγων τέχναις δὲ πᾶν τοὐναντίον.
Οἱ γὰρ βαναύσως ἐκμαθόντές τι λόγου,
Μᾶλλον δοκοῦσι τῶν σοφῶν ὑπερφέρειν,
Καλῶν τε πάντων πανταχοῦ τῶν χειρόνων
Κρεῖττον φερόντων ἐν βροτοῖς τἀναντία.
Καὶ συμφορᾶς φεῦ, φεῦ πικρᾶς δυσμορίας.
Ἂν ἵππος ἐστὶ τεχνικῶς τρέχων δρόμους,
Ἢ καὶ κύων τις δεξιὸς θηραγρέτης,
Καὶ χοῖρος αὐτὸς τοῦ κακίστου βελτίων,
Καὶ πᾶσιν ἄλλοις συντομῇ φράζειν δέον,
Πᾶν κρειττονεῦον λῷόν ἐστι χειρόνων,
Καὶ χοῖρος αὐτός, κἂν τρέφηται βορβόροις,
Τιμᾷ τὸ λῷον, οὐ πατεῖ τὰ βελτίω,
Καὶ τάξιν οἶδε μηδαμῶς παρατρέχειν.
Χοιρίσκος ὁ πρῶτος γὰρ εἰ μυζᾶν θέλει,
Μαστὸν κρατεῖ τὸν πρῶτον, ὡς πρῶτος χρόνῳ,
Οἱ δ' αὖ μετ' αὐτὸν τοὺς ἐφεξῆς ἀξίως.

Οὕτω τὰ κρείττω πανταχοῦ τιμητέα·
Ἐν τοῖς βροτοῖς ἅπαν δὲ φεῦ τοὐναντίον.

---

131. Margo cd. A. δυσμοιρίας.

136. Sic cd. A. In edit. Bu. κρεῖττον ἐνόν.

Μᾶλλον γὰρ ἡμῖν πᾶς ἔνι τιμητέος
Ἄμουσος, αἰσχρός, καὶ σοφοῦ φήμην φέρει·
Εἴ τις δὲ Μουσῶν τεχνικῶς ἔγνω λόγους
Καὶ τάξιν ἀσκεῖ, δευτερεύει βαρβάρων.

Τοιαῦτα φαίη σχετλιάζων τις πόσα,
Αἰσχροὺς καλῶν τούτους τε καὶ λωπεκδύτας,
Οἰκήτοράς τε προσφυεῖς γῇ βατράχων,
Ἀλλ' οὐ κατοικεῖν εἰς περίβλεπτον πόλιν,
Ὡς λυμεῶνας τῶν τεχνῶν καὶ βορβόρους
Τεχνῶν ἐκείνων τῶν σοφῶν καὶ κοσμίων.
Φίλιππον αἰνέσει τε τὸν μέγαν λόγοις,
Ὃς ἐξ ἁπάντων ἐξελὼν πολισμάτων
Μοιχούς, πονηροὺς καὶ κακῶν ἅπαν γένος,
Ἔστειλεν οἰκεῖν εἰς πολίσματα δύο,
Ἐκεῖνος αὐτὰ τοῖς κακοῖς τούτοις κτίσας.
Κλῆσις ἑνὶ μὲν τῶν πονηρῶν ἦν πόλις,
Πόλει δὲ μοιχῶν κλῆσις ἦν βινηρία.
Οὕτως ἐκεῖνος δεξιᾷ κρίσει τότε
Σεμνῶν διεῖλε τοὺς κακοὺς πολισμάτων,
Ὡς πρὶν νόμος Σόλωνος εἶπεν εἰργνύειν
Τῶν σωφρονουσῶν πορνικῶν σύμπαν γένος.
Ἐχρῆν δὲ καὶ νῦν τὴν σοφὴν ταύτην κρίσιν
Ἔχειν τὸ κῦρος καὶ τελεῖσθαι τὸν νόμον
Καὶ τοὺς κακίστους ἐξελαύνειν ὡς τότε.

Τοιοῦτος ἥξει τις ἀπ' ἀσκόπων λόγος,
Ὡς ἔκνομον τὸ πρᾶγμα καὶ πόῤῥω δίκης,
Ἀδοξία τε τῇ περιβλέπτῳ πόλει,
Καὶ σχετλιασμὸς οὐ βραχὺς τῶν πραγμάτων.
Ῥᾷστον δ' ἐκείνων ἐξελέγξαι τὸν λόγον,
Δεῖξαι τε σαθρὸν καὶ ψευδόμενον μάτην.

---

151. Cd. A. ματράχων, ut edit. Bas. E cuius margine reposui βατράχων.

155. Plutarch. de curios. §. 10. T. X. p. 141.

174. E marg. cd. A. pro φούμενον.

Ἀεὶ νόμοι γὰρ καὶ τὰ πάντα τοῦ βίου
Τρεπτὴν φορὰν ἔχουσι καὶ τῶν εὑρόντων
Καὶ καινὰ καινοῖς γίνεται καθημέραν.

Κομῶντα τὸ πρὶν ἦσαν Ἀργείων γένη·
Κείραντες αὐτῶν τὰς κόμας ἡττημένοι
Ἔθεντο θεσμὸν μὴ κομᾶν ἔτι βίῳ.
Λάκων καθεῖλε πανσελήνῳ τοὺς νόμους,
Τιμῆς στερηθεὶς οὐ μικρᾶς ἐκ τῶν νόμων.
Κείρει Μακηδὼν τὰς πεδίλων γλωσσίδας,
Ταύταις ποδισθεὶς καὶ πεσὼν ἐν ἀμπέλοις,
Καὶ τὴν γενειάδα δὲ πρὸς τὸ συμφέρον
Ἔξυρε λεπτῶς, ὡς βαρύνουσαν μάχαις.

Ἄνπερ δὲ καὶ νῦν τις σκοπῶν τὸ συμφέρον
Τὸ φορτιῶδες εἷλε τῶν νόμων βάρος,
Ἄλλον δ' ἐλαφρὸν ἐμπαρῆξε τῷ βίῳ,
Ὡς οἱ τὰ πάντα δεξιοὶ νεανίαι,
Τὰς φορτιώδεις ἐξελόντες διχρόνους,
Καὶ συμπατοῦντες χοιρικὴν ὥσπερ κόπρον,
Εἴ τις κανών τε συνταράσσων τὰς φρένας
Τῆς μετρικῆς τέχνης τε καὶ τῶν ῥητόρων,
Τί καινὸν ἐξείργαστο, τί ψέγειν ἔχον,
Ἄλλως τε ποῖον νῦν καλεῖς νόμον λέγε.
Ἔχεις νόμον τεθέντα τοῦ πρὶν καλλίω,
Σαφῆ γυναιξὶ καὶ σοφοῖς καὶ βαρβάροις.
Ἔθος δ' ἂν αὐτὸς τοῦτο φῂς καὶ μὴ νόμον,
Ἰσοσθενοῦν ἔθος τε καὶ νόμον νόει. —

Δίκης δ' ἂν ἐκτὸς τοῦτο σὺ λέγῃς, μάθε·
Πολὺ δικαίου κρειττονεύει συμφέρον.
Μικρὸν γὰρ ἠδίκησεν, ὡς φῄς, τοὺς λόγους.

---

178. Herodot. I, 82. Plutarch. Vit. Lysandr. I.
181. Herodot VI, 106. Paus. I, 28. Videtur scribendum *πανσελήνου.*

186. Margo cd. A. *ἐλαύνουσαν* pro *βαρύνουσαν.*

195. Margo cd. A. *φαῦλον* pro *καινόν.*

Ἀλλ' ἰσομοίρως νῦν γυναῖκες καὶ βρέφη
Καὶ πᾶς βάναυσος καὶ γοναὶ τῶν βαρβάρων
Δοκοῦσιν ἴσοι μετρικοῖς λογογράφοις,
Τῷ πάντα φόρτον ἐξελεῖν τοῦτον νόμου.
Τούτου δ' ἂν εὕροι τίς τι κάλλιον, λέγε.
Ἀδοξίαν ποίαν δὲ τῇ πόλει λέγεις.
Τὸ κέρδος ἐκβάν, κρεῖττον ἐνδόξου τρόπου,
Ῥᾶστα δοκοῦσιν ὧδε μανθάνειν λόγους.
Καὶ πᾶς νομίζει δεξιοὺς τοὺς ἐν πόλει.
Τί δ' αὖ παρεισφρεῖς τὰς βαναύσους μοι τέχνας,
Ὅπως ἐκεῖναι μὲν φυλάττουσι νόμους,
Αἱ τῶν λόγων δ' ἔχουσι πᾶν τοὐναντίον;
Ὡς δυσμαθὴς εἶ καὶ λόγων πολλῶν δέῃ.
Γυναῖκα πολλοῖς συμμιγεῖσαν ἀνδράσιν
Ἔθνος τι τιμᾷ καὶ στυγεῖ τὰς κοσμίους.
Ἄλλοι, τεκουσῶν τῶν ἐκείνων συζύγων,
Κεῖνται κλινήρεις, ὡς τεκόντες τὰ βρέφη·
Τούτοις δ' ἐκεῖναι μᾶλλόν εἰσι τῷ τότε
Λάτρις, πονοῦσαι τῇ κενῇ κατακλίσει.
Μισεῖ τὸ λευκόν, ὥσπερ οἶδας, Αἰθίοψ,
Μέλαν δὲ κρεῖττον μυρίων λευκῶν ἔχει.
Καὶ φύρεται σταῖς τοῖς ποσὶν Αἰγύπτιοις,
Χερσὶ δ' ἐκείνοις πηλὸς ἐκπαλάσσεται.
Ἐν δ' αὖ Ἀθήναις ἦσαν οἱ δικασπόλοι
Ἐκ τῶν ἀμούσων, οἱ σοφοί δ' ἐπηρέμουν.
Ἴσως ἐκεῖθεν πᾶν μετῆξαν ἐνθάδε.
Αἰσχρῶν δὲ τιμὴν δυσμαθῶν τί μοι λέγεις;
Οὐ νῦν ἐπανθεῖ πρῶτον ἐν βίῳ τόδε·
Ἀεὶ δὲ τιμὴ τῶν κακούργων ἦν βίῳ.

---

217. Citat Hoeger. Herodot. I, 93. cl. Aelian. V. H. IV, 1. ubi sermo de Lydorum puellis, Herodot. I, 199. ubi de Babylonior. uxoribus; Herodot. IV, 172. ubi de Nasamonum mulieribus; Herodot. V, 6. ubi de Thracicis puellis.

219. Diodor. Sic. V, 14. ibique Wessel.

225. Herodot. II, 36.

Οὐχ Ἡρακλῆς ἐκεῖνος ἦν πονῶν πόσα,
Εὐρυσθέως τρυφῶντος αὐτοῦ τοῖς πόνοις;
Ἀνδρὸς πονηροῦ, μηδὲ ζῆν ἐπαξίου;
Καὶ τὸν δίκαιον αὖ Ἀριστείδην λέγω,
Οἶδας ἀκούων τὸ πρὶν ὠστρακισμένον.
Τὸν Φωκίωνα τί χρεὼν ἄρτι λέγειν,
Τοιοῦτον ἄνδρα, καὶ θανόντα φαρμάκῳ;
Ἄλλους πόσους τε πλημμελῶς ζῶντας βίῳ;
Τοὺς δ' ἐξαγίστους ἡρμένους, ἀλλ' ἐς πόσον;
Ὡς Κλειοφῶντας καὶ τρυφῶντας βαρβάρως.
Ὁ Τούλλιος Σέρβους δὲ τῆς Ῥώμης κράτος
Ἐκ μοιχικῶν ἐφεῦρεν, οὐ σοφῶν τρόπων.
Ἄλλους ἐῶ τῶν νῦν δὲ μυρίους λέγειν.
Τὸν Ἀρχιμήδην οὐ λογίζῃ τὸν μέγαν;
Πενιχρὸν ἀντλῶν ἦν γὰρ οὗτος τὸν βίον,
Ὁ μηχαναῖς ἄριστα κοσμῶν τὸν βίον.
Ὅμηρος αὐτός, ἡ θάλασσα τῶν λόγων,
Τυφλὸς προσαιτῶν ἦν, ἔχων τροφὴν μόλις,
Ἄλλων τρυφώντων οὐδὲ ζῆν ἐπαξίων.

Οὕτω παλαιόν ἐστιν, οὐ καινὸν τόδε.
Φίλιππος ὠστράκιζε τοὺς κακοὺς τότε.
Πρὸ δ' αὖ Φιλίππου τις ἄναξ Αἰγυπτίων,
Κλέπτην ἐφευρών, οὐ μακρὸν πράξης, λέγω;
Οὐχὶ σοφόν τε καὶ λόγοις τιμώμενον,
Δόξας ἀπ' αὐτῶν χρησιμεῦσαι τῷ βίῳ,
Γάμοις θυγατρὶ ζευγνύει τῇ φιλτάτῃ.
Ἴσως δὲ καὶ νῦν συμφερόντως ἐν βίῳ,
Οἱ δυσμαθεῖς μένοντες εἰς λόγων τέχνας,
Ταῖς κλεπτικαῖς δὲ δεξιῶς ἠσκημένοι

---

235. In marg. cd. A. κοινὴ συλλαβή. Intelligitur altera syllaba voculae μηδέ.

245. Margo cd. A. τοιούσδε pro τῶν νῦν δέ.

254. Significat Rampsinitum, de quo Herodot. II, 121.

256. Verbo οὐχὶ superscripta sunt verba οὐ μήν.

Καὶ πᾶσιν ἄλλοις ἐβδελυγμένοις τρόποις
Ἔχουσι τιμὴν τοῦ σοφῶν πλείω γένους.
Ὡς δεξιοὶ γὰρ ἐκτομεῖς βαλαντίων,
Τεμόντες αὐτῶν τῶν τεχνῶν τὰ φορτία,
Ἐλαφρὸν εἰργάσαντο πᾶν τέχνης βάρος,
Παισί, γυναιξὶ καὶ γοναῖς βρεφυλλίων.
Καὶ πᾶς ἐκείνους οὐ χρεὼν τιμὴν ἔχειν,
Ἄλλως τε τούτου καὶ πάλαι πεπρωμένου;

Ὄνος δὲ χαλκοῦς ἱππικοῦ πινυσκέτω,
Ἔμπροσθεν ἑστώς, ἐκ δὲ τῶν ὀπισθίων
Ἄνθρωπος οἰκτρός, ζωγραφῶν τὸν νῦν βίον,
Ὡς εἶπε τὸ πρὶν Ἀττικὸς σοφὸς Κράνος.
Ἔφησε καὶ γὰρ τῷ κρατοῦντι τῷ τότε.
Φεῦ συμφορᾶς, ἄνθρωπος ἥττων ὢν ὄνου.
Ἔσται χρόνος γὰρ τοῖς μεθύστερον χρόνοις,
Ὅταν ὀνώδεις, δυσγενεῖς καὶ καυλίαι
Καὶ πᾶς ἄμουσος εἰσρυεὶς κτηνωδίαν
Κρείττων νομισθῇ τῶν σοφῶν καὶ κοσμίων.

Οὕτω μὲν εἶπεν Ἀττικὸς πάλαι Κράνος,
Ὄνον τε δείξας καὶ τὸν ἄνθρωπον τότε.
Οὕτω τὸ λοιπὸν καὶ χρεὼν παῖδας ἄγειν.
Ἡ κοσμία παίδευσις ἡ πρὶν ἐῤῥύη·
Τὸ τεχνικὸν δὲ πανταχοῦ λῆρος μέγας.

Ἤκουσας, ἔγνως, ἐκλογίζου τὸ πρέπον.
Ἀλλ' οὐκ ἀνάξεις οὐδαμῶς οὕτω, λέγεις,
Τὴν πρὶν δ' ἀγωγὴν τὴν σοφὴν καὶ κοσμίαν,
Ζώνεκρον ἕξεις τοιγαροῦν τὸ παιδίον.
Ἄλλος γὰρ ἀνθεῖ νῦν ἐν ἀνθρώποις βίος,
Οἷς γλῶσσα πρῶτον, καὶ λαλεῖ γλώσσης πλέον.
Οὗτοι δοκοῦσι τῶν σοφῶν καὶ κοσμίων.
Τὰ δ' ἄλλα κωφά, καὶ πλατύς ἐστι γέλως.

---

287. Malim πρὶν γ'.

290. In marg. cd. A. *forte* πρωκτός, nates.

ΤΟΥ ΑΥΤΟΥ ΣΤΙΧΟΙ ΗΡΩΙΚΟΙ.

Τζέτζου ῥητορικῆς ἀδαήμονος ἥδε γε βίβλος,
Ὥς φάσαν, οἵπερ ἔφαντο· ἀληθέα ταῦτα δὲ εἶπον·
Οὐκ ἴδον, οὐ δεδάηκα ῥήτορος ὄργια Μούσης,
Οὐδὲ βίβλων γενόμην ἐμπείραμος, αἵ ῥ' ἐνὶ γαίῃ
Παντοίην μερόπεσσι δαημοσύνην ἐδίδαξαν.

Ἀλλ' ἀνέρες ναίοντες ἀν' Ἑλλάδα, Βαρβαρίην τε,
Ἠμὲν ἐπ' ἠώην τε καὶ ἑσπερίην ὑπὸ πέζαν,
Ἠδ' ὅσοι ἐς νοτίην τε καὶ ἀρκτούροιο κελεύθους,
Δεῦτε, θεμιστοπόλοι ἱερῆς γίνεσθε θέμιστος.
Ψιὰ ἥδε βίβλος Τζετζήϊα· δείδια δ' αἰνῶς,
Μὴ κρέα ἑψόμενα γνοίη ῥήτωρ ὁ λογογράφος,
Ὅν κεῖνοι κήρυξαν. ὁμοῖον, ὁμοῖοι ἐόντες.
Ψιὰ ἥδε βίβλος, νοέοντες κρίνατε δ' ἔμπης,
Ὡς ὀνύχων κρίνουσιν ὀρειλεχέα τέκνα λεόντων.
Γνόντες δ' οἷα λόγοισι σοφοὶ κρίνουσι πολῖται,
Ἡμετέρης πόλιος βασιληΐδος ἐνναετῆρες
Ὀλλυμένην σοφίην συγκλήτου κλαύσατ' ἐραννῆς.

ΣΤΙΧΟΙ ΙΑΜΒΙΚΟΙ ΤΟΥ ΑΥΤΟΥ ΑΜΑΘΟΥΣ ΚΑΙ ΑΡΡΗΤΟΡΕΥΤΟΥ, ΩΣΠΕΡ ΦΑΣΙΝ ΟΙ ΘΕΙΑΖΟΝΤΕΣ, ΟΙΑ ΡΗΤΟΡΕΣ, ΟΙΟΥΣ ΗΡΟΔΟΤΟΣ ΛΕΓΕΙ ΒΑΡΒΑΡΩΔΕΣΤΕΡΟΥΣ ΕΘΝΕΩΝ ΑΠΑΝΤΩΝ.

Ὦ τὰς βεβήλους καὶ πεφυρμένας φύσεις
Ἄνθρωπε τιμῶν καὶ κατογκῶν εἰς τόσον,
Ὦ βαρβάρους λόγους τε καὶ τέχνης νόθους

---

293. Erat *ῥητορίης*.
295. Deest syllaba.
303. Artic. ὁ delendus.
305. In cd. A. * " *ψία*. Lacisius vertit *Storeus hic liber*, et posthac, *ludicra hic liber*. Commodus est sensus, si *ψία* vel *ψιὰ* intelligitur *gutta* scil. oceani eruditionis, qui Tzetzes est.
310. Cd. A. in marg. *βαναύσους*.

Σοφοὺς νομίζειν, τοὺς σοφοὺς δ᾿ ἐναντίως,
Οὐκ οἶδα πῶς φῆναι δὲ καὶ ποίῳ τρόπῳ,
Ἀλλ᾿ εἰ διδακτόν, τεχνικῶς δίδασκέ με.
Σοφοὺς ἐκείνους σὺ νομίζεις καὶ λέγεις,
Τῷ τὰς ἀγυιὰς πανταχοῦ περιτρέχειν.
Τούτοις καλεῖς δὲ τοὺς σοφοὺς ἐναντίως,
Ὡς μὴ θεατοὺς τῶν ἐν ὀγκώσει, θύραις.
Εἰ ταῦτα κρίνειν τόνδε τὸν τρόπον θέλεις,
Δέδοικα μή σοι τῇ σοφῇ ταύτῃ κρίσει
Χείρων νομισθῇ καὶ θεὸς τῶν κανθάρων.
Ληπτὸς γάρ ἐστιν οὐδαμοῦ τινὶ θέᾳ,
Ἀλλ᾿ οὐρανοῦ σφαίρωσις αὐτὸν δεικνύει,
Ἄστρα, σελήνη, γῆ, θαλάσσης ἡ χύσις,
Ἔργα τὰ λοιπὰ τῆς σοφῆς κοσμουργίας,
Ὁποῖός ἐστι, κἂν τις οὐ σθένῃ λέγειν.
Τοὺς κανθάρους δὲ πᾶς βλέπει καθημέραν,
Ζωΰλλια δύστηνα, βορβόρου φύσιν,
Καὶ τὰς ἐκείνων δυσγενεῖς σφαιρουργίας.

Οὕτω δοκεῖ μοι, τοὺς σοφοὺς μὲν βαρβάρους,
Τοὺς βαρβάρους σοφοὺς δὲ σὺ κρίνεις λόγοις,
Πληρῶν ἐν αὐτοῖς τοὺς ἀνακτόρων δόμους.
Τοὺς ἐγγενεῖς δὲ καὶ πολίτας οὐ νόθους,
Τῶν ἀρχικῶν τὰ τέκνα καὶ σοφοῦ γένους
Θλίβων, παρωθῶν, ὧν ἐῶ κλήσεις γράφειν.
Ἀλλ᾿ εἰ κεραυνοὺς οὐ πτοῇ καὶ τὴν δίκην,
Καὶ γῆν ῥαγεῖσαν, μὴ βαλεῖ σε ταρτάρῳ,
Ὡς πρὶν Ἀβειρὼν, ὡς Δαθὰν θρυλλουμένους,
Ἐχρῆν σε τὸ φρόνημα κἂν ὂν βασιλέως
Φέρειν δι᾿ αἰδοῦς, μὴ κρινεῖ κατ᾿ ἀξίαν,
Ὡς ἐν παρατρίψει τε Λυδικῆς λίθου
Τοὺς σοὺς ἐλέγξῃ τεχνικώτατα λόγους,

---

340. Etiam cd. A. κἀνὸν. Lacisius vertit *canam*. Ego divisi κἂν ὄν.

342. Erat ἐκ.

Ψευδεῖς τελοῦντας, εἰς ἐπαίνους βαρβάρων,
Λέγων, Σεβαστέ, τῷ τρόπῳ τοὺς βαρβάρους
Οὕτως ἀψύχοις, τεχνικῶς δίδασκέ με.

Ἂν τεχνικῶν δὲ ῥητόρων τοῖς πανσόφοις
Ἔροιτο, τί φράσειας, εἰπέ μοι τότε,
Φάντων ἐκείνων μηδὲ γρῦ τὸ τοῦ λόγου.

Ἀλλ' ὦ Σοφόκλεις, ὦ Σοφίλλου παιδίον,
Γνώμαις ἐπισφράγιζε σαῖς τὸ βιβλίον,
Κἂν ποτ', ἄνδρες, ἄνδρα θαυμάσαιμ' ἔτι,
Ὃς μηδὲν ὢν γοναῖσιν εἶθ' ἁμαρτάνει,
Ὅθ' οἱ δοκοῦντες εὐγενεῖς πεφυκέναι
Τοιαῦτ' ἁμαρτάνουσιν ἐν λόγοις ἔπη.

Ὡς ἀντεβλήθη ταῦτα τοῖς πρωτογράφοις,
Ταῦτα δ' ἐφευρέθησαν ἰσχύϊ λόγων,
Τζέτζου κατεστρώθησαν ἐν τῷ σεκρέτῳ,
Ὑπογραφὴν δ' ἔσχηκεν ἥν τινα βλέπεις.
Τζέτζης λογιστὴς τῶν παλαιῶν καὶ νέων.

---

352. Soph. Aiac. 1082.

359. Hic poterit esse titulus, qui Alpha supra vocatur libri. *E margine edit. Basil.*

ΤΖΕΤΖΟΥ ΕΠΙΣΤΟΛΑΙ
ΔΙΑ
ΙΣΤΟΡΙΩΝ ΤΙΝΩΝ ΤΩΝ ΠΡΟΓΕΓΡΑΜΜΕΝΩΝ.

ΤΩι ΙΕΡΩΤΑΤΩι ΜΗΤΡΟΠΟΛΙΤΩΝ [1]) ΠΑΤΡΩΝ, ΩΣ ΑΠΟ ΤΙΝΟΣ.

Ἀτρανῆ μὲν καὶ ἄκομψον περὶ τὸ γράφειν τὴν γλῶτταν ἐσχήκαμεν, ὦ ἱερώτατε δέσποτα· οὗ ἕνεκα καὶ ὑπεστελλόμεθα ἐπιστέλλειν τῇ σῇ ἁγιότητι, καὶ τὴν Πυθαγορείαν ἀσκοῦντες ὡρώμεθα σιωπήν, καθὰ καὶ αὐτὸς ἡμῖν κατωνείδισας· καίτοι καὶ συγγενικὴν πατρόθειόθεν στοργὴν εἰδότες τηροῦντά σε πρὸς ἡμᾶς. Πλὴν εἰ καὶ ταῖς γραφαῖς Πυθαγόρειον ἠσκοῦμεν τὴν σιωπήν, ἀλλ' οὐχὶ καὶ τοῖς ἔργοις ἐπεσιγάζομεν, οὐδὲ πατρῴας φιλίας ημεν ἀμνήμονες, ἀλλὰ παντοίως τὰ πρὸς σὴν θεραπείαν ἐσπεύδομεν. βραδεῖς δ' οὐχ ἡμεῖς περὶ τὰς ἀποδείξεις τῶν σῶν τελεσμάτων ἐφάνημεν, ἀλλὰ κατὰ μὲν τὸν χρόνον πέρυσι [2]) ἐκωλυόμην δή· καὶ αὐτὸς γινώσκεις τὴν ἐκστρατείαν τοῦ κραταιοῦ ἡμῶν Αὐτοκράτορος, τὴν πρὸς Κιλικίαν καὶ Ἀντιόχειαν. Ἐστάλησαν μὲν γὰρ παρ' ἡμῶν περὶ τὴν Ἀντιόχειαν τότε οἱ πρόσγραφοι, ὅπως αἱ ἀποδείξεις ταχινώτερον γένοιντο. καὶ μόλις ὀψὲ ταύτας ἀπεδεξάμεθα, τοῦ πανσεβεστάτου σεμνοῦ κυρίου Ἀδριανοῦ ταύτας ἀποκομίσαντος. Ἡ βραδύτης δὲ

1) Ita reposui duce cd. A: pro *μητρόλεως: sanctissimo Metropolitano Patrarum.* In titulo accessit *τῶν* e codice.

2) Ita correxit *περισυ* manus secunda in cd. A.

τῶν ἀποδείξεων τῶν τελεσμάτων τῆς νῦν ἐγχρονίας οὐκ ἄλλοθέν ποθεν ἐγένετο, ἢ ἐκ τοῦ μὴ τὸν γραμματηφόρον ὑποχείριον εἶναι τῆς σῆς ἁγιότητος· ἔτι δὲ καὶ τοῦ μὴ συμπεμφθῆναι καὶ τὰ τελέσματα. Ὅμως καὶ οὕτω τοῦ πράγματος ἔχοντος, ἡμεῖς συγγενικὴν ἀγάπην ἐπιδειξάμενοι, τὸ λεῖπον ἐθεραπεύσαμεν, καὶ ταύτας ἀποληρώσαντες [3]) ἀπεστάλκαμεν τῇ σῇ ἱερότητι. Τὴν εὐλογίαν τοῦ πρωτοκλήτου ἀποστόλου ἀπέλαβον καὶ τῇ ἁγιωσύνῃ σου ηὐχαρίστησα [4]; περιεῖχε δὲ τὸ ἱερόν σου γράμμα, δηλοῦν με τῇ σῇ ἁγιότητι, καὶ εἴ τινος ἐν χρείᾳ γενοίμην τῶν ὄντων καὶ γινομένων αὐτόθι. Ἐγὼ δέ, εὖ ἴσθι, ὡς δέομαι μὲν οὐδενὸς τῶν αὐτόθι, ἢ τῆς σῆς ἁγίας εὐχῆς. Εἰ δέ τινος καὶ δεοίμην ἑτέρου, οὐκ ἂν τῇ σῇ ἁγιωσύνῃ ἐδήλωσα. πολλοῖς γὰρ διαβεβόηται τὸ φιλότιμόν σου καὶ μεγαλόδωρον, καὶ αὐτὸς δὲ τοῦτο λίαν καλλίστως ἐπίσταμαι. Διά τοι τοῦτο, καὶ εἴ τινος ἐδεόμην, οὐκ ἔδει πρὸς εὐγενῆ καὶ εὐγνώμονα, καὶ τῷ ὄντι ἀρχιερέα καὶ μεγαλόδωρον, καὶ μόνον τὸ δέον ἐπιστάμενον γράφειν με. Ἡ ἱερά σου καὶ θεία εὐχὴ χαρισθείη μοι.

ΠΡΟΣ ΕΠΙΣΚΟΠΟΝ ΑΞΙΟΥΝΤΑ ΜΕΤ' ΕΥΓΝΩΜΟΣΥΝΗΣ ΤΑ ΣΤΕΛΛΟΜΕΝΑ ΠΑΡ' ΑΥΤΟΥ ΔΕΧΕΣΘΑΙ, ΚΑΙ ΙΩΑΝΝΗι ΤΗΝ [5]) ΛΕ . . . ΕΠΙΓΡΑΨΑΝΤΑ, ΠΡΟΣ ΟΝ ΕΣΤΕΛΛΕΤΟ ΤΑ ΣΤΕΛΛΟΜΕΝΑ.

Τὴν παρὰ τῆς σῆς ἱερωτάτης χειρὸς σταλεῖσαν ἡμῖν εὐλογίαν, θεοφιλέστατε δέσποτα, ἐδεξάμεθά τε καὶ ἀπεδεξάμεθα, ἵνα τι καὶ πεζαίτερον εἴποιμεν. οὐδὲ γὰρ ἡμῖν δοκεῖ τι κρεῖττον ἀκραιφνοῦς φιλίας δωρήματος, οὐδ' ἂν τὸ Κυρηναϊκὸν ἡμῖν προσενέγκοι τίς σίλφιον, οὐδ' ἂν τὴν Γύγου σφενδόνην, ἢ τὸν Πολυκράτους δακτύλιον, ἢ τὰς χρυσᾶ;

3) Forsitan ἀποπληρώσαντες. *Lacisius* vertit, tanquam legisset ἀποληρήσαντες.

4) In marg. cd. A. εὐχαρίστηρα.

5) Lacisius lacunam sic explet: *Ioanni ingrati animi crimen inscribentem.*

ἐκείνας πλίνθους τοῦ Κροίσου, καὶ θησαυρίσματα Μίδου τὰ πολυτάλαντα. Ἐπιγνώμονες γὰρ ἡμεῖς ἀκριβεῖς, οὐ μόνον ὅπη τὸ ἥμισυ πλέον παντός, ἀλλὰ καὶ ὅπη καθέστηκε μικρόν τι πολλοστημόριον ὁλοκληρίας ὑπέρτερον. Οὕτως ἡμῖν, ὦ ἱερὰ κεφαλή, δεκτὰ καὶ ἀποδεκτὰ τὰ σὰ δοκοῦσι δωρήματα, καὶ ὡς ἄν τις εἴποι, θεόσδοτα. σὺ δ', ὡς ἔοικεν, ἀγνωμοσύνην ἡμῶν καταγνοὺς καὶ ἀναγωγίαν καὶ περιπετείαν, μετ' εὐγνωμοσύνης ἡμᾶς ἀξιοῖς τὴν ἀπόληψιν ποιεῖσθαι τῆς σῆς εὐλογίας. Ἀλλ' εὖ ἴσθι, ὡς μάντις ὢν *) ἄριστος ἐσφάλου πάλαι. ἡμεῖς γὰρ ἐσμεν οὐκ ἀγνώμονες, κἄνπερ πρὸς σὲ πρότερον ἀκραιφνεστάτῃ φιλίᾳ τὴν παῤῥησίαν λαβόντες ἠστεϊσάμεθα. σὺ δ', ὡς ἔγῳμαι, καὶ ὡς βορούς καὶ φάγους ἡμᾶς δεδοικὼς καὶ θηριώδεις εἶναι νομίζων, καὶ τὴν ἡμῶν λεοντώνυμον κλῆσιν, ὡς θηριώνυμον μετακαλέσας, μετέτρεψας πρὸς ἱλαράν τε καὶ χαριτώνυμον. Ἀλλ' εὖ ἴσθι, ὡς κακῶς ἡμᾶς νομίζεις ἀγνώμονας. Ἡμεῖς γὰρ λίαν εὐγνώμονες, καὶ ὑπὲρ τὴν Λυδικὴν λίθον τὴν βάσανόν ἐσμεν τοῦ δέοντος ἐπιγνώμονες. ἀλλ' εἰ τὴν πρὶν φιλικὴν παῤῥησίαν καὶ τὸ ἀστεῖον καὶ χαρίεν ἁμάρτημα κέκρικας, σύγγνωθι τοῖς τῆς φιλίας πτεροῖς προπετεύσασιν.

ΠΡΟΣ ΤΙΝΑ ΓΡΑΜΜΑΤΙΚΟΝ.

Εἰ μὴ παρ' ἡμῶν ῥαδίως τοὺς χάρτας ἐλάμβανες, οὐκ ἂν δυσχερῶς ἀπεδίδως. Ἀλλ' εἰ καὶ μόλις καὶ δυσχερῶς τούτους ἡμῖν ἀποδοίης, χάρις σοι προκείσεται τοῦ διδάγματος. μόνον ἀπόδος. Ἡμεῖς δὲ τοῦ λοιποῦ τῷ πάθει μαθόντες, δυσχερῶς τοῖς ἑτέροις διδόντες, ῥᾳδίως ἀπολαμβάνοιμεν. Ἔῤῥωσο, Τίμωνας ποιῶν τοὺς ἀνθρώπους καὶ μεταπλάττων εἰς θῆρας καὶ ξενηλασίαν διδάσκων Λακωνικὴν καὶ Κυκλώπων μισαλληλίαν καὶ τὸ ἀσύμβατον.

*) ὢν accessit e codice.

ΤΩι ΜΥΣΤΙΚΩι ΚΥΡΙΩι ΝΙΚΗΦΟΡΩι ΤΩι ΣΕΡΒΙΛΙΩι.

Ὀφθαλμὲ γερουσίας, ὑπεροχὴ τῆς ἀρχῆς, μυστηριῶτις βουλή, τῶν πρὶν Καισάρων Σερβιλίων ἀπόγονε. Μῦθος ὁ μὲν Θετταλός, ὁ δὲ τῶν τῆς Ἑλλάδος ἀνασκιρτήσας ὀργίων, παράγουσιν Αἰακόν τε καὶ Δευκαλίωνα, τὸν μὲν τὸ τῆς Αἰγίνης ἀνάνθρωπον δυσχεραίνοντα, Δευκαλίωνα δὲ μετὰ τὸν Βουραῖον ἐκεῖνον κατακλυσμόν.

ΤΕΛΟΣ.

INDEX RERUM, DE QUIBUS FIT MENTIO IN TZETZAE CHILIADIBUS.

Numeri maiores Chiliadem, minores littera h non praecedente versum, hac littera praecedente ordinem historiae indicant, et littera ipsa historiam.

A.

D.

N.

O.

P.

INDEX SCRIPTORUM IN TZETZAE CHILIADIBUS LAUDATORUM.

A.

E.

I.

Q.

R.

S.

...ULORUM NOTABILIORUM ...M PARTEM SUNT RECENTIORIS ...S, IDEOQUE IN LEXICIS FERE NON CONSIGNATA.

Α.

B.

Γ.

Δ.

Ε.

Z.

H.

Θ.

I.

K.

Λ.

M.

Υ.

Φ.

CORRIGENDA ET ADDENDA.

P. 4 vs. 83 lege *Κυπρίας.*
— 7 — 158 — *χρήζοντα.*
— 8 Delenda est nota ad vs. 190. nam edit. Basil. et vs. 189 habet *εὐγενὴς* et vs. 190 *πανευγενέστατος.*
— 9 vs. 191 lege *γάρ.*
— 9 lin. 7 a fine omissum est: *Hist.* 6.
— 10 vs. 230 lege *οὗτος δ'.*
— 10 — 232 — *πλοκαμῖδα.*
— 19 — 419 dele punctum in versus fine.
— 22 ad vs. 517 conf. Valcken. diatr. p. 171. c.
— 24 vs. 575 lege *ἵπποις.*
— 28 — 659 pone colon in fine.
— 30 ad vs. 705 conf. locos in indice verborum s. v. *οὗτος* citatos.
— 31 vs. 732 lege *προσεπηύξανεν.*
— 31 — 751 — *τὰ* pro *τάς.*
— 34 — 810 — *σφραγῖδα.*
— 44 — 87 — *Φιλεταίριος.*
— 52 — 301 — *ὅπλοις.*
— 53 — 318 — *ἥττηκας.*
— 53 ad vs. 339 conf. Kuster. ad Suid. s. v. *ἀλύβη.*
— 62 lin. 11 lege *ΑΙΓΩΝΟΣ.*
— 65 vs. 649 — *ἐμιμεῖτο.*
— 66 — 662 — *κρυβεῖσαν.*
— 70 — 765 — *Στέρησιν.*
— 80 — 3. vera lectio est *ἧπερ.*
— 81 — 31. vera videtur lectio *στενῶς, πεπλατυσμένως,* ut X, 421. est *στενῶς, πλατέως.*
— 90 ad hist. 76. conf. *Osann*, üb. d. Sophocles Aias, p. 72.
— 122 vs. 68 lege *ὀλίγαι.*
— 127 — 187 — *Ἦν.*
— 127 — 195 — *Μίκων* pro *Νίκων*, item XII, 560.
— 133 — 342 pone comma in fine versus.

P. 133 vs. 354 lege ὡς pro ὡ.
— 147 — 757 — τῆς.
— 151 — 858 pone punctum in fine versus.
— 151 — 864 lege οὖν.
— 164 — 200 — ἀνακτορίων.
— 170 — 369 pone colon in fine versus.
— 171 — 381 post προειρήκειμεν pone comma.
— 175 — 498 lege παρ' pro ποῤ.
— 188 — 799 Ἀρβάκου vera lectio.
— 193 — 946 lege ἐξαιτοῦντες.
— 209 — 347 dele εἰ et scribe πῶς.
— 215 — 491 pone colon in fine.
— 237 vs. 2 a fine lege Πειρίθοον.
— 251 lin. 7 lege ΚΑΙΣΑΡΩΝ, uno vocabulo, *de Serviliis Caesaribus.* Ibidem in nota ad v. 299. dele verba: *quid sibi velit Σάρων, ignoro.* Verum vidit iam Fabricius in indice scriptorum. Conf. etiam ipsum Tzetzam in Epist. 4. p. 526.
— 261 „Non capio, quae Ioannes Tzetzes de Lebunii adventu in hanc insulam ex oraculo quodam Sibyllino dicit, Var. Hist. Chil. VII. c. 143. p. 383. Neque illud, quod de Cilicis adventu in sequentibus statim versibus, περὶ δὲ τῆς τοῦ Κίλικος etc. Versus illi duo Sibyllae exstant hodie inter Oracula Sibyllina, lib. IV. p. 292. ac citantur a Strabone p. 53. et 536. Apparet autem, Cilicem, quem dicit Tzetzes, Pyramum, Ciliciae flumen, designare: per quod ait alluvionem etiam Cypro accessuram; atque sic interpretatur etiam Strabo p. 536. Verum *de Lebunio* non me aut Tzetzen explicare satis possum. Quia autem de alluvione ait, pro ὁ Λεβούνιος legendum arbitror ἀλουβίων τις, *alluvio quaedam.* Nam posterioris aevi Iureconsultis Graecis Ἀλουβίων dicebatur, quae *Alluvio* Latinis Glossae Basilicorum: Ἀλουβίονα, προσκύλισιν. Iterum: Ἀλουβίων, ἡ πρόσκλυσις, ἢ πρόσχωσις τοῦ ποταμοῦ. Mihi quidem sic videtur: si quis melius divinaverit, eum non invitus sequor. Sed Sibyllae vaticinium de alluvione ista necdum impletum, uti nec de inundatione alterum, quod refertur Oraculor. lib. IV. p. 295. et lib. VII. p. 348." Haec quae ipse Ioannes Meursius in margine libri sui Cypri inscripti lib. II. c. XVIII. p. 134 sq. scripserat, illinc, descripta repetiit Iacob. Morellius in Bibl. Mss. graec. et lat. T. I. p. 443. qui idem hoc addidit: „Quanquam illud item obiter monitum velim, mentionem *Lebunis* cuiusdam

facere Nicetam Choniatem lib. de gestis Ioannis Comneni Imp. et De rebus Alexii Angeli lib. III.“

P. 266 vs. 706 In Stephan. de urb. s. *ἡμικύνες* est *οὐδέ τι τοίχῳ*, et vs. prox. *ὀνομάκλυτον*. De *Simmia* Grammatico vid. etiam Commentariolus auctorum Thomae de Pinedo ad Stephanum.

— 271 not. ad vs. 810 linea 6 lege *omisso*.

— 273 vs. 878 lege *λυπούμενος*.

— 304 ad vs. 557 sqq. conf. Plut. apophtheg. reg. p. 178. B. ibique Wyttenb.

— 315 vs. 828 videtur scribendum *ὑπάργυρον*.

— 325 — 32 lege *Ὀκταουΐᾳ*.

— 333 — 262 — *τοιῶσδε*.

— 342 — 487 — *Μαγνητίδων*, et vs. 488 *κατ᾽* pro *τατ᾽*.

— 356 — 837 — *Ἐχεπευκοῦς*.

— 386 lin. 20 pone comma pro semicolo.

— 398 vs. 866 lege *εἶπε*,

— 411 — 218 videtur scribendum *καματηρῶν*, littera minuscula.

— 445 — 163 lege *πρότερος*.

— 472 — 16 — *ΚΕΡΔΑΛΕΩι*.

3 2044 021 136 882

WIDENER
WIDENER
DEC 0 2 2003
DEC 0 8 2003
CANCELLED
BOOK DUE

WIDENER
WIDENER
APR
SEP
2005
CANCELLED
BOOK DUE